Em159

ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ

ΕΛΛΗΝΙΚΩΝ

ΜΑΘΗΜΑΤΩΝ,

Συλλεγεῖσα ἐκ τῶν ἀρίστων Ἑλλήνων συγγραφέων καὶ ποιητῶν μετὰ τῶν ἀναγκαίων ὑποσημειώσεων,

ΠΑΡΑ

ΣΤΕΦΑΝΟΥ ΚΟΜΜΗΤΑ.

Νῦν δὲ τὸ δεύτερον ἐκ τῶν λαμπροτέρων ἐκδόσεων ἐπιδιορθωθεῖσα, καὶ μὲ πολλὰς προσθήκας τεμαχίων, καὶ ὁλοκλήρων λόγων ποιητῶν καὶ λογογράφων, ἀναγκαιούντων εἰς τὴν παράδοσιν τῆς Ἑλληνικῆς γλώσσης, ἐπαυξηθεῖσα, ἐκδίδεται εἰς τόμους δέκα,

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ.



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΕΚΔΟΤΟΥ Κ. ΓΚΑΡΠΟΛΑ.

1839.

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ

Τρέφεται δὲ ἡ ψυχὴ, ὦ Σώκρατες, τίνι;
Μαθήμασι δήπου, ἣν δ' ἐγώ.

Πλάτ. Πρωτ. 93.

ΕΚ ΤΩΝ ΑΙΣΧΙΝΟΥ ΤΟΥ ΣΩΚΡΑΤΙΚΟΥ.

Α΄. ΑΞΙΟΧΟΣ, Η ΠΕΡΙ ΘΑΝΑΤΟΥ.

Σωκράτης, Κλεινίας καὶ Ἀξίοχος.

ά. Ἐξιόντι μοι ἐς Κυνόσαργες, καὶ γενομένῳ μοι κατὰ τὸν Ἰλισσὸν, διῆξε φωνὴ βοῶντός του, Σώκρατες, Σώκρατες. Ὡς 2
δὲ περιστραφεὶς περιεσκόπουν, ὁπόθεν εἴη, Κλεινίαν ὁρῶ, τὸν Ἀξιόχου, θέοντα ἐπὶ Καλλιρρόην, μετὰ Δάμωνος τοῦ μουσικοῦ, καὶ Χαρμίδου τοῦ Γλαύκωνος. Ἦστην δὲ αὐτῷ, ὁ μὲν διδάσκαλος τῶν κατὰ μουσικήν, ὁ δ' ἐξ ἑταιρείας ἐραστὴς ἅμα καὶ ἐρωμένος. Ἐδόκει οὖν μοι ἀφεμένῳ τὴς εὐθὺ ὁδοῦ ἁπαντᾶν αὐ- 3
τοῖς, ὅπως ῥᾶστα ὁμοῦ γενοίμεθα.

β΄. Κλειν. Δεδακρυμένος δὲ ὁ Κλεινίας, Σώκρατες, ἔφη, νῦν ὁ καιρὸς ἐνδείξασθαι τὴν ἀεὶ θρυλλουμένην πρὸς σοῦ σοφίαν. Ὁ γὰρ πατὴρ ἔκ τινος ὥρας αἰφνιδίου ἀδυνάτως ἔχει, καὶ πρὸς 2
τῷ τέλει τοῦ βίου ἐστίν· ἀνιαρῶς τε φέρει τὴν τελευτὴν, καί τοι γε τὸν πρόσθεν χρόνον διαχλευάζων τοὺς μορμολυττομένους τὸν

ά. Ἐξιόντι μοι) Ἐν τοῖς κινήσεως σημαντικοῖς ῥήμασι καὶ ἀπὸ δοτικῆς ὁ τῆς ἀπολύτου μετοχῆς τρόπος γίνεται· ἀντὶ τοῦ Ἐξιόντος μου· τὸ δὲ δεύτερον Μοι τῷ ἐν τῷ γενομένῳ περιττῶς μὲν κεῖται, Ἀττικῶς δέ.

— Ἐς Κυνόσαργες) Τόπος ἐστὶν ἐν τῇ Ἀττικῇ Κυνόσαργες καλούμενος, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον, ἐκ κυνὸς ἀργοῦ· τοῦτ' ἔστι λευκοῦ ἢ παχέος παρονομασθείς. Καὶ γὰρ Ἡρακλεῖ θύουσι, κύνα τοῦτον ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία, αὐτοῦ καταθεῖναι λέγεται. καὶ ἐπερωτήσαντας τοὺς θεοὺς, ποῦ Ἡρακλέους ἱδρῦσαι ἱερὸν, λαβεῖν χρησμὸν ἐν ἐκείνῳ τῷ τόπῳ. Ὅθεν καὶ τοὺς νόθους συντελεῖν διὰ τὸ τὸν Ἡρακλέα νόθον γεγονέναι ἐκ Διός. Λαμβάνεται δὲ καὶ εἰς παροιμίαν ἐπὶ ὕβρει καὶ ἀρᾷ. Ἴθι ἐς Κυνόσαργες.

—Ἰλισσ.) Ποταμὸς δὲ οὗτος ἐν Ἀθήναις.

— Βοῶντός του) Τὰ ἄρθρα λαμβάνονται ἀντὶ ἐρωτιματικῶν καὶ ἀορίστων, ὅτε καὶ ἀποβάλλει τὸν τόνον.

2. Ὁπόθεν εἴη) Ἡ φωνὴ τοῦ βοῶντος.

— Καλλιρρόη) Πηγὴ δὲ αὕτη ἐν Ἀθήναις ἐννεάκρουνος, οὕτω καλουμένη. Θουκυδ. Β. ιέ.

— Τῶν κατὰ μουσικ.) Τῶν τῆς μουσικῆς μαθημάτων. Ἀντὶ τῆς κτητικῆς γενικῆς μεταλαμβάνεται πολλάκις ἡ αἰτιατικὴ μετὰ τῆς κατά.

2. Ἐραστὴς ἅμα καὶ ἐρωμ.) Τὸ παρ ἡμῖν· Ἦσαν φίλοι στενώτατοι, ἑταιρεία δὲ ἡ συσσιτία.

β΄. Νῦν ὁ καιρ.) Νῦν ἐστιν ἐκεῖνος ὁ καιρὸς, ἵνα ἐνδείξῃ. Ὅθεν καὶ ἐνάρθρως τὸ «ὁκαιρὸς», τὸ ὡρισμένον δηλοῦντος τοῦ ἄρθρου.

2. Ἔκ τινος ὥρας αἰφν.) Ἀντὶ πρὸ ὀλίγου αἰφνιδίως ἠῤῥώστησε· καὶ κινδυνεύει ἵνα ἀποθάνῃ. Ὡς εἰ ἔλεγεν. Ὁ γὰρ πατὴρ πρό τινος ὥρας αἰφνιδίου ἀδυνάτ. ἢ ἔκ τινος περιστάσεως αἰφν.

— Τοὺς μορμολυτ.) Μορμολύκειο προσωπεῖον τραγικὸν, ἐχρῶντο δέ καὶ ὠν φοβήτρῳ τῶν παίδων· ὅθεν μορρολύττεσθαι τὸ τοὺς παῖδας διὰ μορμολυκείου ἐκφοβεῖν· οὕτω δὴ καὶ ἐμπαίζων Ἀξιοχο τοῖς φοβουμένοις τὸν θάνατον ἔλεγεν.

3 θάνατον, καὶ πρᾴως ἐπιτωθάζων. Ἀφικόμενος οὖν παρηγόρησον
αὐτὸν, ὡς εἴωθας, ὅπως ἀστενακτὶ ἐς τὸ χρεὼν ἴῃ· καὶ μοι σὺν
4 τοῖς λοιποῖς ἵνα καὶ τοῦτο εὐσεβηθῇ. — Σωκ. Ἀλλ' οὐκ ἀτυχήσεις μου, ὦ Κλεινία, οὐδενὸς τῶν μετρίων, καὶ ταῦτα ἐφ' ὅσια παρακαλῶν. Ἐπηγώμεθα οὖν· εἰ γὰρ οὕτως ἔχει, ὠκύτητος
5 δεῖ. — Κλειν. Ὀφθέντος σου μόνον, ὦ Σώκρατες, ῥαΐσει· καὶ γὰρ ἤδη πολλάκις αὐτῷ γέγονε συμπτώματος ἀνασφῆλαι·

γ'. Ὡς δὲ θᾶττον τὴν παρὰ τὸ τεῖχος ἤειμεν, ταῖς Ἰτωνίαις, πλησίον γὰρ ᾤκει τῶν πυλῶν, πρὸς τῇ Ἀμαζονίδι στήλῃ, καταλαμβάνομεν αὐτὸν, ἤδη μὲν συνειλεγμένον τὰς ἁφὰς καὶ τῷ σώματι ῥωμαλέον, ἀσθενῆ δὲ τὴν ψυχὴν, πάνυ ἐνδεᾶ παραμυθίας· πολλάκις ἀναφερόμενον, καὶ στεναγμοὺς ἱέντα σὺν
2 δακρύοις καὶ κροτήσεσι χειρῶν. — Σωκ. Κατιδὼν δὲ αὐτὸν, Ἄξιοχε, τί ταῦτα; ἔφην· ποῦ τὰ πρόσθεν αὐχήματα, καὶ αἱ συνεχεῖς εὐλογίαι τῶν ἀρετῶν, καὶ τὸ ἄῤῥητον ἐν σοὶ θάρσος; ὡς γὰρ ἀγωνιστὴς δειλὸς, ἐν τοῖς γυμνασίοις γενναῖος φαινόμενος,
3 ἀπολέλοιπας ἐν τοῖς ἄθλοις. Οὐκ ἐπιλογιῇ τὴν φύσιν περιεσκεμένος ἀνὴρ τοσόσδε τῷ χρόνῳ, καὶ κατήκοος λόγων, καὶ, εἰ μηδὲν ἕτερον, Ἀθηναῖος, ὅτι, τὸ κοινὸν δήπου τοῦτο, καὶ πρὸς

---

3. Εἰς τὸ χρεὼν) Εἰς τον θάνατον· τοῦτο γὰρ δηλοῖ ἐνάρθρως λεγόμενον, ἀνάρθρως δέ ἐστι μετοχὴ τοῦ χρή.

— Ὅπως ἴῃ, καὶ ἵνα εὐσεβηθῇ) Ὁ ὅπως καὶ ἵνα ταυτοσήμως πρὸς ὑποτακτικὴν ἔγκλισιν.

4. Καὶ ταῦτα) Οἷον καὶ διὰ ταῦτα οὐκ ἀτυχήσεις μου· καὶ ταῦτα ἀπολαύσεις. Κατ' ἔλλειψιν δηλονότι τοῦ προσήκοντος ῥήματος τὸ Καὶ ταῦτα λέγεται· ὃ δὴ εἰς ἀποφυγὴν τῆς πολυλογίας εἰς τὸ μάλιστα πολλοὶ ἑρμηνεύουσι.

— Ἐφ' ὅσια) Ὅσιον, φησὶ Βαρῖνος ἐστί θεράπευμα θεοῦ ἀρεστὸν Θεῷ· ὅθεν καὶ ὅσιος ὁ περὶ τὰ θεῖα ἐσπουδακώς· οἷον· καὶ ταῦτα ἀπολαύσεις, ἐπειδὴ παρακαλεῖς ἀρεστὰ τῷ Θεῷ.

γ'. Ὡς δὲ θᾶττον) Τάχιστα· τὸ δὲ Ὡς, ἐπιτατικόν.

— Ταῖς Ἰτων.) Ἐν ταῖς Ἰτωνίαις πύλαις. Ὄνομα γὰρ πυλῶν ἐν Ἀθήναις αἱ Ἰτωνίαι.

— Πρὸς τῇ Ἀμαζονίδι στήλῃ) Στήλη ἐν Ἀθήναις Ἀμαζονὶς καλουμένη, ἔνθα φασὶν Ἀμαζόνας ἐλθούσας, μαχέσασθαι Ἀθηναίοις, καὶ νικηθείσας, ἀποθανεῖν πάσας αὐτοῦ, πλὴν τῆς Ἱππολίτης, ἣν Θησεὺς ἔλαβεν· βασιλὶς δὲ αὕτη Ἀμαζόνων. Δείκνυται δ' ἐνταῦθα καὶ μνῆμα Ἀντιόπης Ἀμαζόνος, ἣ φησὶ Πανσαν. Α'. β'. οὗ πλησίον καὶ ἄγαλμα Ἀθηνᾶς Παιωνίας πλησίον πυλῶν ἀναφέρει. Ὅθεν τινὲς ἀντὶ Ἰτωνίαις Παιωνίαις γράφειν φασὶ δεῖν.

— Συνειλεγμένον τὰς ἁφ.) Συσφίγγοντα τὰς χεῖρας, ἁφὴ γὰρ ἡ χείρ.

— Πάνυ ἐνδεᾶ) Αἰτιατικὴ Ἀττικῶς. Τὰ γὰρ εἰς ης καθαρὸν τὸ η εἰς α ἐν τῇ αἰτιατικῇ Ἀττικῶς τρέπουσιν· οὕτως οὖν ὑγιής, ὑγιᾶ· ἐνδεής, ἐνδεᾶ· εὐφυής, εὐφυᾶ· κτλ.

— Πολλάκις ἀναφ.) Πολλάκις εἰς ἑαυτὸν ἐλθόντα.

2. Τί ταῦτα;) Διὰ τί ποιεῖς ταῦτα; ἢ Τί εἰσι ταῦτα, ἃ ποιεῖς;

— Ποῦ τὰ πρόσθ.) Ἐννοεῖται εἰσί.

— Καὶ τὸ ἄῤῥητον) τὸ ἄῤῥαστον τὸ ἀνεκλάλητον.

— Ὡς γὰρ) Σὺ δὲ, ὅτε ἐστὶ τὰ ἆθλα, ἀπελείφθης· ὥσπερ ἀπολείπεται ἀγωνιστὴς δειλὸς, ἐν χαιρῷ γυμνασίων γενναῖος φαινόμενος.

3. Οὐκ ἐπιλογιῇ τὴν φ.) Οὐκ ἄρα ἀναφέρεις τὴν ἀνθρωπείαν φύσιν εἰς νοῦν μετὰ σκέψεως.

— Εἰ καὶ μηδὲν ἕτ.) Καὶ εἰ μὴ ἦσθα ἀνὴρ κατήκοος λόγων, ἀλλὰ γοῦν Ἀθηναῖος, ὧν ἴδιον πάντα τὰ δεινὰ ῥωμαλέως φέρειν, καὶ μὴ ἀποδειλιᾶν.

ἁπάντων θρυλλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος, καὶ ὅτι δεῖ ἐπιεικῶς διαγαγόντας εὐθύμως μονονουχὶ παιονίζοντας, εἰς τὸ χρεὼν ἀπιέναι; Τὸ δὲ οὕτω μαλακῶς καὶ δυσαποσπάστως 4
ἔχειν νηπίου δίκην, οὐ περιφρονοῦσαν ἡλικίαν ἔχει. — Ἀξ. Ἀληθῆ ταῦτα, ὦ Σώκρατες, καὶ ὀρθῶς μοι φαίνῃ λέγων· ἀλλ' οὐκ οἶδ' ὅπως παρ' αὐτό μοι τὸ δεινὸν γενομένῳ, οἱ μὲν καρτεροὶ καὶ περιττοὶ λόγοι ὑπεκπνέουσι λελῃθότως, καὶ ἀτιμάζονται, ἀντίσχει δὲ δέος τι, ποικίλως περιαμύττον τὸν νοῦν, εἰ στερήσομαι τοῦδε τοῦ φωτὸς, καὶ τῶν ἀγαθῶν, ἀειδὴς δὲ καὶ ἄπυστος ὁποίποτε κείσομαι σηπόμενος, εἰς εὐλὰς καὶ κνώδαλα μεταβάλλων.

δ΄. Σωκ. Συνάπτεις γὰρ, ὦ Ἀξίοχε, παρὰ τὴν ἀνεπιστασίαν, ἀνεπιλογίστως τῇ ἀναισθησίᾳ αἴσθησιν, καὶ σεαυτῷ ὑπεναντία, καὶ ποιεῖς, καὶ λέγεις, οὐκ ἐπιλογιζόμενος, ὅτι ἅμα μὲν ὀδύρῃ τὴν ἀναισθησίαν, ἅμα δὲ ἀλγεῖς ἐπὶ σήψεσι καὶ στερήσει τῶν ἡδέων· ὥσπερ εἰς ἕτερον ζῆν ἀποθανούμενος, ἀλλ' οὐκ εἰς παντελῆ μεταβάλλων ἀναισθησίαν, καὶ τὴν αὐτὴν τῇ πρὸ τῆς γενέσεως. Ὡς οὖν, ἐπὶ τῆς Δράκοντος, ἢ Κλεισθένους, πολιτείας, 2
οὐδὲν περί σὲ κακὸν ἦν· ἀρχὴν γὰρ οὐκ ἦς, περὶ ὃν ἂν ἦν· οὕτως οὐδὲ μετὰ τὴν τελευτὴν γενήσεται· σὺ γὰρ οὐκ ἔσῃ περὶ ὃν ἔσται.

ε. Πάντα τοιγαροῦν τὸν τοιόνδε φλύαρον ἀποσκέδασαι, τοῦτο ἐννοήσας, ὅτι, τῆς συγκρίσεως ἅπαξ διαλυθείσης, καὶ τῆς ψυ-

---

— Ὅτι) Διεσαφητικὸς ὁ Ὅτι· τὸ Ἐπιλογιῇ τὴν φ. ἐσκεμ. ἀναπτύσσων.

— Τὸ κοινὸν δὴ τοῦτ.) Ὃ δή ἐστι κοινὸν καὶ θρυλλούμενον ὑπὸ πάντων.

— Παιονίζοντας) Ἄδοντας μετ' εὐφροσύνης δηλ. Παιὰν δὲ εἶδος ᾠδῆς. δύο δὲ Παιᾶνας ἦδον οἱ παλαιοὶ πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον τῷ Ἀπόλλωνι τὸν μὲν ἐπικαλούμενον εἰς βοήθειαν, τῷ δὲ εὐχαριστοῦντες.

4. Οὐ περιφρ. ἡλικ. ἔχ.) Οὐκ ἔστιν ἴδιον ἡλικίας περιφρονούσης. Ὅπερ ἐστίν. Οὐκ ἔστιν ἴδιον σοῦ, ἔχοντος ἡλικιαν, ἥτις περιφρονεῖ τὸν θάνατον.

— Ἀληθῆ ταῦτ.) Ἐλλείπει, εἰσί.

— Παρ' αὐτό μοι) Ἡ ὁτικὴ παθητικῶς λαμβάνεται πρὸς τὸ ἀτιμάζονται· οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸ ἀντίσχει· τὸ γὰρ ἀντέχω τὸ ἀνθίσταμαι καὶ ἐναντιοῦμαι σημαῖνον, καὶ πρὸς ὁτικὴν φέρεται. Σὺ δ' εἰ βούλει ἀπόδος αὐτὸ καὶ πρὸς τὸ Ὑποκνέουσι προθετικῶς τῇ Ὑπὸ δηλ. κατὰ πάντα γὰρ ἡ σύνταξις ἔρρωται· καὶ ὁ νοῦς οὐ παραβλάπτεται.

6. Καὶ τῶν ἀγαθ.) Τῶν ἐν τῷ βίῳ δηλ.

δ. Παρὰ τὴν ἀνέπιστ.) Διὰ τὸ μὴ ἐφιστάναι τὸν νοῦν· διὰ τὸ μὴ ἔχειν ἐπιστήμην.

— Ὡσπερ εἰς ἕτερον ζῆν) Ὥσπερ ἀποθανούμενος, μεταβαλὼν τοῦτο τὸ ζῆν εἰς ἄλλο· ἔνθα ἕξεις αἴσθησιν σηπόμενος, καὶ εἰς σκώληκας καὶ ἔντομα μεταβάλλων.

— Τῇ πρὸ τῆς γεν.) Ἀναισθησίᾳ δηλ.

2. Ἐπὶ τῆς Δράκ. ἢ Κλεισθ. πολιτ.) Δράκων τὴν Δημοκρατίαν ἐν Ἀθήναις κατέστησε, θεὶς νόμους, οὓς Δημάδης αἵματι οὐ μέλανι γεγραμμένους ἔλεγε· καὶ οὓς Σόλων καθεῖλε πικροὺς ὄντας, καὶ ἄλλους ἀντεισήγαγε φιλανθρώπους καὶ δημοκρατικούς. Κλεισθένης δὲ πρῶτος εὗρε τὸν ἐξοστρακισμόν, δι' οὗ ἐφυγάδευον τοὺς δύναμιν κτησαμένους, φόβῳ τυραννίδος. Τῶν γὰρ Σόλωνος νόμων ὑπὸ τῶν Πεισιστρατιδῶν ἀκυρωθέντων, τῷ νόμῳ τούτῳ Κλεισθένης, ἀπήλασε τοὺς τυράννους τῶν Ἀθηνῶν.

— Ἀρχὴν γὰρ) Οὐ γὰρ ὑπῆρχες κατὰ τὴν ἀρχήν· ὅτε δηλ. ἦσαν ἐκεῖνοι οἱ νόμοι Δράκοντος καὶ Κλεισθένους· μηδ' ὑπῆρχες σύ, περὶ ὧν ἂν ἦν τι κακόν.

— Γενήσεται.) Τί κακόν δηλ. περὶ σέ.

ε. Τῆς συγκρίσεως) Τῆς συμπήξεως, τῆς ἑνώσεως τῆς ψυχῆς μετὰ τοῦ σώματος.

χῆς εἰς τὸν οἰκεῖον ἱδρυθείσης τόπον, τὸ ὑπολειφθὲν σῶμα, γε-
2 ὦδες ὂν καὶ ἄλογον, οὐκ ἔστιν ὁ ἄνθρωπος. Ἡμεῖς μὲν γὰρ ἐσμὲν ἡ ψυχή, ζῶον ἀθάνατον, ἐν θνητῷ κατειργμένον φρουρίῳ· τὸ δὲ σκῆνος τουτὶ πρὸς κακοῦ περιήρμοσεν ἡ φύσις· ᾧ τὰ μὲ ἥδοντα ἀμυχιαῖα καὶ πτηνά, καὶ εἰς πλείους ὀδύνας ἀνακεκραμένα· τὰ δὲ ἀλγεινὰ ἀκραιφνῆ, καὶ πολυχρόνια, καὶ τῶν ἡδόντων ἄμοιρα· νόσους δὲ, καὶ φλεγμονὰς τῶν αἰσθητηρίων, ἔτι δὲ τὰς ἐντὸς κακότητας· οἷς ἀναγκαστῶς, ἅτε παρεσπαρμένη τοῖς πόροις, ἡ ψυχὴ συναλγοῦσα τὸν οὐράνιον ποθεῖ, καὶ σύμφυλον αἰθέρα, καὶ διψᾷ, τῆς ἐκεῖσε διαίτης
3 καὶ χωρείας ὀριγνομένη. Ὥστε ἡ τοῦ ζῆν ἀπαλλαγὴ κακοῦ τινός ἐστιν εἰς ἀγαθὸν μεταβολή.

ς΄. Ἀξ. Κακὸν οὖν, ὦ Σώκρατες, ἡγούμενος τὸ ζῆν, πῶς ἐν αὐτῷ μένεις, καὶ ταῦτα φροντιστὴς ὤν, καὶ ὑπὲρ ἡμᾶς τοὺς
2 πολλοὺς τῷ νῷ διὰ φέρων; Σωκ. Ἄξιόχε, σύ γε οὐκ ἔτυμά μοι μαρτυρεῖς, οἴει δὲ, καθάπερ Ἀθηναίων ἡ πληθὺς, ἐπειδὴ ζητητικός εἰμι τῶν πραγμάτων, ἐπιστήμονά του εἶναί με. Ἐγὼ δὲ εὐξαίμην ἂν τὰ κοινὰ ταῦτα εἰδέναι, τοσοῦτον ἀποδέω τῶν πε-
3 ριττῶν. Καὶ ταῦτα δὲ, ἃ λέγω, Προδίκου ἐστὶ τοῦ σοφοῦ ἀπηχήματα· τὰ μὲν διμοίρου ἐωνημένα, τὰ δὲ δυοῖν δραχ-
4 μαῖν, τὰ δέ, τετραδράχμου. Προῖκα γὰρ ἀνὴρ οὗτος οὐδένα διδάσκει· διὰ παντὸς δὲ ἔθος ἐστὶν αὐτῷ φωνεῖν τὸ Ἐπιχάρμειον, Ἃ δὲ χεὶρ τᾶν χεῖρα νίζει· δὸς τι καὶ λάβε τι.

ζ΄. Καὶ πρώην γοῦν παρὰ Καλλίᾳ τοῦ Ἱππονίκου ποιούμενος ἐπίδειξιν, τοσάδε τοῦ ζῆν κατεῖπεν, ὥστε ἔγωγε μὲν παρὰ ἀκαρῆ διέγραψα τὸν βίον, καὶ ἐξ ἐκείνου θανατᾷ μου ἡ ψυχὴ,

---

2. Πρὸς κακοῦ.) Διὰ κακόν, αἰτίαν σημαίνει ἡ πρὸς. Ὁ γὰρ νοῦς. Ἡφύσις περιήρμοσε τῇ ψυχῇ τοῦτο τὸ σκῆνος τιμωρίας ἕνεκα.

— Τὰς ἐντὸς κακ.) Τὰς ψυχικὰς δηλ.

— Οἷς ἀναγ.) Οἷς ἀλγεινοῖς κατ' ἔλλειψιν τῆς ἐπί.

—Τοῖς πόροις) Τοῦ σώματος ἐννοεῖται.

— ξυναλγ.) Τῷ σώματι.

ς΄. 2- Οὐκ ἔτυμά μοι μαρ.) Οὐ λέγεις ἀληθεῖς πρός με μαρτυρίας.

— Ἐπιστήμ.) Ὅτι ἐπίσταμαί τι πρᾶγμα ἔστι δὲ τὸ Του ἀντὶ Τινός.

3. Προδίκου τοῦ σ.) Περὶ οὗ καὶ Πλάτ. ἐν Πρωταγ. καὶ Ξενοφ. ἐν Ἀπομν. Β΄ ά.

— Τὰ μὲν διμοίρ.) Δίμοιρον τὰ δύο μέρη τῆς δραχμῆς

4. Ἀνὴρ οὗτος.) Ἀνάρθρως. διὰ τὴν ἐπακολουθήσασαν δεικτικὴν ἀντωνυμίαν.

— Ἃ δὲ χειρ.) Παροιμία ἐπὶ τὸ συμβοηθεῖσθαι ἀλλήλοις· ὥσπερ γὰρ ἡ χεὶρ τὴν χεῖρα νίπτει, οὕτω καὶ τοῖς ἀνθρώποις δεῖ ποιεῖν. Ἀναφέρει δὲ τὴν παροιμίαν ταύτην εἰς Ἐπίχαρμον Πυθαγορικὸν φιλόσοφον, καὶ ποιητήν, κατὰ φιλαργύρων ῥηθεῖσαν.

ζ΄. Ἐπίδειξιν ποιούμ.) Φιλοτίμως καὶ κατ' ἐπίδειξιν λέγων. Ἔστι γὰρ ἐπίδειξις δημοσία ἄσκησις ἐν τῷ λέγειν.

—Διέγραψα τὸν βίον) Διαγράφειν, φησὶν Ἡσύχιος, σημαίνει τὸ ἀποδοκιμάζειν. ὅθεν καὶ Διέγραψε τὸν βίον, ἀπεδοκίμασα δηλοῖ τὸν βίον. Θωμᾶς δὲ ὁ Μάγιστρος φησιν, ὅτι τοῦτο Ἀττικῶς δηλοῖ τὸ διαγράφειν, ὅπερ ἐν ἄλλοις τὸ ἀπολείφειν, ἐξαλείφειν. Καὶ κατὰ τοῦτον ὁ νοῦς. Ὥστε μικροῦ ἐδέησε ἐξαλεῖψαί μου

Α'ξίοχε. — Ἀξ. Τίνα δὲ ἦν τὰ λεχθέντα; — Σωκ. Φράσαιμι ἄν 2
σοι ταῦτα, ἃ μνημονεύσω ἔφη γάρ, Τί μέρος τῆς ἡλικίας οὐ
τῶν ἀνιαρῶν; οὐ κατὰ μὲν τὴν πρώτην γένεσιν τὸ νήπιον κλαίει,
τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον; Οὐ λείπεται γοῦν οὐδεμιᾶς ἀλ- 3
γηδόνος, ἀλλ' ἢ δι' ἔνδειαν, ἢ περιψυγμὸν, ἢ θάλπος, ἢ πλη-
γήν, ὀδυνᾶται· λαλῆσαι μὲν οὔπω δυνάμενον, ἃ πάσχει, κλαυθ-
μηριζόμενον δὲ· καὶ ταύτην τὴν δυσαρεστήσεως μίαν ἔχων φω-
νήν. Ὁπόταν δὲ εἰς τὴν ἑπταετίαν ἀφίκηται, πολλοὺς πόνους δια- 4
τλῆσαν, παιδαγωγοί, καὶ γραμματισταί, καὶ παιδοτρίβαι, τυ-
ραννοῦντες· αὐξομένῳ δὲ, κριτικοί, γεωμέτραι, τακτικοί· πολὺ
πλῆθος δεσποτῶν.

ή. Ἐπειδὰν δὲ εἰς τοὺς ἐφήβους ἐγγραφῇ, κοσμητὴς, καὶ φόβος
χείρων ἔπειτα Λύκειον, καὶ Ἀκαδημία, καὶ γυμνασιαρχία, καὶ
ῥάβδοι, καὶ κακῶν ἀμετρίαι· καὶ πᾶς ὁ τοῦ μειρακίσκου χρό-
νος ἐστὶν ὑπὸ σωφρονιστάς, καὶ τὴν ἐπὶ τοὺς νέους αἵρεσιν
τῆς ἐξ Ἀρείου πάγου βουλῆς. Ἐπειδὰν δὲ ἀπολυθῇ τούτων, 2
φροντίδες ἄντικρυς ὑπέδυσαν, καὶ διαλογισμοὶ, τίνα τὴν τοῦ βίου
ὁδὸν ἑνστήσονται· καὶ τοῖς ὕστερον χαλεποῖς ἐφάνη τὰ πρῶτα
παιδικά, καὶ νηπίων ὡς ἀληθῶς φόβητρα· στρατεῖαί τε γὰρ καὶ
τραύματα, καὶ συνεχεῖς ἀγῶνες.

τὸν βίον· καὶ ἐξ ἐκείνου τοῦ καιροῦ τὸν θάνατον ἐπιθυμεῖ ἡ ψυχή μου καὶ ὡς ἂν ἡμεῖς εἴποιμεν. ἐξέγραψα τὸν βίον.

3. Κλαυθμηριζ.) Διά κλαυμάτων παριστᾷν ὅ,τι πάσχει.

4. Παιδαγ. γραμματ. καὶ παιδ.) Ἐν ἤθει ἀναγνωστέον διὰ τὴν ἔλλειψιν τοῦ ῥήματος, ἐννοεῖται δὲ τὸ ἐφίστανται· ἢ πάρεισι. Σημείωσαι δὲ ὅτι Παιδαγωγοὶ μὲν λέγονται, ὅτι τὴν περὶ τῶν ἠθῶν τῶν νέων φροντίδα ἔχουσι. Γραμματισταὶ δὲ, οἱ τὰ πρῶτα στοιχεῖα διδάσκοντες, ὅ ἐστι τὸ ἀναγινώσκειν καὶ γράφειν· Παιδοτρίβαι δὲ, οἱ ἐπιστατοῦντες καὶ φροντίζοντες τῶν παίδων ὑπηρέται.

— Αὐξομένῳ δὲ) Ἐφίστανται. Σημείωσαι δὲ ὅτι Κριτικοὶ μέν εἰσιν οἱ κατὰ τὴν παράδοσιν εἰδότες κρίνειν τὰ ποιήματα. Γεωμέτραι δὲ, οἱ τῆς γεωμετρίας διδάσκαλοι· ὥσπερ καὶ Τακτικοὶ· οἱ τὰ τακτικὰ διδάσκοντες· τὸ δὲ Πλῆθος δεσποτῶν κατ' ἐπεξήγησιν κεῖται.

ή. Εἰς τοὺς Ἐφήβους ἐγγρ.) Ἀπεγράφοντο γὰρ εἰς τὰς Ἀθήνας τοὺς γεννωμένους καθ' ἕκαστον βαθμὸν ἡλικίας. ὅθεν τὸ, Ἐπειδὰν εἰς τοὺς ἐφ. ἐγγρ. παρ' ἡμῖν λέγεται. Ὅταν γραφῇ εἰς τὸ κατάστιχον τῶν ἐφήβων. Ἐκ τούτου δὲ ἡ φράσις αὕτη λαμβάνεται καὶ ἀντὶ τοῦ ἔφηβος γενόμενος.

— Κοσμητὴς, καὶ φόβος χ.) Τότε καὶ ὁ φόβος χείρων ἂν εἴη. Κοσμητὴς δέ ἐστιν ὁ εἰς τάξιν τιθέμενος τοὺς στρατιώτας. Μετὰ γὰρ τὸν τακτικὸν παραλαμβάνει ὁ κοσμητὴς τὸν νέον.

— Ἔπειτα Λύκ. Ἀκαδ.) Λύκειον καὶ Ἀκαδημία γυμνάσια ἦν ἐν Ἀθήναις, ἔνθα τὴν φιλοσοφίαν ἐδιδάσκοντο οἱ ἔφηβοι. Οὐ μὴν ἀλλὰ καὶ τοὺς γυμνικοὺς ἀγῶνας κατὰ ταύτην τὴν ἡλικίαν ἐμάνθανον· ἔνθα καὶ ἐμαστιγοῦντο, καὶ δεινὰ ἄμετρα ἔπασχον.

— Καὶ τὴν ἐπὶ τούς ν. αἵρ.) Οἱ γὰρ Ἀθηναῖοι ἐξ ἑκάστης φυλῆς ἐξελέγοντο δέκα ἄνδρας προϊσταμένους τῶν νέων καὶ τὰ ἤθη αὐτῶν ἐπισκοποῦντας. ἦσαν δὲ οὗτοι τῶν ἐξ Ἀρείου πάγου. Τὸ γὰρ Ἀρείου πάγου δικαστήριον ἀνώτατον ἦν, καὶ ἐκαλεῖτο Βουλή· πρῶτον μὲν φυλακὴν τῶν νόμων, δεύτερον δὲ διόρθωσιν ἠθῶν, καὶ τρίτον τὰ περὶ θανάτου, ὑπισχνούμενόν τε καὶ ἐνεργοῦν.

2. Καὶ τοῖς ὕστ. χαλ.) Τὰ πρῶτα χαλεπὰ παραβαλλόμενα τοῖς ὕστερον χαλεποῖς, ἐφάνησαν ὡς ἀληθῶς παιδικά· καὶ φόβητρα νηπίων· εἰσὶ γὰρ, στρατηγ. κτλ

Θ΄. Εἶτα λαθὸν ὑπεισῆλθε τὸ γῆρας, εἰς ὃ πᾶν συῤῥεῖ τὸ τῆς φύσεως ἐπίκηρον καὶ δυσαλθές. Κἄν μή τις θᾶττον, ὡς χρέος,
2 ἀποδιδῶ τὸ ζῆν, ὡς ὀβολοστάτης, ἡ φύσις ἐπιστᾶσα ἐνεχειράζει, τοῦτο μὲν ὄψιν, τοῦτο δὲ ἀκοήν, πολλάκις δὲ ἄμφω· κἄν
3 ἐπιμείνῃ τις, παρέλυσεν, ἐλωβήσατο, παρήρθρωσεν. Ἄλλοι πολὺ γήρως ἀκμάζουσι· καὶ τῷ νῷ δὶς παῖδες οἱ γέροντες γίγνονται· καὶ τοῦτο καὶ οἱ θεοὶ τῶν ἀθρωπείων ἐπιστήμονες, οὓς ἀπερὶ πλείστου ποιῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν.

ι. Ἀγαμήδης γοῦν, καὶ Τροφώνιος, οἱ δειμάμενοι τὸ Πυθοῖ τοῦ θεοῦ τέμενος, εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι, κατακοιμηθέντες οὐκ ἔτ' ἐξανέστησαν· οἵτε τῆς Ἀργείας ἱερείας υἱεῖς, ὁμοίως εὐξαμένης αὐτοῖς τῆς μητρὸς γενέσθαί τι τῆς εὐσεβείας παρὰ τῆς Ἥρας γέρας, ἐπειδὴ, τοῦ Ζεύγους ὑστερήσαντος, ὑποδύντες αὐτοὶ διήνεγκαν αὐτὴν εἰς τὸν νεών,
2 μετὰ τὴν εὐχὴν νυκτὶ μετήλλαξαν. Μακρὸν ἂν εἴη διεξιέναι τὰ τῶν ποιητῶν, οἱ ποιήμασι θειοτέροις τὰ περὶ τὸν βίον θεσπιῳ-
3 δοῦσιν· ὡς κατοδύρονται τὸ ζῆν. Ἑνὸς δὲ μόνου μνησθήσομαι τοῦ ἀξιολογωτάτου, λέγοντος,

Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
Ζώειν ἀχνυμένοις.

Καί,

Οὐ μὲν γάρ τι που ἔστιν ὀϋζυρώτερον ἀνδρὸς
Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

4 Τὸν δ' Ἀμφιάραον τί φησί;

Θ΄. Ὑπεισῆλθε τὸ γῆρ·) Ἀντὶ ὑπεισέρχεται κατὰ ἀντιχρονισμόν· εἰς πίστωσιν καὶ βεβαίωσιν τοῦ λόγου.

2 Ὡς ὀβολος.) Ὀβολοστάτης λέγεται ὁ δανειστής. Καθάπερ οὖν ἐκεῖνος ἀφαιρεῖται τὸ δάνειον, οὕτω καὶ ἡ φύτις ἐπιστᾶσα νῦν μὲν ὡς ἐνέχειρον λαμβάνει τὴν ὄψιν, νῦν δὲ ἀκοήν. Τοιαύτη τίς ἐστιν ἡ τοῦ, Τοῦτο μὲν, τοῦτο δὲ, χρήσις.

3. Ἄλλοι πολὺ γήρως ἀκ.) Ἄλλοι ἀκμάζουσι πολὺ τοῦ γήρως ἤτοι ἐπὶ πολὺ τοῦ γήρατος,

—Καὶ τῷ νῷ δὶς παῖδ.) Καὶ κατὰ τὸν νοῦν. Ἐλλείπει δὲ ἡ Ἐν.

— Καὶ Τοῦτο καὶ) Τὸ Τοῦτο κατ' ἔλλειψιν τῆς Διά. οἷον· καὶ διὰ τοῦτο καὶ οἱ θεοὶ καὶ τλ.

— Περὶ πλείστου ποιῶντ.) Ἔχουσιν εἰς εὔνοιαν. Τὸ γὰρ περὶ πλείστου ποιοῦμαι τινὰ τὸ, προτιμῶ, ἔχω εἰς ὑπόληψιν, ἢ τιμῶ, σημαίνει.

ι. Ἀγαμ. καὶ Τροφών.) Ἀγαμήδης καὶ Τροφώνιος ἀδελφοὶ, παῖδες Ἐργίνου, δεινοὶ τὴν τεκτονικήν· οὗτοι φασὶ τὸ ἐν Δελφοῖς τέμενος τοῦ Ἀπόλλωνος δειμάμενοι· καὶ τλ.

— Οἵτε τῆς Ἀργ. ἱερ. υἱεῖς.) Κλέοβις καὶ Βίτων· Οὗτοι, ἑορτῆς ἐν Ἄργει τελουμένης, ἐπειδὴ οἱ βόες ὑστέριζον ὀχουμένης τῆς μητρὸς, εἶλκον τὴν ἅμαξαν μέχρι τοῦ ἱεροῦ τεσσαράκοντα καὶ πέντε σταδίους τούτους ἐμαλάριζον Ἀργεῖοι ἰδόντες, ἡ μήτηρ εὔχεται ὑπὲρ αὐτῶν, καὶ θεὸς δίδωσι θάνατον. Ἡρόδ. Α΄, λά.

— Νυκτὶ μετ.) Ἐν νυκτί.

3. Λέγοντος) Ὅμηρ. Ἰλ. Ω. στίχ. 525.

— Καὶ οὐ μὲν γὰρ) Ἰλ. Ρ. στίχ. 446.

— Τὸν δ' Ἀμφιάραον τί φησί.) Ὀδυσ. Ο΄. στίχ. 245, Διὰ δὴ τὸν Ἀμφιάραον τί φησιν; Ὅτι δηλ. Ζεὺς καὶ Ἀπόλλων ὑπερεφίλουν αὐτόν. Ὅθεν οὐδ' εἰς γῆρας ἵκετο. Ἵνα δὲ μὴ τρωθῇ, Ζεὺς τὴν γῆν κεραυνῷ βαλὼν διέστησεν, ὁ δὲ σὺν τῷ ἅρματ ἐκρύφθη. Ἀπολόδ. Γ΄.

— Ὁ δὲ κελεύων.) Εὐρυπ. Κρεσφόντῃ Ἀποσπασμ. 30.

Τὸν περὶ κῆρι φίλει Ζεὺς τ' αἰγίοχος, καὶ Ἀπόλλων,
Παντοίῃ φιλότατ', οὐδ' ἵκετο γήραος οὐδόν

Ὁ δὲ κελεύων,

Τὸν φῦντα θρηνεῖν εἰς ὅτ' ἔρχεται κακά,

τί σοι φαίνεται; Ἀλλὰ παύομαι, μήποτε παρὰ τὴν ὑπόσχεσιν μηκύνω, καὶ ἑτέρων μιμνησκόμενος.

ιά. Ποίαν δέ τις ἑλόμενος ἐπιτήδευσιν, ἢ τέχνην, οὐ μέμψεται, καὶ τοῖς παροῦσι χαλεπανεῖ; Τοὺς χειρωνακτικοὺς ἐπέλθωμεν, καὶ βαναύσους, πονουμένους ἐκ νυκτὸς εἰς νύκτα, καὶ μόλις ποριζομένους τὰ ἐπιτήδεια· κατοδυρομένων τε αὐτῶν, καὶ πᾶσαν ἀγρυπνίαν ἀναπιμπλάντων ὀλοφυρμοῦ, καὶ δακρύων. Ἀλλὰ τὸν πλωτικὸν καταλεξώμεθα παιραισύμενον διὰ τοσῶν δὲ κινδύνων, καὶ μήτε, ὡς ἀπεφήνατο Βίας, ἐν τοῖς τεθνηκόσιν ὄντα, μήτε ἐν τοῖς βιοῦσιν. Ὁ γὰρ ἐπίγειος ἄνθρωπος, ὡς ἀμφίβιος, αὐτὸν εἰς τὸ πέλαγος ἔρριψεν, ἐπὶ τῇ τύχῃ γενόμενος πᾶς. Ἀλλ' ἡ γεωργία γλυκύ· δῆλον· ἀλλ' οὐχ ὅλον, ὥς φασιν, ἕλκος; ἀεὶ λύπης πρόφασιν εὑρισκόμενον, κλαῖον νῦν μὲν αὐχμόν, νῦν δὲ ἐπομβρίας, νυνὶ δὲ ἐπίκαυσιν, νυνὶ δὲ ἐρυσίβην, νυνὶ δὲ θάλπος ἄκαιρον, ἢ κρύος.

ιβ΄. Ἀλλ' ἡ πολυτίμητος πολιτεία, πολλὰ γὰρ ὑπερβαίνω, διὰ πόσων ἐλαύνεται δεινῶν; τὴν μὲν γὰρ χαρὰν ἔχουσα φλεγμονῆς δίκην παλλομένην καὶ σφυγματώδη, τὴν δ' ἀπότευξιν ἀλγεινὴν καὶ θανάτων μυρίων χείρω. Τίς γὰρ ἂν εὐδαιμονήσειε πρὸς ἄχλον ζῶν, εἰ ποππυσθείη, καὶ κροτηθείη, δήμου παίγνιον, ἐμβαλλόμενον, συριττόμενον, ζημιούμενον, θνῆσκον, ἐλεούμενον. Ἔπειτοι γε,

---

ιά. Κατοδυρομ.) Κατὰ τὴν σύνταξιν ἔδει εἰπεῖν, Κατοδυρομένους καὶ τλ. ὁ δὲ εἰς τὸ ἀπόλυτον μετήνεγκε σχῆμα. Κακοζηλότερον δὲ τοῦτο. Ἦν δέ τοι τὸ Ἀκούτομεν ἐννοηθείη, εὐσυνταχτότερόν τε δόξει καὶ εὐληπτότερον.

3. Βίας ἐν τοῖς τεθ.) Ὅθεν καὶ ἐν τῷ τῶν Ἑπτὰ σοφῶν ἐπιγράμματι.

Τοὺς πλέοντας κακίους δὲ Βίας
ἀπέφηνε Πριηνεύς.

— Ἐπὶ τῇ τύχ. γεν. πᾶς.) Ὅλος παραδοθεὶς τῇ τύχῃ.

4. Ἀλλ' ἡ γεωργ.) Ὅμοιον δὲ τοῦτο τῷ τοῦ Μενάνδρου. σίχ. 96.

Ἔχει τι πικρὸν τῆς γεωργίας γλυκύ.

— Ἀλλ' οὐχ ὅλον.) Ὅλον ἕλκος, ἐστὶ παροιμία. Ὅπερ ἐστὶν. Οὐκ ἔστι καὶ αὐτὴ ἡ γεωργία ὅλον ἕλκος. Τὸ δ' Εὑρισκόμενον καὶ Κλαῖον πρὸς τὸ γλυκὺ ἀποδίδοται, διὰ τὸ τὴν γεωργίαν καὶ τὰ σηματίαν πυδέτερον εἶναι. τὸ δὲ Αὐχμὸν καὶ τλ. ἔλλειψιν ἔχει τῆς Διά. Ὅρα δὲ ταυτὰ λέγοντα καὶ Ξεν. ἐν Οἰκον. ἑ. 18.

ιβ΄. Πολλὰ γὰρ ὑπερβ.) Πολλὰ δηλ. ἄλλα ἐπιτηδεύματα περέρχομαι ἀποστιωπῶν.

— Διὰ πόσων ἐλαύνεται δειν.) Μεταξὺ πόσων δεινῶν διέρχεται ὥσπερ ἵππος διελαυνόμενος

2. Πρὸς ὄχλον ζῶν.) Κατὰ τὴν βούλησιν καὶ νεῦμα τοῦ ὄχλου ζῶν.

— Δήμου παίγν.) Εἰ ποπ. καὶ κροτῶ δήμου παίγνιον, Καὶ τὰ λοιπὰ δὲ πρὸς τὸ Παίγνιον συνεφώνησαν. Σημειωσαι δὲ ὅτι ἐν Ἀθήναις οἱ ἔνδοξοι, ἐπὶ τοῖς πράγμασι καταστάντες, παίγνιον ἐγίνοντο τοῦ δήμου· ἐτύριττε γὰρ αὐτοὺς, ἐζημίου χρήμασι, καὶ κατεδίκαζε θανάτων· μετὰ τὸν θάνατον ἠλέει, ἀγάλματα ἤγειρε, τιμὰς ἀπεδίδου· οὕτως ἄστατον ὁ ὄχλος.

3 Ἀξίοχε πολιτικέ, ποῦ τέθνηκε Μιλτιάδης; Ποῦ δὲ Θεμιστοκλῆς; Ποῦ δ' Ἐφιάλτης; Ποῦ δὲ πρώην οἱ δέκα στρατηγοί; Ὅτ' ἐγὼ μὲν οὐκ ἐπηρόμην τὴν γνώμην· οὐ γὰρ ἐφαίνετό μοι σεμνὸν δήμῳ μαινομένῳ συνεξάρχειν· οἱ δὲ περὶ Θηραμένην, καὶ Καλλιξεινον, τῇ ὑστεραίᾳ προέδρους ἐγκαθέτους ὑφέντες, κατεχειροτόνησαν τῶν ἀνδρῶν ἄκριτον θάνατον· καὶ τοιγε σὺ μόνος αὐτοῖς ἤμυνες, καὶ Εὐρυπτόλεμος, τρισμυρίων ἐκκλησιαζόντων.

ιγ'. Αξ. Ἔστι ταῦτα, ὦ Σώκρατες· καὶ ἔγωγε ἐξ ἐκείνου ἄλις ἔσχον τοῦ βήματος, καὶ χαλεπώτερον οὐδὲν ἐφάνη μοι πολιτείας. Δῆλον δὲ τοῖς ἐν τῷ ἔργῳ γενομένοις. Σὺ μὲν γὰρ οὕτω λαλεῖς, ὡς ἐξ ἀπόπτου θεώμενος· ἡμεῖς δὲ ἴσμεν ἀκριβέ-
2 στερον οἱ διὰ πείρας ἰόντες. Δῆμος γάρ, ὦ φίλε Σώκρατες, ἀχάριστον, ἀψίκορον, ὠμόν, βάσκανον, ἀπαίδευτον, ὡς ἂν συμπρανισμένον ἐκ σύγκλυδος ὄχλου, καὶ βιαίων φλυάρων· ὁ δὲ τούτῳ προσετεριζόμενος, ἀθλιώτερος μακρῷ.

ιδ'. Σωκ. Ὁπότε οὖν, ὦ Ἀξίοχε, τὴν ἐλευθεριωτάτην ἐπιστήμην τίθεσαι τῶν λοιπῶν ἀπευκτεωτάτην, τί τὰς λοιπὰς ἐπιτηδεύσεις ἐννοήσομεν; οὐ φευκτάς; Ἤκουσα δέ ποτε καὶ τοῦ Προδίκου λέγοντος, ὅτι ὁ θάνατος, οὔτε περὶ τοὺς ζῶντάς ἐστιν,
2 οὔτε περὶ τοὺς μετηλλαχότας. — Ἀξ. Πῶς φής, ὦ Σώκρατες; — Σωκ. Ὅτι περὶ μὲν τοὺς ζῶντας οὐκ ἔστιν, οἱ δ' ἀποθανόντες

— Ποῦ τέθνηκε Μιλτ. καὶ τλ.) Μιλτιάδης μὲν γὰρ τέθνηκεν ἐν εἱρκτῇ, καταδικασθεὶς ἀποτίσαι τοσαῦτα, ὅσα οὐκ ἠδύνατο. Θεμιστοκλῆς δὲ, ἐν Μαγνησίᾳ, ὑπὸ μὲν τῶν Ἀθηναίων θανατωθεὶς, Ἀρταξέρξῃ δ' αὐτὸν ἐμπιστεύσας, καὶ αἷμα ταύρου πιὼν, ἵνα μὴ κατὰ τῆς πατρίδος, ὑπερετῶν τῷ βαρβάρῳ, ἔλθῃ. Ἐφιάλτης δὲ, καταδικασθεὶς, ἐφονεύθη ὑπὸ Ἀριστοδίκου τοῦ Ταναγραίου· διότι ἀτεώθει τοὺς ὀλιγαρχικούς· καίτοι, ὥς φησι Πλούταρχος ἐν Κίμωνι καὶ Περικλεῖ τὴν τῶν Ἀρεοπαγητικῶν ἰσχὺν καὶ δύναμιν, οὕτως ἐταπείνου, ὥστε πολλὰ δίκαια αὐτῶν ἀφῄρηται. Οἱ δὲ δέκα στρατηγοὶ, ἐπειδὴ διὰ τὴν τρικυμίαν οὐκ ἐδυνήθησαν τοὺς ἐν ναυμαχίᾳ πεσόντας νεκροὺς θάψαι, περὶ Λέσβον ναυμαχήσαντες Λακεδαιμονίοις, κατηγοροῦντος Καλλιξένους καὶ Θηραμένους, ἐφονεύθησαν. Ξενοφ. Ἑλλην. Α', ς', ζ'.

— Ὅτι ἐγὼ οὐκ ἐπ.) Πάντων γὰρ τῶν Πρυτάνεων καταψηφισάντων τῶν δέκα στρατηγῶν, μόνος Σωκράτης οὐκ ἐπήρθη τὴν γνώμην, οὐδ' ἐψηφίσατο. Πλάτ. Ἀπολ. ιέ. 5. Ξενοφ. Ἑλλην. Α'. ς'. ζ'.

— Ὑφέντες.) Ἀπατηλοὺς προέδρους ἑτοιμάσαντες, εἶτ' οὖν ἀπατήσαντες τοὺς προέδρους, κατεψηφίσαντο τῶν δέκα στρατηγῶν· ὧν τὰ ὀνόματα ταῦτα, Περικλῆς, Διομέδων, Ἀριστοκράτης, Λυσίας, Θρασύλος, Ἐρασινίδης, Πρωτόμαχος, Ἀριστογένης, Κόνων, Καλλικρατίδας.

ιγ'. Ἐξ ἐκείνου ἄλις ἔσχ.) Ἔκτοτε ἐκχορέσθην· βαρύτι μοι ἐφάνη τὸ βῆμα.

— Οἱ διὰ πείρας ἰόντ.) Οἱ πειρασθέντες.

2. Ἐκ σύγκλυδος ὄχλ.) Συμμίκτου, Ἐπήλυδος, καὶ παρεισάκτου ὄχλου, κατὰ Σουΐδαν.

— Καὶ βιαίαν) ἀνθρώπων δηλ.

— Ἀθλιώτερος μακρ.) Πολὺ ἐστιν ἀθλιώτερος.

ιδ'. Τὴν ἐλευθεριωτάτην ἐπιστ.) Τὰ πολιτικὰ δηλ.

— Μετηλλαχ.) Τοὺς μεταλλάξαντας τὸν βίον, τοὺς ἀποθανόντας δηλ. Ὅσῳ γάρ τις ζῇ, οὐ φοβεῖται τὸν θάνατον, οὐ γὰρ περὶ αὐτὸν ἐστὶν, ἀποθανὼν δέ, οἴχεται, καὶ οὐδὲν μέλει αὐτῷ τοῦ θα-

οὐκ εἰσίν. Ὥστε οὔτε περί σε νῦν ἔστιν· οὐ γὰρ τέθνηκας· οὔτε, εἴ τι πάθοις, ἔσται περί σε· σὺ γὰρ οὐκ ἔσῃ. Μάταιος οὖν 3
ἡ λύπη, περὶ τοῦ, μήτε ὄντος, μήτε ἐσομένου, περὶ Ἀξίοχον, Ἀξίοχον ὀδύρεσθαι· καὶ ὅμοιον, ὡς εἰ περὶ τῆς Σκύλλης, ἢ τοῦ Κενταύρου, τίς ὀδύροιτο, τῶν μήτε ὄντων νῦν περί σε, μήτε ὕστερον περὶ τὴν τελευτὴν ἐσομένων. Τὸ γὰρ φοβερὸν τοῖς οὖσιν ἐ- 5
στί· τοῖς δ' οὐκ οὖσι πῶς ἄν εἴη;

ιέ. Ἀξ. Σὺ μέν ἐκ τῆς ἐπιπολαζούσης ταυῦν λεσχηνείας τὰ σοφὰ ταῦτα εἴρηκας· (ἐκεῖθεν γάρ ἐστιν ἥδε ἡ φλυαρολογία, πρὸς τὰ μειράκια διακεκοσμημένη·) ἐμὲ δὲ ἡ στέρησις τῶν ἀ-
γαθῶν τοῦ ζῆν λυπεῖ, κἂν πιθανωτέρους τούτων λόγους ἄρτι κρο- 2
τήσῃς, ὦ Σώκρατες. Οὐκ ἐπαΐει γάρ ὁ νοῦς ἀποπλανόμενος εἰς
εὐεπείας λόγων, οὐδὲ ἅπτεται ταῦτα τῆς ὁμοχροίας· ἀλλ' εἰς μὲν
πομπὴν καὶ ῥημάτων ἀγλαϊσμὸν ἀνύττει, τῆς δὲ ἀληθείας ἀ-
ποδεῖ· τὰ δὲ παθήματα σοφισμάτων οὐκ ἀνέχεται, μόνοις δὲ 3
ἀρκεῖται τοῖς δυναμένοις καθικέσθαι τῆς ψυχῆς.

ις΄. Σωκ. Συνάπτεις γάρ, ὦ Ἀξίοχε, ἀνεπιλογίστως, τῇ στερήσει τῶν ἀγαθῶν ἀντισάγων κακῶν αἴσθησιν, ἐκλαθόμενος, ὅτι τέθνηκας. Λυπεῖ γὰρ τὸ στερόμενον τῶν ἀγαθῶν ἡ ἀντι- 2
πάθεια τῶν κακῶν· ὁ δὲ οὐκ ὢν οὐδὲ τῆς στερήσεως ἀντιλαμ-
βάνεται. Πῶς οὖν ἐπὶ τῷ μὴ παρέξοντι γνῶσιν τῶν λυπησόν- 3
των γένοιτ' ἂν ἡ λύπη; Ἀρχὴν γάρ, ὦ Ἀξίοχε, μὴ συνυπο- 4
θέμενος ἄλλως γέπως μίαν αἴσθησιν, κατὰ τὸ ἀνεπιστῆμον,

νάτου, οὐ δ' αἴσθησιν ἔχει αὐτοῦ· οὐδ' ἀποθανεῖται πάλιν.

3. Μάταιος οὖν ἡ λύπ.) Κοινῶς τὸ μάταιος ἔθει Ἀττικῷ, ἀντὶ ματαία.

— Ἀξίοχ. Ὀδυρ.) Δηλ. τὸ ὀδύρεσθαι τὸν Ἀξίοχ.

— Ὡς εἰ περὶ τῆς Σκύλ.) Ἡ γὰρ Σκύλλα φαντασιῶδές τι ἦν· ἔπλασαν γὰρ οἱ ποιηταὶ αὐτὴν περὶ τὴν Σικελίαν κατὰ τὸ στενὸν εἶναι θηρίον φρικῶδες· παντα γὰρ αὐτῆς τὰ μέλη εἰς σκύλακας ἦσαν μεταβληθέντα, ἀπαύστως ὑλακτοῦντα- Καὶ ὁ Κένταυρος· ὑπέθεντο γὰρ τὸ μέχρι στέρνον αὐτοῦ ἀνθρώπου ἀγρίου, τὸ δὲ λοιπὸν ἵππου.

5. Τὸ γὰρ φοβερὸν τοῖς οὖσ.) Ὁ γὰρ ὑπάρχει, τοῦτο δεῖ καὶ φοβεῖσθαι· ἐν γὰρ τοῖς οὖσι τὸ φοβερόν, οὐκ ἐν τοῖς μὴ οὖσι.

ιέ. Πρὸς τὰ μειράκ.) Διὰ τὰ μειράκια.

— Τοῦ ζῆν.) Τῆς ζωῆς δηλ.

— Κροτήσῃς) Συγκροτήσῃς, συνθῇς.

2. Τῆς ὁμοχροίας) Τῆς ἐπιφανείας τοῦ πράγματος τῆς ὑποθέσεως.

ις΄. Λυπεῖ γὰρ) Ὅταν πάσχῃ τις κακά, στερούμενος τἀγαθά· τοῦτο λυπεῖ τὸν στερούμενον.

— Ὁ δὲ οὐκ ὤν.) Ὁ Θάνατος δηλ.

3. Πῶς οὖν καὶ τλ.) Πῶς οὖν ἂν γένοιτο ἡ λύπη ἐπὶ πράγματι τῷ Θανάτῳ δηλ. ὅπερ οὐδεμίαν γνῶσιν παρέξει τοῖς ἀνθρώποις τῶν μελλόντων λυπήσειν αὐτοὺς πραγμάτων. Ὅπερ ἐστιν. Ἐπειδὴ ὁ Θάνατος, ὡς ἀναισθησίας παρεκτικός, οὐδεμίαν γνῶτιν παρέχει πραγμάτων, ἅ τινα δύνανται λυπῆσαι τὸν ἄνθρωπον, πῶς οὖν ἂν γένοιτο ἐπὶ τούτῳ λύπη;

4. Ἀρχὴν γάρ.) Ἀντὶ τοῦ παντάπασι, τελείως. Οἷον, Ἐὰν γὰρ μηδὲ τὴν ἀρχὴν συνυποθῇς, ὁπωσδηποτοῦν αἴσθησίν τινα, καθ' ὃν τρόπον, καὶ εἴτις οὐκ ἔχει ἐπιστήμην, οὐκ ἂν φοβηθείης τὸν Θάνατον. Τὸ δέ, Κατὰ τὸ Ἀνεπιστῆμον, ὅμοιόν ἐστι τῷ προῤῥηθέντι, Παρὰ τὴν ἀνεπιστασίαν ὁρ. ὁ΄· Σημ.

οὐκ ἄν ποτε πτυρείης τὸν θάνατον. Νῦν δὲ περιτρέπεις σεαυτόν, δειματούμενος στερήσεσθαι τῆς ψυχῆς, τῇ δὲ στερήσει περιτιθεὶς ψυχήν· καὶ ταρβεῖς μὲν τὸ μὴ αἰσθήσεσθαι, καταλήψεσθαι δὲ οἴει τὴν οὐκ ἐσομένην αἴσθησιν αἰσθήσει.

ιζ. Πρὸς τὸ πολλοὺς καὶ καλοὺς εἶναι λόγους περὶ τῆς ἀθανασίας τῆς ψυχῆς· οὐ γὰρ δὴ θνητή γε φύσις τόσον διήρατο μεθουργίας, ὥστε καταφρονῆσαι μὲν ὑπερβαλλόντων θηρίων βίας, διαπεραιώσεσθαι δὲ πελάγη, δείμασθαι δὲ ἄστη, καταστήσασθαι δὲ πολιτείας, ἀναβλέψαι δὲ εἰς τὸν οὐρανόν, καὶ ἰδεῖν περιφορὰς ἄστρων, καὶ δρόμους ἡλίου τε καὶ σελήνης, ἀνατολάς τε καὶ δύσεις, ἐκλείψεις τε καὶ ταχείας ἀποκαταστάσεις, ἰσημερίας τε καὶ τροπὰς διττάς, καὶ Πλειάδων, χειμῶνος καὶ θέρους, ἀνέμους τε, καὶ καταφορὰς ὄμβρων, καὶ πρηστήρων ἐξαισίους συρμούς· καὶ τὰ τοῦ κόσμου παθήματα παραπήξασθαι εἰς τὸν αἰῶνα· εἰ μή τι θεῖον ὄντως ἐνῆν πνεῦμα τῇ ψυχῇ, δι' οὗ τὴν τῶν τηλικῶν δε περίνοιαν καὶ γνῶσιν ἔσχεν. Ὥστε οὐκ εἰς τὸν θάνατον, ἀλλ' εἰς ἀθανασίαν, μεταβάλλεις, ὦ Ἀξίοχε, οὐδ' ἀφαίρεσιν ἄξεις τῶν ἀγαθῶν, ἀλλ' εἰλικρινεστέραν τὴν ἀπόλαυσιν, οὐδὲ μεμιγμένας θνητῷ σώματι τὰς ἡδονάς, ἀλλ' ἀκράτους ἁπασῶν ἀλγηδόνων. Κεῖσε γὰρ ἀφίξει, μονωθεὶς ἐκ τῆσδε τῆς εἱρκτῆς, ἔνθα ἄπονα πάντα καὶ ἀστένακτα, καὶ ἀγήρατα· γαληνὸς δέ τις καὶ κακῶν ἄγονος, βίος, ἀσαλεύτῳ ἡσυχίᾳ ἐνδιαζόμενος, καὶ περιαθρῶν τὴν φύσιν, καὶ φιλοσοφῶν, οὐ πρὸς ὄχλον καὶ θέατρον, ἀλλὰ πρὸς ἀμφιθαλῆ τὴν ἀλήθειαν.

---

5. Τὸ μὴ αἰσθ.) Διὰ τὸ μὴ αἰσθ.

ιζ'. Τόσον διήρ.) Εἰς τοσαύτην, δηλ. μεγεθουργίαν ἦρθη.

— Ἰσημερίας τε καὶ τρ. διτ.) Μία γὰρ ἰσημερία κατὰ τὸν Μάρτιον, καὶ μία κατὰ τὸν Σεπτέμβριον, ὥσπερ καὶ μία τροπὴ κατὰ τὸν Ἰούνιον, ὅτε ὁ ἥλιος βορειότατος γενόμενος ἐπὶ τὰ νοτιώτερα κλίνει τρεπόμενος, ὡς γε αἰσθήσει εἰκάσαι· μία δὲ κατὰ τὸν Δεκέμβριον· ὅτε νοτιώτατος γενόμενος ὁ ἥλιος, φαίνεται πρὸς τὰ βορειότερα ἐπιστρέφων. Καὶ τοῦτο διὰ τὸ λοξὸν τοῦ Ζωδιακοῦ.

— Καὶ Πλειάδ.) Ἀστερισμός τις ἐστὶν αἱ πλειάδες ὑτὸ ἑπτά, ὡς γε ὄψει εἰκάσαι, ἀστέρων συγχρωτούμεναι, καλεῖται δὲ παρὰ τοῖς χυδαίοις Γλῶσσα αὗται δέ εἰσι σημεῖα θέρους καὶ χειμῶνος. Ὅταν γὰρ πρὸ ἀνατολῆς ἡλίου φαίνωνται ὑπὲρ τὸν ὁρίζοντα πρὸς ἀνατολάς, θέρος τέ ἐστι, καὶ ἀμητοῦ καιρός· ὅταν δὲ ἐπὶ δύσιν μετὰ τὴν ἡλίου δύσιν, χειμών τε ἐστὶ καὶ τοῦ σπείρειν καιρός· ὅθεν καὶ Ἡσίοδ. ἐν Ἔργ. στίχ. 385.

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
Ἄρχεσθ' ἀμητοῦ, ἀρότοιο δέ, δυσομενάων.

— Καὶ τὰ τοῦ κόσμ.) Ὅσα δηλ. ἐν τῷ κόσμῳ συμβαίνει, ὡς κινήσεις ἀστέρων καὶ τλ. Τούτων τοὺς νόμους εὖ ῥόντες πάγια καὶ βέβαια ἀπέδειξαν ἄνθρωποι· ὅθεν καὶ ἐκλείψεις προλέγουσι, καὶ τὰ τοιαῦτα.

— Εἰ μή τιθ.) Ἐπαναληπτέον ἐνταῦθα, Οὐ γὰρ θνητὴ φύσις τοσόν δε διήρατο μεγεθουργίας· εἰμή τι θεῖον καὶ τλ.

3. Ἀσαλευτ.) Ἐν ἀσαλεύτῳ· κατ' ἔλλειψιν δηλ. τῆς Ἐν.

ιή. Ἀξ. Εἰς τοὐναντίον με τῷ λόγῳ περιέστακας· οὐκ ἔτι γάρ μοι θανάτου δέος ἔνεστιν, ἀλλ' ἤδη καὶ πόθος, ἵνα τι κἀγὼ μιμησάμενος τοὺς ῥήτορας περιττὸν εἴπω· καὶ πάλαι μετεωρολογῶ, καὶ δίειμι τὸν ἀΐδιον καὶ θεῖον δρόμον, ἔκ τε τῆς ἀσθενείας ἐμαυτὸν συνείλεγμαι, καὶ γέγονα καινός.

ιθ΄. Σωκ. Εἰ δὲ καὶ ἕτερον βούλει λόγον, ὃν ἐμοί ἤγγειλε Γωβρίας, ἀνὴρ μάγος· ἔφη, κατὰ τὴν τοῦ Ξέρξου διάβασιν τὸν πάππον αὐτοῦ καὶ ὁμώνυμον, πεμφθέντα εἰς Δῆλον, ὅπως τηρήσειε τὴν νῆσον, ἐν ᾗ οἱ δύο θεοὶ ἐγένοντο, ἔκ τινων χαλκέων δέλτων, ἃ ἐξ Ὑπερβορέων ἐκόμισαν Ὦπις τε καὶ Ἑκάεργος, ἐκμεμαθηκέναι, κατὰ τὴν τοῦ σώματος λύσιν τὴν ψυχὴν εἰς τὸν ἄδηλον χωρεῖν τόπον, κατὰ τὴν ὑπόγειον οἴκησιν· ἐν ᾗ βασιλεῖα Πλούτωνος οὐχ ἧττω τῆς τοῦ Διὸς αὐλῆς, ἅτε τῆς μὲν γῆς ἐχούσης τὰ μέσα τοῦ κόσμου, τοῦ δὲ πόλου ὄντος σφαιροειδοῦς· οὗ τὸ μὲν ἕτερον ἡμισφαίριον θεοὶ ἔλαχον οἱ οὐράνιοι, τὸ δὲ ἕτερον οἱ ὑπένερθεν· οἱ μὲν ἀδελφοὶ ὄντες· οἱ δὲ ἀδελφῶν παῖδες. Τὰ δὲ προπύλαια τῆς εἰς Πλούτωνα ὁδοῦ 2
σιδηροῖς κλείθροις καὶ κλεισὶν ὠχύρωται. Ταῦτα δ' ἀνοίξαντα

ιή. Καὶ πάλαι.) Καὶ πρὸ πολλοῦ ἐν μετεώρῳ βαδίζω.

ιθ΄. Ἀνὴρ μάγ.) Μάγοι παρὰ Πέρσαις ἐλέγοντο, ὅσοι τὴν ἀστρονομίαν καὶ φυσικὴν ἐπιστήμονες.

— Κατὰ τὴν τοῦ Ξέρξ. διάβ.) Ὅτε δηλ. Ξέρξης ὁ Περσῶν βατιλεὺς πολλαῖς μυριάσι στρατοῦ κατὰ γῆν καὶ διὰ θαλάσσης διέβη εἰς τὴν Ἑλλάδα δουλουσόμενος αὐτήν. Ἡττηθεὶς δὲ πρῶτον μὲν κατὰ θάλατταν ἐν Σαλαμῖνι, εἶτα διὰ ξηρᾶς ἐν Πλαταιαῖς, αἴσχιστα οἴκαδε ἐπανῆλθε.

— Τὸν πάππ. καὶ ὁμών.) Γωβρύαν δηλ. καὶ αὐτὸν καλούμενον.

— Ἐν ᾗ δύο θεοὶ ἐγ.) Ἀπόλλων καὶ Ἄρτεμις οἱ ἐν νήσῳ Δήλῳ γεννηθέντες.

Ἡρόδοτος δὲ ς΄. ἑβδ. διηγούμενος ὅτι Δάτις ὁ στρατηγὸς τοῦ Περσικοῦ ναυτικοῦ, ἔλεγε περὶ τῶν Δηλίων· ὅτι προστέτακται αὐτῷ, ἐν ᾗ χώρᾳ οἱ δύο θεοὶ ἐγένοντο, ταύτην μηδὲν σίνεσθαι· ἐξ ὧν δοκεῖ καὶ ταῦτα εἰλῆφθαι.

— Ὦπις καὶ Ἑκάερ.) Ἄρτεμις καὶ Ἀπόλλων. Ἀπόλλων δὲ γὰρ καλεῖται Ἑκάεργος παρὰ τοῦ Ἑκὰς ἐργάζεσθαι ἢ εἴργειν. Ἡ δὲ Ἄρτεμις Ὦπις διὰ τὸ Ὀπίζεσθαι· εἰ τ' οὖν αἰδεῖσθαι αὐτὴν τὰς τικτούσας. ἔστι γὰρ καὶ ἐπὶ τὰς τικτούσας ἡ Ἄρτεμις. Τίνας δὲ δέλτους ἐξ Ὑπερβορέων ἐκόμισαν· ἄδηλον ἔμοιγε. »Σουίδας μέν τοι φησίν. Ἄβαρις »Σκύθης Σεύθου υἱὸς χρησμοὺς τοὺς κα»λουμένους Σκυθίους συνεγράψατο, καὶ »γάμον Ἔβρου τοῦ ποταμοῦ, καὶ καθαρ»μοὺς, καὶ θεογονίαν κατὰ λογάδην, »καὶ Ἀπόλλωνος ἄφιξιν εἰς Ὑπερβο»ρέους, ἐμμέτρως· ἦκε δὲ ἐκ Σκυθῶν »εἰς Ἑλλάδα. Τούτου ὁ μυθολογούμενος »τοῦ πετομένου ἀπὸ τῆς Ἑλλάδος μέ»χοι τῶν Ὑπερβορείων Σκυθῶν ἐδόθη »αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος«. Ἐκ τούτων Οὐόλφιος περαίνει ὅτι ὁ Ἀπόλλων τὰς εἰρημένας δέλτους εἰς ὑπερβορέους κατέλιπε, τὰς μετὰ ταῦτα εἰς Δῆλον ἀχθείσας.

— Κατὰ τὴν τοῦ σώμ. λύσ.) Ἐν τῇ διαλύσει τοῦ σώματος, μετὰ τὴν ἀπὸ τοῦ σώματος τῆς ψυχῆς διάλυσιν.

— Τοῦ δὲ πόλου) Κατάχρησις ἐστὶ τοῦτο ποιητική. Πόλοι γὰρ δύο εἰσὶν ἀντικείμενα σημεῖα τοῦ οὐρανοῦ, περὶ οὓς φαίνεται περιστρεφόμενος ὁ κόσμος ἐν εἰκοσιτέσσαρσιν ὥραις ἅπαξ. Ἐνταῦθα δὲ κατὰ τὸ ἔθος τῶν ποιητῶν τὸ μέρος ἀντὶ τοῦ ὅλου πολλάκις λαμβανόντων τὸν ὅλον κόσμον ἐννοεῖ.

— Οἱ μὲν ἀδελ. οἱ δ' ἀδ. παῖδ.) Ζεὺς γὰρ Ποσειδῶν καὶ Πλούτων ἀδελφοί· οἱ δὲ λοιποὶ τῶν ἀδελφῶν τούτων παῖδες.

ποταμὸς Ἀχέρων ἐκδέχεται· μεθ' ὃν Κωκυτός· οὓς χρὴ πορθμεύσαντα ἀχθῆναι ἐπὶ Μίνω καὶ Ῥαδάμανθυν, ὃ κληΐζεται πεδίον ἀληθείας.

κ'. Ἐνταυθοῖ καθέζονται δικασταί, ἀνακρίνοντες τῶν ἀφικνουμένων ἕκαστον, τίνα βίον βεβίωκε, καὶ τίσιν ἐπιτηδεύμα-
2 σιν ἐνωκίσθη τῷ σώματι. Ψεύσασθαι μὲν οὖν ἀμήχανον. Ὅσοις μὲν οὖν ἐν τῷ ζῆν δαίμων ἀγαθὸς ἐπέπνευσεν, εἰς τὸν τῶν εὐσεβῶν χῶρον οἰκίζονται· ἔνθα ἄφθονοι μὲν αἱ ὧραι παγκάρπου γονῆς βρύουσι, πηγαὶ δὲ ὑδάτων καθαρῶν ῥέουσι, παντοῖοι δὲ λειμῶνας ἄνθεσι ποικίλοις ἐαριζόμενοι, διατριβαὶ δὲ φιλοσόφων, καὶ θέατρα ποιητῶν, καὶ κύκλιοι χοροί, καὶ μουσικὰ ἀκούσματα· συμπόσιά τε εὐμελῆ, καὶ εἱλαπῖναι αὐτοχο-
3 ρήγητοι, καὶ ἀκήρατος ἀλυπεία, καὶ ἡδεῖα δίαιτα. Οὔτε γὰρ χεῖμα σφοδρόν, οὔτε θάλπος, ἐγγίνεται, ἀλλ' εὔκρατος· ἀὴρ
4 κεῖται, ἁπαλαῖς ἡλίου ἀκτῖσιν ἀνακρινάμενος. Ἐνταῦθα τοῖς μεμυημένοις ἐστί τις προεδρία, καὶ τὰς ὁσίας ἀγιστείας κά-
5 κεῖσε συντελοῦσιν. Πῶς οὖν οὐ σοὶ πρώτῳ μέτεστι τῆς τιμῆς, ὄντι γενήτῃ τῶν θεῶν; καὶ τοὺς περὶ Ἡρακλέα τε καὶ Διόνυσον κατιόντας εἰς Ἅδου πρότερον λόγος ἐνθάδε μυηθῆναι, καὶ τὸ θάρσος τῆς ἐκεῖσε πορείας παρὰ τῆς Ἐλευσινίας ἐναύσασθαι.

---

2. Πορθμεύσαν.) Διελθόντα ἕκαστον. — Ἐπὶ Μίν. καὶ Ῥαδάμ.) Κρῆτες, βασιλεῖς, οὓς διὰ τὸ ὑπερβάλλον τῆς δικαιοσύνης, κριτὰς μυθολογεῖται ἀποδεδεῖχθαι καθ' Ἅδου, καὶ διακρίνειν τοὺς εὐσεβεῖς καὶ πονηρούς.

— Ὃ κληΐζεται) Ὃς τόπος καλεῖται· οἷον. Ἀχθῆναι ἐπ' ἐκεῖνον τὸν τόπον, ὃς καλεῖται.

κ'. Καθέζονται δικ.) Ὁ Μίνως καὶ Ῥαδάμανθυς· πρὸς δὲ καὶ Αἰακός.

— Βίον βεβ.) Ἀττικῶς κατὰ τὸ Ὡς ἐπιβατικὸν σχῆμα.

2. Γονῆς βρύουσι) Τὸ Βρύω συντάσσεται δοτικῇ· Ἀριστ. περὶ κόσμ. Γῆ φυτοῖς βρύουσα, καὶ ζώοις πηγαῖς τε καὶ ποταμοῖς· ἐνταῦθα δὲ γενικῇ συνετάγη κατὰ τὰ πληρωματικά. ἐλλείψει τῆς Ἀπό.

4. Τοῖς μεμυημ.) Ὅσοι δηλ. τὰ ἐν Ἐλευσῖνι μυστήρια ἐμυήθησαν. Ἦγοντο δὲ κατὰ Βοηδρομιῶνα μῆνα πρὸς τὸν καθ' ἡμᾶς Σεπτέμβριον ἀντιπαραβαλλόμενον· ἐν ἡμέραις ἐννέα· ὧν αἱ τέσσαρες εἰς θυσίας κατηναλίσκοντο· ἡ δὲ πέμπτη λαμπὰς ἐκαλεῖτο, διὰ τὸ πάντας εἶναι λαμπαδοφόρους· ἡ δὲ ἕκτη εἰς θυσίαν Διονύσου· ἡ δ' ἑβδόμη εἰς ἀγῶνας, ἡ δ' ὀγδόη καὶ ἐννάτη εἰς ἐκτέλεσιν τῶν μυστηρίων· ὧν προίστετο ἱερεὺς Ἱεροφάντης καλούμενος· οἱ δὲ μυούμενοι καθαίροντο πρότερον ἐπὶ συὸς δέρματος καθήμενοι ἐπὶ γόνυ· καὶ ῥαντιζόμενοι ὕδατι θαλαττίῳ, ἢ ἅλατ μεμιγμένῳ διὰ κλάδου δάφνης ἢ ἐλαίας· εἶτα διὰ πυρὸς διήρχοντο, καὶ οὕτως ἐστέφοντο ἄνθεσιν. Οὕτως οὖν μυούμενοι διῆγον βίον ὅσιον καὶ σώφρονα. Ὅθεν καίψησι τοὺς μυηθέντας ἐν τοῖς Εἰλισίοις προκαθεδρεύειν.

5. Ὄντι γεν.) Μύστῃ τῶν θεῶν, καὶ γνωστῷ αὐτοῖς διὰ τὰ ἐν Ἐλευσῖνι μυστήρια.

— Καὶ τοὺς περὶ Ἡρακλ.) Λέγεται γὰρ ὅτι καὶ Ἡρακλῆς, καὶ Διόνυσος πρῶτον ἐμυήθησαν ἐν Ἀθήναις τὰ μυστήρια, εἶτα εἰς Ἅδου κατῆλθον. Ὁ μὲν γὰρ Ἡρακλῆς μέλλων εἰς Ἅδου ἀπιέναι ἵνα κομίσῃ τὸν Κέρβερον, ἦλθε πρὸς Εὔμολπον εἰς Ἐλευσῖνα, καὶ μυηθεὶς, τῆς εἰς Ἅδου καταβάσεως ἥψατο. Ἀπολλόδ. Β'. ἐ. 12. Ὁ δὲ Διόνυσος οὕτω κατῆλθεν εἰς Ἅδου καὶ ἀνήγαγε τὴν μητέρα, καὶ προσαγορεύσας Θυώνην μετ' αὐτῆς εἰς οὐρανὸν ἀνῆλθεν. Ἀπολλόδ. Γ'. ἐ. 3.

— Ἐναύσασθ.) Ἐξάψαι. Ἐκεῖθεν γὰρ ἐλάμβανον θάρσος τοῦ πορεύεσθαι εἰς Ἅιδην· ἀπὸ τῆς Ἐλευσινίας θεοῦ Δήμητρος, καὶ τῆς θυγατρὸς αὐτῆς Περσεφόνης.

κά. Ὅσοις δὲ τὸ ζῆν διὰ κακουργημάτων ἠλάθη, ἄγονται πρὸς Ἐριννύων ἐπ᾽ Ἔρεβος καὶ Χάους, διὰ Ταρτάρου· ἔνθα χῶρος ἀσεβῶν, καὶ Δαναΐδων ὑδρεῖαι ἀτελεῖς, καὶ Ταντάλου δίψος, καὶ Τιτυοῦ σπλάγχνα, καὶ Σισύφου πέτρος ἀνήνυτος, οὐ τὰ τέρματα αὖθις ἄρχεται πόνων· ἔνθα θηρσὶ περιλιχμώμενοι, καὶ λαμπάσιν ἐπιμόνως πυρούμενοι Ποινῶν, καὶ πᾶσαν αἰκίαν αἰκιζόμενοι, ἀϊδίαις τιμωρίαις τρύχονται.

κβ΄. Ταῦτα μὲν ἐγὼ ἤκουσα παρὰ Γωβρίου· σὺ δ᾽ ἂν ἐπικρίνειας, Ἀξίοχε. Ἐγὼ γὰρ λόγῳ ἀνθελκόμενος, τοῦτο μόνον ἐμπέδως οἶδα, ὅτι ψυχὴ ἅπασα ἀθάνατος, ἡ δὲ ἐκ τοῦδε τοῦ χωρίου μεταστα θεῖσα καὶ ἄλυπος. Ὥστε, ἢ κάτω ἢ ἄνω, εὐδαιμονεῖν σε δεῖ, Ἀξίοχε, βεβιωκότα εὐσεβῶς.— Ἀξ. Αἰσχύνομαί σοι τί εἰπεῖν, ὦ Σώκρατες· τοσοῦτον γὰρ ἀποδέω τοῦ δεδοικέναι τὸν θάνατον, ὥστε ἤδη καὶ ἔρωτα αὐτοῦ ἔχειν. Οὕτω με καὶ οὗτος ὁ λόγος, ὡς καὶ ὁ οὐράνιος, πέπεικε· καὶ ἤδη περιφρονῶ τοῦ ζῆν, ἅτε εἰς ἀμείνω οἶκον μεταστησόμενος. Νυνὶ δὲ ῥήματα κατ᾽ ἐμαυτὸν ἀναριθμήσομαι τὰ λεχθέντα. Ἐκ μεσημβρίας δὲ παρέσῃ μοι, ὦ Σώκρατες. — Σωκρ. Ποιήσω, ὡς λέγεις· κἀγὼ δὲ ἐπαίνειμι ἐς Κυνόσαργες, ἐς περίπατον, ὁπόθεν δεῦρο μετεκλήθην.

Β΄. ΠΕΡΙ ΑΡΕΤΗΣ ΕΙ ΔΙΔΑΚΤΟΝ.

Σωκράτης καὶ Φίλος.

ά. Σωκ. Ἆρα διδακτόν ἐστιν ἡ ἀρετή, ἢ οὐ διδακτόν; ἀλλὰ φύσει οἱ ἀγαθοὶ γίγνονται ἄνδρες, ἢ ἄλλῳ τινὶ τρόπῳ; — Φίλ. Οὐκ ἔχω εἰπεῖν ἐν τῷ παρόντι, ὦ Σώκρατες. —Σωκρ. Ἀλλὰ ὧδε σκεψώμεθα αὐτό. Φέρε, εἴτις βούλοιτο ταύτην τὴν ἀρετὴν

κά. Ἄγονται πρὸς Ἐρ.) Αἱ Ἐριννῦς ἀντὶ τριχῶν ἐπὶ τῆς κεφαλῆς ὄφεις ἔχουσαι, λυσσώδους ἀφροῦ ἐκ τοῦ στόματος αὐτῶν ἐξερχομένου, λαμπάσιν ἡμμέναις ἐκόλαζον τοὺς κακῶς βιώσαντας.

— Καὶ Δαναΐδ.) Αἱ Δαναοῦ θυγατέρες ἐπιταγῇ τοῦ πατρὸς τοὺς νυμφίους φονεύσασαι, κατεδικάσθησαν εἰς Ἅιδου ἀντλεῖν εἰς πίθον τετρημένον, ὃν οὐδέποτε ἐμπλῆσαι εἶχον. Τάνταλος δὲ, τὸν υἱὸν σφάξας, εἰς δεῖπνον τοῖς θεοῖς παρέθετο, ἀπόπειραν αὐτῶν ποιούμενος· οἱ δέ, τὸν μὲν ἀνέστησαν, Τάνταλον δὲ κατεδίκασαν εἰς Ἅιδου ἐν Λίμνῃ ὄντα μὴ δύνασθαι πιεῖν διψῶντα, ὑπεκφεύγοντος τοῦ ὕδατος, ὁπότε βούλοιτο πιεῖν. Τιτυὸς δέ· διότι ἐβιάσατο Λητὼ τὴν Ἀπόλλωνος μητέρα, κατεδικάσθη εἰς τὸν Ἅιδην, ἵνα κατατρώγωσι διηνεκῶς γῦπες αὐτοῦ τὸ ἧπαρ. Σίσυφος δέ, κατεδικάσθη, ἵνα ταῖς χερσὶ καὶ τῇ κεφαλῇ πέτραν κυλίῃ, καὶ τοῦτον ὑπερβάλλειν εἰς ὄρος θέλῃ· ὃς ὠθούμενος, ὠθεῖται πάλιν εἰς τοὐπίσω. Καὶ τοῦτο πάσχει, διότι ἁρπάσαντος τοῦ Διὸς τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν, ἐμήνυσε τῷ πατρὶ ζητοῦντι.

κβ΄. 2. Ἐγὼ γὰρ λόγ.) Σὺ μὲν ἐπίκρινον ταῦτα, ἐγὼ δὲ ὑπὸ τοῦ λόγου ἑλκόμενος, τοῦτο μόνον βεβαίως οἶδα.

4. Ὡς καὶ ὁ οὐράν.) Ἔνθα ἀπεδείκνυ τὴν ψυχὴν ἀθάνατον· ἐν ιζ΄.

— Ἐκ μεσημβρίας δέ.) Μετὰ μεσημβρίαν. Ἡ Ἐκ τὸ ὕστερον σημαίνει.

ά. 2. Ἀλλ᾽ ὧδε σκεψ.) Ἀλλὰ τοῦτον τὸν τρόπον σκεψ.

— Ταύτην τὴν ἀρετ.) Κατὰ ταύτην δηλ.

γενέσθαι ἀγαθὸς, ἢν ἀγαθοί εἰσιν οἱ σοφοὶ μάγειροι, πόθεν ἂν γένοιτο; —Φίλ. Δηλονότι εἰ παρὰ τῶν ἀγαθῶν μαγείρων μάθοι. 3 —Σωκρ. Τί δέ; εἰ βούλοιτο ἀγαθὸς γίγνεσθαι ἰατρὸς, παρὰ τίνα ἂν ἐλθὼν γένοιτο ἀγαθὸς ἰατρός;—Φίλ. Δῆλον δή, ὅτι παρὰ τῶν 4 ἀγαθῶν τινα ἰατρῶν.— Σωκρ. Εἰ δὲ ταύτην τὴν ἀρετὴν ἀγαθὸς βούλοιτο γενέσθαι, ὑπερ οἱ σοφοὶ τέκτονες; —Φίλ. Παρὰ τῶν τεκτόνων.

β. Σωκ. Εἰ δὲ ταύτην τὴν ἀρετὴν βουληθείη ἀγαθὸς γενέσθαι, ὅνπερ οἱ ἄνδρες οἱ ἀγαθοί τε καὶ σοφοὶ, ποῖ χρὴ ἐλθόντα μα- 2 θεῖν; —Φίλ. Οἶμαι μὲν καὶ ταύτην, εἴπερ μαθητός ἐστι, παρὰ τῶν ἀνδρῶν τῶν ἀγαθῶν· πόθεν γὰρ ἄλλοθεν; —Σωκ. Φέρε δή, τίνες ἡμῖν ἄνδρες ἀγαθοὶ γεγόνασιν; ἵνα σκεψώμεθα, εἰ οὗτοί 3 εἰσιν οἱ τοὺς ἀγαθοὺς ποιοῦντες. — Φίλ. Θουκυδίδης, καὶ Θεμιστοκλῆς, καὶ Ἀριστείδης, καὶ Περικλῆς.—Σωκ. Τούτων οὖν ἐκάστου ἔχομεν διδάσκαλον εἰπεῖν; — Φίλ. Οὐκ ἔχομεν· οὐ γὰρ λέγεται.—Σωκ. Τί δέ; μαθητήν, ἢ τῶν ξένων τινὰ, ἢ τῶν πολιτῶν, ἢ ἄλλον ἐλεύθερον, ἢ δοῦλον, ὅστις αἰτίαν ἔχει διὰ τὴν τούτων ὁμιλίαν σοφός 4 τε, καὶ ἀγαθὸς γεγονέναι; —Φίλ. Οὐδὲ τοῦτο λέγεται.—Σωκ. Ἀλλ' ἄρα μὴ ἐφθόνουν μεταδιδόναι τῆς ἀρετῆς τοῖς ἄλλοις ἀνθρώποις;— 5 Φίλ. Τάχα. —Σωκ. Ἆρα ἵνα μὴ ἀντίτεχνοι αὐτοῖς γίγνοιντο, ὥσπερ οἱ μάγειροί τε, καὶ ἰατροὶ, καὶ τέκτονες, φθονοῦσιν; οὐ γὰρ λυσιτελεῖ αὐτοῖς πολλοὺς ἀντιτέχνους γίγνεσθαι, οὐδὲ οἰκεῖν ἐν πολ- 6 λοῖς αὐτοῖς ὁμοίοις. Ἆρ' οὖν οὕτω καὶ τοῖς ἀνθρώποις τοῖς ἀγαθοῖς οὐ λυσιτελεῖ ἐν ὁμοίοις αὐτοῖς οἰκεῖν;— Φίλ. Ἴσως.

γ'. Σωκ. Εἰσὶ δὲ οἱ αὐτοὶ οὐχὶ ἀγαθοί τε, καὶ δίκαιοι;—Φίλ. Ναί. —Σωκ. Ἔστιν οὖν, ὅτῳ λυσιτελεῖ μὴ ἐν ἀγαθοῖς οἰκεῖν ἀνδράσιν, 2 ἀλλ' ἐν κακοῖς;—Φίλ. Οὐκ ἔχω εἰπεῖν. —Σωκ. Ἆρ' οὖν οὐδὲ τοῦτ' ἔχεις εἰπεῖν, πότερον ἔργον ἐστὶ, τῶν μὲν ἀγαθῶν, βλάπτειν, τῶν δὲ κακῶν ὠφελεῖν, ἢ τοὐναντίον; —Φίλ. Τοὐναντίον. —Σωκ.

πὴν ἀρετήν. Συνεκδοχικῶς πρὸς τὸ Ἀγαθός· οὕτω καὶ ἐν 4.

4. Παρὰ τῶν τεκτόν.) Ἐλλείπει Τινά· ἴσ' ἢ· Παρά τινα τῶν τεκτόνων, ὥσπερ ἐλέγετο καὶ Παρά τινα τῶν ἀγαθῶν ἰατρῶν.

β'. 2. Εἴπερ μαθητός ἐστ.) Ἀττικῶς ἀντὶ τοῦ μαθητής· ὥσπερ καὶ τὸ θεὸς ἀντὶ θεός.

3. Ὅς τις αἰτίαν ἔχ.) Συνήθης ἡ φράσις· καὶ γὰρ καὶ Πλούταρ. Περὶ Μουσικ. Θαλήτας καὶ Ξενόδαμος μάλιστα αἰτίαν ἔχουσιν ἡγεμόνες γενέσθαι· καὶ Πλάτ. Ἀλκιβ. Α'. λά. Ὅς τις αἰτίαν ἔχει διὰ τὴν Περικλέους συνουσίαν σοφώτερος γεγονέναι, Σημαίνει δὲ τὸ Δύναται λέγειν.

— Ὥσπερ οἱ μάγ.) Καὶ Ἡσίοδ. ἐν Ἔργ. στίχ. 25. φησί.

Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων,
Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.

Οὕτω φύσει ὑπάρχει τοῖς ἀνθρώποις τὸ φθονεῖν!

5. Ἐν πολλοῖς αὐτοῖς ὁμ.) Μεταξὺ πολλῶν ἄλλων ὁμοίων αὐτοῖς τὴν τέχνην.

γ'. Ἔστιν οὖν ὅτῳ λυσιτελεῖ) Ἔστιν οὖν τις, ὅτῳ λυσιτελεῖ τὸ μὴ ἐν.

Οἱ μὲν ἀγαθοὶ ἄρα ὠφελοῦσιν, οἱ δὲ κακοὶ βλάπτουσι;—Φίλ. Ναί. 3
— Σωκ. Ἔστιν οὖν ὅστις βούλεται βλάπτεσθαι μᾶλλον, ἢ ὠφελεῖσθαι;—Φίλ. Οὐ πάνυ.—Σωκ. Οὐδεὶς ἄρα βούλεται ἐν πονηροῖς οἰκεῖν μᾶλλον, ἢ ἐν χρηστοῖς;—Φίλ. Οὕτως.—Σωκ. Οὐδεὶς ἄρα 4
φθονεῖ τῶν ἀγαθῶν ἀνδρῶν ἄλλῳ, ὥστε ἀγαθόν, καὶ ὅμοιον ἑαυτῷ ποιῆσαι;—Φίλ. Οὔκουν φαίνεταί γε δὴ ἐκ τοῦ λόγου.

δ'. Σωκ. Ἀκήκοας οὖν, ὅτι Θεμιστοκλεῖ Κλεόφαντος υἱὸς ἐγένετο;—Φίλ. Ἀκήκοα.—Σωκ. Οὐκοῦν δῆλον, ὅτι οὐδὲ τῷ υἱεῖ ἐφθόνει ὡς βελτίστῳ γενέσθαι ὁ Θεμιστοκλῆς, ὅς γε ἄλλῳ οὐδενί, εἴπερ ἦν ἀγαθός· ἦν δὲ ὡς φαμέν. —Φίλ. Ναί.—Σωκ. Οἶσθα οὖν, 2
ὅτι Θεμιστοκλῆς τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο σοφὸν εἶναι καὶ ἀγαθόν· ἐπέβαινε γοῦν ἐπὶ τὸν ἵππον ὀρθὸς ἑστηκώς, καὶ ἠκόντιζεν ἀπὸ τῶν ἵππων ὀρθός, καὶ ἄλλα πολλά, καὶ θαυμάσια, εἰργάζετο· καὶ ἄλλα πολλὰ ἐδίδαξε, καὶ ἐποίησε σοφόν, ὅσα διδασκάλων ἀγαθῶν εἶχετο· ἢ ταῦτα οὐκ ἀκήκοας τῶν πρεσβυτέρων;—Φίλ. Ἀκήκοα.—Σωκ. Οὐκ ἄρα τὴν φύσιν γέ τις τοῦ υἱοῦ αὐ- 3
τοῦ αἰτιάσαιτ' ἂν κακὴν εἶναι; —Φίλ. Οὐκ ἂν οὖν δικαίως γε, ἐξ ὧν σὺ λέγεις.

ε'. Σωκ. Τὸ δὲ, ὡς Κλεόφαντος, ὁ Θεμιστοκλέους υἱὸς, ἀνὴρ ἀγαθὸς καὶ σοφὸς ἐγένετο, ἅπερ ὁ πατὴρ αὐτοῦ ἦν σοφὸς, ἤδη τοῦτο ἤκουσας, ἢ νεωτέρου, ἢ πρεσβυτέρου;—Φίλ. Οὐκ ἤκουσα.—Σωκ. 2
Ἆρ' οὖν ταῦτα μὲν οἰόμεθα βούλεσθαι αὐτὸν τὸν ἑαυτοῦ υἱὸν παιδεῦσαι· ἣν δὲ αὐτὸς σοφίαν ἦν σοφὸς, μηδὲν βελτίω αὐτὸν ποιῆσαι τῶν γειτόνων μηδενὸς, εἴπερ διδακτὸν ἦν ἡ ἀρετή; —Φίλ. Οὔκουν εἰκός γε.

ς'. Σωκ. Οὗτος μὲν δή σοι τοιοῦτος διδάσκαλος ἀρετῆς, ὃν ὑπεῖπες. Ἄλλον δὲ δὴ σκεψώμεθα, Ἀριστείδην, ὃς ἔθρεψε μὲν τὸν Λυσίμαχον, ἐπαίδευσε δὲ κάλλιστα Ἀθηναίων, ὅσα διδασκάλων εἶχετο· ἄνδρα δὲ οὐδενὸς βελτίω ἐποίησε. Τοῦτον γάρ, καὶ σὺ, καὶ ἐγὼ, εἴδομεν, καὶ ξυνεγενόμεθα. —Φίλ. Ναί.

ζ'. Σωκ. Οἶσθα οὖν, ὅτι Περικλῆς αὖ ἔθρεψε Πάραλον καὶ Ξάν-

δ'. Ὃς γε ἄλλῳ οὐδ.) Ἐφθόνει· δέδεικται γὰρ ὅτι ὁ ἀγαθὸς οὐ φθονεῖ ἄλλῳ γενέσθαι ἀγαθῷ.

2. Ὅτα διδ. ἀγ. εἴχετ.) Ὅσα διδάσκεσθαι δυνατὰ ἦν ὑπὸ διδασκάλων ἀγαθῶν.

ε. Τὸ δὲ, ὡς;) Ἤκουσας δὲ τοῦτο τὸ, ὅτι Κλεόφαντος ὁ υἱὸς τοῦ Θεμιστοκλ.

—Ἅπερ ὁ πατ.) Καθ' ἅπερ ὁ πατ.

2. Ἆρ' οὖν ταῦτ.) Ἦγουν. Ἆρά γε ὁ Θεμιστοκλῆς ἐβούλετο τὸν ἑαυτοῦ υἱὸν παιδεῦσαι, ὅσα εἶχετο διδασκάλων, καὶ τὴν σοφίαν, καθ' ἣν αὐτὸς ἦν σοφὸς οὐκ ἐβούλετο ποιῆσαι αὐτὸν βελτίω μηδενὸς τῶν γειτόνων; εἴπερ. κ.τ.λ.

ς'. Ὃν ὑπεῖπες.) Ὃν προεῖπες· Θωμᾶς γὰρ ὁ Μάγιστρος ἐν τῷ Ὑπάγειν φησίν. Ὅτι ὑπάγειν λέγεται τὸ προάγειν, καὶ ὑπειπεῖν ἀντὶ τοῦ προειπεῖν, καὶ ὑπολαβὼν ἀντὶ τοῦ προλαβών.

— Τὸν Λυσίμ.) Τὸν υἱὸν αὐτοῦ.

ζ'. Πάραλ. καὶ Ξάνθ.) Τοὺς υἱεῖς.

2 θιππον· ὧν καὶ σύ μοι δοκεῖς τοῦ ἑτέρου ἐρασθῆναι. Τούτους μέν-
τοι, ὡς καὶ σὺ οἶσθα, ἱππέας μὲν ἐδίδαξεν οὐδενὸς χείρους Α-
θηναίων· καὶ μουσικὴν καὶ τὴν ἄλλην ἀγωνίαν, καὶ τἄλλα ἐπαί-
δευσεν, ὅσα τέχνη διδάσκεται, οὐδενὸς χείρους· ἀγαθοὺς δὲ ἄρα
ἄνδρας οὐκ ἐβούλετο ποιῆσαι; — Φίλ. Ἀλλ' ἴσως ἂν ἐγένοντο, ὦ
3 Σώκρατες, εἰ μὴ νέοι ὄντες ἐτελεύτησαν. — Σωκ. Σὺ μὲν εἰκότως
βοηθεῖς τοῖς παιδικοῖς· Περικλῆς δὲ ἐκείνους, εἴπερ διδακτὸν ἦν ἡ
ἀρετή, καὶ οἵος τ' ἦν ἀγαθοὺς ποιῆσαι, πολὺ πρότερον ἂν τὴν αὐ-
τοῦ ἀρετὴν σοφοὺς ἐποίησεν, ἢ μουσικήν, καὶ ἀγωνίαν.

ή. Ἀλλὰ μὴ οὐκ ᾖ διδακτόν· ἐπεὶ Θουκυδίδης αὖ δύο υἱεῖς ἔθρε-
ψε, Μελησίαν καὶ Στέφανον, ὑπὲρ ὧν σὺ οὐκ ἂν ἔχοις εἰπεῖν, ἅπερ
2 ὑπὲρ τῶν Περικλέους υἱῶν. Τούτων γὰρ δὴ καὶ σὺ οἶσθα τὸν γ'
ἕτερον μέχρι γήρως βιοῦντα, τὸν δ' ἕτερον οὐ πόρρω πάνυ. Καὶ μὴν
καὶ τοῦτο ὁ πατὴρ ἐπαίδευσε τάτε ἄλλα εὖ, καὶ ἐπάλαισαν κάλ-
3 λιστα Ἀθηναίων. Τὸν μὲν γὰρ Ξανθίᾳ ἔδωκε, τὸν δὲ Εὐδώρῳ·
οὗτοι δέ που ἐδόκουν κάλλιστα τῶν τότε παλαίειν. — Φίλ. Ναί.

θ'. Σωκ. Οὐκοῦν δῆλον, ὅτι οὗτος οὐκ ἄν ποτε, οἷ μὲν ἔδει δα-
πανώμενον διδάσκειν, ταῦτα μὲν ἐδίδαξε τοὺς παῖδας τοὺς ἑαυτοῦ·
οἷδ' οὐδὲν ἔδει ἀναλώσαντα, ἀγαθοὺς ἄνδρας ποιῆσαι, τοῦτο δὲ
2 οὐκ ἂν ἐδίδαξεν, εἰ διδακτὸν ἦν; — Φίλ. Εἰκός γε. — Σωκ. Ἀλλὰ γάρ
ἴσως ὁ Θουκυδίδης φαῦλος ἦν, καὶ οὐχὶ ἦσαν αὐτῷ φίλοι πλεῖστοι
3 Ἀθηναίων, καὶ τῶν ξυμμάχων. Καὶ οἰκίας ἦν μεγάλης, καὶ ἐδύ-
νατο μέγα ἐν τῇ πόλει, καὶ ἐν τοῖς ἄλλοις Ἕλλησιν· ὥστ', εἴπερ
ἦν τοῦτο διδακτόν, ἐξεῦρεν ἄν, ὅστις αὐτῷ ἤμελλε τοὺς υἱεῖς ἀ-
γαθοὺς ποιήσειν, ἢ τῶν ἐπιχωρίων, ἢ τῶν ξένων, εἰ αὐτὸς μὴ ἐ-
4 σχόλαζε, διὰ τὴν τῆς πόλεως ἐπιμέλειαν. Ἀλλὰ γάρ, ὦ ἑταῖρε,
μὴ οὐκ ᾖ διδακτὸν ἡ ἀρετή. — Φίλ. Οὐκ ἴσως.

ι. Σωκ. Ἀλλὰ δή, εἰ μὴ διδακτόν ἐστιν, ἄρα φύσει φύονται οἱ
2 ἀγαθοί. Καὶ τοῦτο τῇδέ πη σκοποῦντες ἴσως ἂν εὕροιμεν. Φέρε
γάρ, εἰσὶν ἡμῖν φύσεις ἵππων ἀγαθῶν; — Φίλ. Εἰσίν. — Σωκ. Οὐ-
κοῦν εἰσί τινες ἄνθρωποι τέχνην ἔχοντες, ἣ τὰς τῶν ἀγαθῶν φύ-
σεις γιγνώσκουσι, καὶ κατὰ τὸ σῶμα πρὸς δρόμον, καὶ κατὰ

---

2. Οὐδενὸς χείρους.) Οἷον· οὐ βελτίους μέν, ἀλλὰ γοῦν οὐ χείρους τινὸς τῶν Ἀθηναίων.

ή. Θουκυδ.) Οὗτος οὖν Περικλέους ἐν δημοκρατίᾳ ἐναντίος· οὐδὲ χρὴ συγχέαι αὐτὸν τὸ τοῦ Ὀλόρου τῷ τὴν ἱστορίαν συγγράψαντι.

2. Τὸν δ' ἕτερον οὐ πόρρω πάνυ.) Ὅπερ ἐστίν· οὐκ ἐπὶ πολὺ βιώσαντα, ἀλλὰ πρὸ ὥρας ἀποθανόντα.

3. Οὗτοι δέ.) Ὁ Ξανθίας καὶ ὁ Εὔδωρος.

θ'. Οἷ μὲν) Τοπικὸν ἀντὶ, Ἔνθα μέν.

2. Ἀλλὰ γὰρ) Ἐναντιωματικῶς.

3. Καὶ οἰκίας ἦν) Ἐπειδὴ ἦν οἰκίας μεγάλης.

— Ὅστις αὐτῷ ἔμελ.) Περιποιητικῶς τὸ Αὐτῷ ἀντὶ τοῦ κτητικοῦ αὐτοῦ· ἵν' ᾖ. Ὅστις χαριζόμενος αὐτῷ ἔμελ·

τὴν ψυχήν, οἵτινές τε θυμοειδεῖς καὶ ἄθυμοι;—Φίλ. Ναί.— Σωκ. Τίς οὖν αὕτη ἡ τέχνη; ἔστι τι ὄνομα αὐτῇ;—Φίλ. Ἱππική.—Σωκ. 3
Οὐκοῦν καὶ περὶ τοὺς κύνας ὡσαύτως ἔστι τις τέχνη, ἥ τὰς ἀγαθὰς καὶ τὰς κακὰς φύσεις τῶν κυνῶν διακρίνουσιν;— Φίλ. Ἔστι. —Σωκ. Τίς αὕτη;— Φίλ. Ἡ κυνηγετική. —Σωκ. Ἀλλὰ μὴν καὶ 4
περὶ τὸ χρυσίον, καὶ τὸ ἀργύριόν εἰσιν ἡμῖν δοκιμασταί, οἵτινες ὁρῶντες κρίνουσι τό, τε βέλτιον, καὶ τὸ χεῖρον;—Φίλ. Εἰσί.—Σωκ. Τίνας οὖν τούτους καλεῖς; — Φίλ. Ἀργυρογνώμονας.

ιά. Σωκ. Καὶ μὴν οἱ παιδοτρίβαι γιγνώσκουσι, σκοπούμενοι τὰς φύσεις τὰς τῶν σωμάτων τῶν ἀνθρώπων, ὁποῖαί τε χρησταί, καὶ ὁποῖαι μή, πρὸς ἕκάστους τῶν πόνων, καὶ τῶν πρεσβυτέρων καὶ νέων, ὅσα μέλλει τῶν σωμάτων ἄξια λόγου ἔσεσθαι, καὶ ἐν οἷς ἐστιν ἐλπὶς πολλὴ τὰ ἔργα, ὅσα σώματος ἔχεται, εὖ ἀπεργάσασθαι. — Φίλ. Ἔστι ταῦτα.

ιβ. Σωκ. Πότερον οὖν σπουδαιότερόν ἐστι ταῖς πόλεσιν, ἵπποι καὶ κύνες ἀγαθοί, καὶ τἆλλα τὰ τοιαῦτα, ἢ ἄνδρες ἀγαθοί; —Φίλ. Ἄνδρες ἀγαθοί. —Σωκ. Τί οὖν; οἴει ἄν, εἴπερ ἦσαν φύσεις ἀγαθαὶ πρὸς ἀρετὴν ἀνθρώπων, οὐκ ἂν πάντα μεμηχανεῖσθαι τοὺς ἀνθρώπους, ὥστε διαγιγνώσκειν αὐτάς; —Φίλ. Εἰκός γε. Σωκ. 2 3
Ἔχεις οὖν τινα εἰπεῖν τέχνην, ἥτις ἐστὶν ἐπὶ ταῖς φύσεσι ταῖς τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἀποδεδειγμένη, ὥστε δύνασθαι αὐτὰς κρίνειν;—Φίλ. Οὐκ ἔχω.—Σωκ. Καὶ μὴν δὴ πλείστου ἂν ἦν ἀξία, 4
καὶ οἱ ἔχοντες αὐτήν. Οὗτοι γὰρ ἂν ἡμῖν ἀπέφαινον τῶν νέων τοὺς μέλλοντας ἀγαθοὺς ἔσεσθαι ἔτι παῖδας ὄντας· οὓς ἂν ἡμεῖς παραλαβόντες, ἐφυλάττομεν ἐν ἀκροπόλει δημοσίᾳ, ὥσπερ τὸ ἀργύριον, καὶ μᾶλλόν τι, ἵνα μή τι φαῦλον ἡμῖν πάθοιεν, μήτε ἐν μάχῃ, μήτε ἐν ἄλλῳ μηδενὶ κινδύνῳ· ἀλλ᾽ ἀπέκειντο τῇ πόλει σωτῆρές τε καὶ εὐεργέται, ἐπειδή γε εἰς τὴν ἡλικίαν ἀφίκοιντο.

ι. 3. Ἱππική) Οἷον· Ἱππικὴ αὐτῇ ἐστὶν ὄνομα.

ιά. Οἱ παιδοτρίβαι) Οἱ διδάσκαλοι τῶν γυμνασίων.

— Ἄξια λόγου ἔσεσθαι) Ἀξιόλογα.

— Καὶ ἐν οἷς) Σώμασίν ἐστιν ἡ πολλὴ ἐλπίς, ὅτι ταῦτα ἀπεργάσονται εὖ, ὅσα ἔργα σώματος ἔχεται, ἐξήρτηται τοῦ σώματος.

ιϐ. Σπουδαιότ.) Πότερον οἱ ἵπποι καὶ οἱ ἀγαθοὶ κύνες, καὶ τὰ τοιαῦτα, ἢ οἱ ἀγαθοὶ ἄνδρες εἰσὶ σπουδαιότερον πρᾶγμα ἐν ταῖς πόλεσι· τὸ δὲ ζῆμα ἐνιχῶς διὰ τὸ προηγηθὲν ἐνικὸν Σπουδαιότερον.

3. Ἥτις ἐστὶν) Ἥτις ἐστὶν ἀποδεδειγμένη ἐπὶ ταῖς φύσ. οὗτος, ὥστε δύνασθαι αὐτ.

4. Πλείστου ἂν ἦν ἀξ.) Ἐννοεῖται. Εἰ ἦν τοιαύτη τέχνη, πλείστου ἂν ἦν ἀξία καὶ οἱ γιγνώσκοντες αὐτὴν τὴν τέχνη, πλείστου ἂν ἦσαν ἄξιοι.

— Καὶ μᾶλλόν τι) Καὶ ἔτι πλέον, καὶ κατά τι πλέον ἐφυλάττομεν αὐτούς.

— Ἵνα μή τι φαῦλ. ἡμῖν πάθ.) Τὸ Ἡμῖν περιποιητικὸν πάθος τι ἐμφαῖνον ψυχῆς.

— Ἀλλ᾽ ἀπέκειτο τῇ πόλ.) Ἀλλ᾽ ὡς θησαυρὸς ἐν τῇ πόλει ἀπέκειντο· ἵνα γένωνται σωτῆρες καὶ εὐεργέται ὁπότε ἀφίκωνται εἰς ἡλικίαν.

Ἀλλὰ γὰρ κινδυνεύει οὔτε φύσει, οὔτε μαθήσει, ἡ ἀρετὴ τοῖς ἀνθρώποις παραγίγνεσθαι.

ιγ'. Φίλ. Πῶς οὖν ἄν, ὦ Σώκρατες, σοὶ δοκοῦσι γίγνεσθαι, εἰ μήτε φύσει, μήτε μαθήσει, γίγνονται; τὶν' ἄλλον τρόπον
2 γίγνοιντ' ἂν οἱ ἀγαθοί; — Σωκ. Οἶμαι μὲν οὐκ ἄν ῥᾳδίως αὐτὸ δηλωθῆναι· τοπάζω μέν τοι θεῖόν τι μάλιστα εἶναι τὸ κτῆμα, καὶ γίγνεσθαι τοὺς ἀγαθοὺς, ὥσπερ οἱ θεῖοι τῶν μάντεων, καὶ
3 οἱ χρησμολόγοι. Οὗτοι γάρ, οὔτε φύσει τοιοῦτοι γίγνονται, οὔτε τέχνῃ, ἀλλ' ἐπιπνοίᾳ ἐκ τῶν θεῶν γιγνόμενοι τοιοῦτοί εἰσιν. Οὕτω δὲ καὶ οἱ ἄνδρες οἱ ἀγαθοί, λέγουσι ταῖς πόλεσιν ἑκάστοτε τὰ ἀποβησόμενα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ἐκ θεοῦ ἐμπιπνοίας πολὺ μᾶλλον καὶ ἐναργέστερον, ἢ οἱ χρησμῳδοί.
4 Λέγουσι γάρ που καὶ αἱ γυναῖκες, ὅτι θεῖος ἀνὴρ οὗτός ἐστι· καὶ οἱ Λακεδαιμόνιοι, ὅταν τινὰ μεγαλοπρεπῶς ἐπαινῶσι,
5 θεῖον ἄνδρα φασὶν εἶναι. Πολλαχοῦ δὲ καὶ Ὅμηρος τῷ αὐτῷ τούτῳ καταχρῆται, καὶ οἱ ἄλλοι ποιηταί· καὶ ὅταν βούληται θεὸς εὖ πράξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐνεποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πράξειν πόλις, ἐξεῖλε τοὺς ἀγαθοὺς ἐκ τοιαύτης τῆς πόλεως ὁ θεός. Οὕτως ἔοικεν, οὔτε διδακτὸν εἶναι, οὔτε φύσει, ἡ ἀρετὴ, ἀλλὰ θεία μοίρᾳ, παραγίγνεται τοῖς κτωμένοις.

ΚΕΒΗΤΟΣ ΘΗΒΑΙΟΥ

Πίναξ.

Ξένος καὶ Πρεσβύτης.

ά. Ξ. Ἐτυγχάνομεν περιπατοῦντες ἐν τῷ τοῦ Κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν· ἀνέκειτο δὲ καὶ Πίναξ τις ἔμπροσθεν τοῦ νεώ, ἐν ᾧ ἦν γραφή τις ξένη, καὶ

γ'. 4. Λέγουσι γὰρ καὶ αἱ γυναῖκες) Ὁπότε περὶ ἀγαθῶν ἀνδρῶν παρεμπίπτει αὐταῖς λόγος.

5. Εὖ πρᾶξαι πόλ.) Ἵνα τις πόλις εὐτυχήσῃ.

— Ἐνεποίησ.) Ἀντιχρονισμὸς διὰ τὸ βέβαιον ἀντὶ ἐνεστῶτος τοῦ Ποιεῖ· οὕτω καὶ παραχατιὼν εὑρίσεις τὸ Ἐξεῖλεν ἀντὶ τοῦ Ἐξαιρεῖ.

— Κτωμένοις) Ἐκείνοις ὅσοι κτῶνται αὐτήν.

ά. Ἐτυγχάνομεν περιπ.) Περίφρασις ἀντὶ περιεπατοῦμεν. Τὸ γὰρ ὑπαρκτικὸν πολλάκις μετὰ τῆς μετοχῆς ἐλάστου ῥήματος λέγεται περιφραστικῶς ὁμοίως δὲ καὶ τὸ Τυγχάνω· οἷον. Εἰμὶ περιπατῶν, καὶ τυγχάνω περιπατῶν, ἀντὶ περιπατῶ· τό γε μὴν τυγχάνω καὶ μετὰ τῆς τοῦ ὑπαρκτικοῦ μετοχῆς οἷον· τυγχάνω ὤν· ἀντὶ εἰμί.

— Ἀνέκειτο δὲ) Ἀντὶ τοῦ Ἀνατεθειμένον ἦν· ὥσπερ γὰρ τοῦ Διάκειμαι, Διάθεσις ἐστὶν ὄνομα, οὕτω καὶ τοῦ Ἀνάκειμαι, Ἀνάθημα· ὅθεν εἰπὼν Ἀναθήματα, ἐπήγαγε τὸ Ἀνέκειτο· ὡς ταὐτοσήμαντον.

— Ἔμπροσθεν τοῦ νεὼ) Ναὸς κοινῶς καὶ νεὼς Ἀττικῶς· ἡ γενικὴ τοῦ νεώ.

μύθους ἔχουσα ἰδίους· οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν, τίνες καὶ πότ' ἦσαν. Οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμ- 2
μένον, οὔτε στρατόπεδον· ἀλλὰ περίβολος ἦν, ἐν αὐτῷ ἔχων ἑτέρους περιβόλους δύο, τὸν μὲν μείζω, τὸν δὲ ἐλάττω. Ἦν δὲ 3
καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου· πρὸς δὲ τῇ πύλῃ ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι. Καὶ ἔνδον δὲ, ἐν τῷ περιβόλῳ, πλῆθός τι γυναικῶν ἐωρᾶτο. Ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου γέρων τις ἑστὼς, ἔμφασιν ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ. Ἀπορούντων οὖν ἡμῶν περὶ τῆς 4
μυθολογίας πρὸς ἀλλήλους πολὺν χρόνον, πρεσβύτης τις παρεστὼς, — Π. Οὐδὲν δεινὸν πάσχετε, ὦ Ξένοι (ἔφη), ἀποροῦν- 5
τες περὶ τῆς γραφῆς ταύτης· οὐδὲ γὰρ τῶν ἐπιχωρίων πολλοὶ ἴδασι, τί ποτε αὕτη ἡ μυθολογία δύναιτο· οὐδὲ γάρ ἐστι πολιτικὸν τὸ ἀνάθημα· ἀλλὰ ξένος τις πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων, καὶ δεινὸς περὶ σοφίαν, λόγῳ τε καὶ ἔργῳ Πυθαγόρειόν τινα καὶ Παρμενίδειον ἐζηλωκὼς βίον, ὃς τό, τε ἱερὸν τοῦτο, καὶ τὴν γραφὴν ἀνέθηκε τῷ Κρόνῳ. — Ξ. Πότερον 6
οὖν (ἔφην ἐγὼ), καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἐωρακώς; — Π. Καὶ ἐθαύμασά γε (ἔφη), αὐτὸν πολὺν χρόνον νεώτερος ὤν. Πολλὰ γὰρ καὶ σπουδαῖα διελέγετο· καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος. — Ξ. Πρὸς Διὸς τοίνυν 7
(ἔφην ἐγὼ), εἰμή τίς σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν· πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτ' ἐστιν ὁ μῦθος.

Σημείωσαι δὲ ὅτι προειπὼν Ἱερὸν, τὸ ὅλον ἐδήλωσε· νῦν δὲ νεὼν εἰπὼν, μέρος ἐμφαίνει ἐνδότερον· Ναὸς γὰρ ἀπὸ τοῦ ναίειν· καὶ σημαίνει, ἔνθα ὁ Θεὸς οἰκεῖ· ἢ ἔνθα τὸ ἄγαλμα τοῦ Θεοῦ ἐστιν ἱδρυμένον.

— Ἔχουσα ἰδίους) Ἡ μὲν γραφὴ τοῦ Πίνακος ξένη ἐφαίνετο, ἃ δὲ ἦσαν γεγραμμένα ἐν αὐτῷ, ἴδιά τινα καὶ οὐ κοινὰ ἦν· ὅθεν οὐδὲ συμβαλεῖν ἦν, τίνες οἱ μῦθοι, καὶ πόθεν ἦσαν ἀνακείμενοι ἐν τῷ ἱερῷ τοῦ Κρόνου.

3. Ἔμφασιν ἐποίει) Περίφρατις ἀντὶ τοῦ ἐδείκνυε. Τοιοῦτό τι ἦν αὐτοῦ τὸ σχῆμα, ὥστε ἐδόκει ὡς προστάτ.

4. Πρεσβύτης τις) Φασὶ δὲ ὅτι ὁ πρεσβύτης οὗτος Ἡρακλῆς ἦν ὁ Σωκρατικός.

5. Ἡ μυθολογία) Κατ' ἀρχὰς μὲν μύθους ἔλεγε τὰ γεγραμμένα, ἐνταῦθα δὲ μυθολογίαν· καὶ ὁ λόγος· διότι ἄλλ' ἄττα ὄντα γεγραμμένα, ἄλλα ἔχουσιν ἐννοούμενα· κατὰ τὸν τοῦ μύθου ὁρισμόν· μῦθος γάρ ἐστι λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν.

— Πολιτικὸν) Τῆς πόλεως δηλ. ἢ πολίτου τινός.

— Δεινὸς περὶ σοφίαν) Τὰ ἐπίθετα συνεκδοχικῶς αἰτιατικῇ συντάσσονται κατ' ἔλλειψιν τῆς κατά· λέγονται δὲ προθετοπτώτως μετὰ τῆς περὶ ἢ ἐν, καὶ τῶν τοιούτων.

— Πυθαγόρ. καὶ Παρμεν.) Φασὶν ὅτι Κέβης Θηβαῖος ἦν· πιθανὸν δ' ἐστὶ πεπλασμένα, ἢ γεγραμμένα εἶναι τὰ λεγόμενα ἐν Θήβαις· καὶ ὑπὸ τοῦ Πυθαγορίου Λυσίδου διδασκάλου τοῦ Ἐπαμινώνδου, καὶ Φιλίππου τοῦ Μακεδόνος.

6. Γινώσκεις ἑωρακὼς) Ἑώρακας, καὶ γινώσκεις. Τὸ δὲ Πότερον, ἐπειδὴ περὶ δυοῖν κατ' ἐρώτησιν λέγεται, ἔχει ἐννοούμενον τὸ, Ἢ οὔ· οἷον· Πότερεν γιγνώσκεις, ἢ οὔ;

—Πολὺν χρόνον) Κατ' ἔλλειψιν τῆς κατά· ὅταν ἀορίστως χρόνον σημαίνωμεν τῷ κατ' αἰτιατικὴν χρώμεθα ἐλλειπτικῶς.

7. Τυγχάνει οὖσα) Ἀντὶ Ἐστί.

— Ὁ μῦθος) Τὸ διὰ τῆς γραφῆς ταύτης ἐννούμενον.

β΄. ΙΙ. Οὐδείς φθόνος, ὦ ξένοι (ἔφη). Ἀλλὰ τουτὶ πρῶτον δεῖ ὑμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις. — Ξ. 2 Οἷον τί (ἔφην ἐγώ); — Π. Ὅτι, εἰ μὲν προσέξητε (ἔφη), καὶ συνήσετε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε· εἰ δὲ μή, ἄφρονες καὶ κακοδαίμονες, καὶ πικροί, καὶ ἀμαθεῖς γενόμενοι, 3 κακῶς βιώσεσθαι. Ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα τῷ τῆς Σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προὐβάλλετο τοῖς ἀνθρώποις. Εἰ μέν οὖν αὐτὸ συνίη τις, ἐσώζετο· εἰ δὲ μὴ συνίη, ἀπώλλυτο ὑπὸ 4 τῆς Σφιγγός. Ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ἔχει ταύτης. Ἡ γὰρ ἀφροσύνη τοῖς ἀνθρώποις Σφίγξ ἐστιν. Αἰνίττεται δὲ τάδε, τὶ ἀγαθὸν, τὶ κακὸν, τὶ οὔτε ἀγαθὸν, οὔτε κακόν ἐστιν 5 ἐν τῷ βίῳ. Ταυτ᾽ οὖν ἐὰν μέν τις μὴ συνῇ, ἀπόλλυται ὑπ᾽ αὐτῆς· οὐκ εἰσαπαξ, ὥσπερ ὁ ὑπὸ τῆς Σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν· ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ τῇ Τιμωρίᾳ παραδιδόμενος. Ἐὰν δέ τις γνῷ, ἀνάπαλιν ἡ μὲν ἀφροσύνη ἀπόλλυται, αὐτὸς δὲ σώζεται, καὶ μακάριος καὶ εὐ- 6 δαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ. Ὑμεῖς οὖν προσέχετε, καὶ μὴ παρακούετε. — Ξ. Ὦ Ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐμιθυμίαν ἐμβέβληκας ἡμᾶς, εἰ ταῦθ᾽ οὕτως ἔχει. — Π. Ἀλλ᾽ ἔστιν (ἔφη), οὕτως ἔχοντα. — Ξ. Οὐκ ἂν φθάνοις τοίνυν διηγούμενος, ὡς ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτίμιον τοιοῦτόν ἐστιν.

γ΄. Ἀναλαβὼν οὖν ῥάβδον τινά, καὶ ἐκτείνας πρὸς τὴν γραφήν. — Π. Ὁρᾶτε (ἔφη), τὸν περίβολον τοῦτον; — Ξ. Ὁρῶμεν. — Π. Τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς, ὅτι καλεῖται ὁ τόπος οὗτος, Βίος· καὶ ὁ ὄχλος ὁ πολὺς, ὁ παρὰ τὴν πύλην εὐ- φεστὼς, οἱ μέλλοντες εἰσπορεύεσθαι εἰς τὸν βίον, οὗτοί εἰσιν. 2 Ὁ δὲ γέρων, ὁ ἄνω ἑστηκὼς, ἔχων χάρτην τινὰ ἐν τῇ χειρὶ, καὶ τῇ ἑτέρᾳ ὥσπερ δυκνύων τι, οὗτος Δαίμων καλεῖται· προ-

---

β΄. 3. Τῷ τῆς Σφιγγὸς αἰνίγ.) Θηρίον τερατῶδες ἐν τῷ Κιθαιρῶνι, πολλὰ δεινὰ ποιοῦν τοῖς Θηβαίοις ἡ Σφίγξ. Ἦν δὲ τὸ μὲν πρόσωπον γυνὴ, τὸ δὲ λοιπὸν λέων, καὶ ὄρνις πτέρυγας ἔχουσα. Αὕτη αἴνιγμα προὐβάλλετο, καὶ κατήσθιε τοὺς μὴ δυναμένους λύσαι. Ἦν δὲ τὸ αἴνιγμα. Τί δίπουν, τρίπουν, καὶ τετράπουν· ὃ δὴ Οἰδίπους ἔλυτε, φήσας τὸν ἄνθρωπον εἶναι· καὶ ἡ Σφιγξ ἀπώλετο.

5. Ἀπόλλυται ὑπ᾽ αὐτῆς) Γῆς ἀφροσύνης δηλ.

6. Οὐκ ἂν φθάνοις διηγ.) Ἀντὶ, Ὅτι τάχιστα διηγοῦ· ἔμφασιν δηλ. ἅμα καὶ ταχύτητα δηλοῖ ὁ λόγος· τὸ δὲ εὐκτικὸν πρὸς ἔγκλισιν τῆς τοῦ προστακτικοῦ τραχύτητος.

γ΄. Ἀναλαβὼν οὖν) Ὁ γέρων δηλ. ὁ τὴν γραφὴν ἐξηγήσασθαι ὑποσχεθείς.

— Οὗτοί εἰσιν) Οὗτοί εἰσιν οἱ μέλλοντες. Πρὸς τὸ ὑπὸ τοῦ ὄχλου πληθυντικὸν σημαινόμενον ἡ ἀπόδοσις.

2. Δαίμων καλεῖται) Πλήρης ἅπας ὁ κόσμος δαιμόνων ἢ δαιμονίων παρὰ τοῖς παλαιοῖς ἐδοξάζετο· καὶ ὅτι ἕκαστος εὐθὺς μετὰ τὴν γέννησιν εἶχε τὸ ἴδιον δαιμόνιον· ἓν μὲν ἀγαθὸν, ἓν δὲ κακόν. Διὰ ταῦτα καὶ Μένανδρος φησί.

Ἅπαντι βροτῷ δαίμων συμπαρα-
στατεῖ.

Εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου.

στάττει δὲ τοῖς εἰσπορευομένοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν εἰσέλθωσιν εἰς τὸν βίον· καὶ δεικνύει ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ. — Ξ. Ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς (ἔφην ἐγώ); — Π. Ὁρᾷς (εἶπε), παρὰ τὴν πύλην θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν εἰσπορεύεται ὁ ὄχλος, ἐφ' οὗ κάθηται γυνὴ πεπλασμένη τῷ ἤθει, καὶ πιθανὴ φαινομένη, καὶ ἐν τῇ χειρὶ ἔχουσα ποτήριόν τι; — Ξ. Ὁρῶ. Ἀλλὰ τίς ἐστιν αὕτη (ἔφην ἐγώ); — Π. Ἀπάτη καλεῖται (φησίν), ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα. — Ξ. Εἶτα τί πράττει αὕτη; — Π. Τοὺς εἰσπορευομένους εἰς τὸν βίον ποτίζει τῇ ἑαυτῆς δυνάμει. — Ξ. Τοῦτο δὲ τί ἐστι τὸ ποτόν; — Π. Πλάνος (ἔφη), καὶ Ἄγνοια. — Ξ. Εἶτα τί; — Π. Πιόντες τοῦτο πορεύονται εἰς τὸν βίον. — Ξ. Πότερον οὖν πάντες πίνουσι τὸν πλάνον, ἢ οὔ; — Π. Πάντες πίνουσιν (ἔφη)· ἀλλ' οἱ μὲν πλεῖον, οἱ δὲ ἧττον. Ἔτι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναικῶν, ἑταιρῶν παντοδαπὰς μορφὰς ἐχουσῶν; — Ξ. Ὁρῶ. — Π. Αὗταί τοίνυν, Δόξαι, καὶ Ἐπιθυμίαι, καὶ Ἡδοναί, καλοῦνται. Ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος, ἀναπηδῶσιν αὗται, καὶ περιπλέκονται πρὸς ἕκαστον, εἶτα ἀπάγουσι. — Ξ. Ποῦ δὲ ἀπάγουσιν αὐτούς; — Π. Αἱ μὲν εἰς τὸ σώζεσθαι (ἔφη), αἱ δὲ εἰς τὸ ἀπόλλυσθαι διὰ τὴν ἀπάτην. — Ξ. Ὦ δαιμόνιε, ὡς χαλεπὸν τὸ πόμα λέγεις! — Π. Καὶ πᾶσαί γε (ἔφη) ἐπαγγέλλονται ὡς ἐπὶ τὰ βέλτιστα ἄξουσαι, καὶ εἰς βίον εὐδαίμονα καὶ λυσιτελῆ. Οἱ δὲ διὰ τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ὃν πεπώκασι παρὰ τῆς Ἀπάτης, οὐχ εὑρίσκουσι ποία ἐστὶν ἡ ἀληθινὴ ὁδὸς ἡ ἐν τῷ βίῳ, ἀλλὰ πλανῶνται εἰκῆ· ὥσπερ ὁρᾷς καὶ τοὺς πρότερον εἰσπορευομένους, *ὡς* περιάγοντας, ὅπη ἂν τύχῃ. — Ξ. Ὁρῶ τούτους (ἔφην).

δ'. Ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἡ ὥσπερ τυφλὴ καὶ μαινομένη τις εἶναι δοκοῦσα, καὶ ἐστηκυῖα ἐπὶ λίθου τινὸς στροῖ-

---

ὅθεν καὶ εὐδαίμων καὶ κακοδαίμων γίνεται.

— Ὡς ἂν εἰσέλθωσιν) Τὸ Ὡς χρονικὸν ἀντὶ μετὰ τὸ εἰσελθεῖν· ἢ εἰσελθόντες· ἀνάλυσις ὁηλονότι ἐστὶ χρονικῆς μετοχῆς.

— Εἰ σώζεσθαι μέλλουσιν) Εἰ βουλομένοις αὐτοῖς ἐστὶ σώζεσθαι ἐν τῷ βίῳ· ἔστιν οὖν τὸ μέλλω ἀντὶ τοῦ βούλομαι.

3. Πεπλασμένη τῷ ἤθ.) Ἔχουσα ἦθος προσπεποιημένον.

4. Τῇ ἑαυτῆς δυνάμ.) Ἐλλείπει ἡ Ἐνδύναμιν δὲ καλεῖ τὸ τῆς ἀπάτης ποτόν· τὸν τρόπον ὁηλ. τοῦ ἀπατᾶν πλάνη καὶ ἀγνοία.

— Εἶτα τί;) Συμβαίνει· ἢ τί ποιοῦσιν οἱ πίοντες;

— Πάντες πίνουσιν) Ἢ οὔ; Ἐννοεῖται δὲ τὸ πότερον.

6. Αἱ μὲν εἰς τὸ σώζεσθαι, αἱ δὲ, καὶ τλ.) Ἐννοεῖται δ' ἐνταῦθα ὅτι αἱ μὲν ψευδεῖς δόξαι, καὶ πονηραὶ ἐπιθυμίαι, καὶ αἰσχραὶ ἡδοναὶ, ἄγουσιν εἰς τὸ ἀπολλύσθαι· αἱ δὲ ἀληθεῖς, εὐθεῖαι καὶ τίμιαι, εἰς τὸ σώζεσθαι.

7 *Ὡς* περιάγ.) Τὸ ὡς τροπικόν· ἀντὶ τοῦ ὅπως. Τίνα τρόπον.

γύλους; — Π. Καλεῖται μὲν (ἔφη) Τύχη· ἐστὶ δὲ οὐ μόνον τυ-
2 φλὴ, ἀλλὰ καὶ μαινομένη, καὶ κωφή. — Ξ. Αὕτη οὖν τί ἔρ-
γον ἔχει; — Π. Περιπορεύεται πανταχοῦ (ἔφη)· καὶ παρ᾽ ὧν
μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδωσι· παρὰ δὲ τῶν
αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα ἃ ἔδωκε, καὶ ἄλλοις δι-
δωσιν εἰκῇ καὶ ἀβεβαίως. Διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει
3 τὴν φύσιν αὐτῆς. — Ξ. Ποῖον τοῦτο (ἔφην ἐγώ;) — Π. Ὅτι
ἐπὶ στρογγύλου λίθου ἕστηκεν. — Ξ. Εἶτα τί τοῦτο σημαίνει;
— Π. Ὅτι οὐκ ἀσφαλής, οὐδὲ βεβαία ἐστὶν ἡ παρ᾽ αὐτῆς
δόσις. Ἐκπτώσεις γὰρ μεγάλαι καὶ σκληραὶ γίγνονται, ὅταν τις
4 αὐτῇ πιστεύσῃ. — Ξ. Ὁ δὲ ὄχλος τῶν ἀνθρώπων, ὁ πολὺς οὗτος
περὶ αὐτὴν ἑστηκώς, τί βούλεται; καὶ τίνες καλοῦνται; — Π.
Καλοῦνται μὲν οὗτοι Ἀπροβούλευτοι· αἰτοῦσι δὲ ἕκαστος αὐτῶν
5 ἃ ῥίπτει. — Ξ. Πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφήν, ἀλλ᾽
οἱ μὲν αὐτῶν δοκοῦσι χαίρειν, οἱ δὲ ἀθυμοῦσιν, ἐκτεταμένοι
τὰς χεῖρας; — Π. Οἱ μὲν δοκοῦντες (ἔφη) χαίρειν, καὶ γε-
λᾷν αὐτῶν, οἱ εἰληφότες τι παρὰ τῆς Τύχης εἰσίν· οὗτοι δὲ καὶ
Ἀγαθὴν Τύχην αὐτὴν καλοῦσιν. Οἱ δὲ δοκοῦντες κλαίειν, καὶ
τὰς χεῖρας ἐκτεταμένοι, εἰσὶ παρ᾽ ὧν ἀφείλετο ἃ δέδωκε πρό-
τερον αὐτοῖς. Οὗτοι δὲ πάλιν Κακὴν Τύχην αὐτὴν καλοῦσι.
6 — Ξ. Τίνα οὖν ἐστιν ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως οἱ μὲν
λαμβάνοντες χαίρουσιν, οἱ δὲ ἀποβάλλοντες κλαίουσι; — Π.
Ταῦτα (ἔφη), ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀ-
γαθά. — Ξ. Ταῦτα οὖν τίνα ἐστί; — Π. Πλοῦτος δηλαδὴ,
καὶ Δόξα, καὶ Εὐγένεια, καὶ Τέκνα, καὶ Τυραννίδες, καὶ Βα-
7 σιλεῖαι, καὶ τἄλλα ὅσα τούτοις παραπλήσια. — Ξ. Ταῦτα
οὖν πῶς οὐκ ἔστιν ἀγαθά; — Π. Περὶ μὲν τούτων (ἔφη) καὶ
αὖθις ἐκποιήσει διαλέγεσθαι. Νῦν δὲ περὶ τὴν μυθολογίαν γενώ-
μεθα. — Ξ. Ἔστω οὕτως.

ε. Π. Ὁρᾷς οὖν, ὡς ἂν παρέλθοις τὴν πύλην ταύτην, ἀνώτερον
ἄλλον περίβολον, καὶ γυναῖκας ἔξω τοῦ περιβόλου ἑστηκυίας, κε-

---

δ΄. 2. Παρὰ δὲ τῶν αὐτῶν) Οἷς δίδωσι παρ᾽ ἄλλων λαβοῦσα.

3. Ἢ παρ᾽ αὐτῆς δόσ.) Οὐ δὲ βέβαιόν ἐστιν, ὃ αὐτὴ δίδωσιν.

— Ἐκπτώσεις γὰρ) Πτώσεις δηλ. καὶ καταστροφαί. Ἐκπίπτει δέ τις, ὅταν εἰς μέγαν τινὰ βαθμὸν ἀξίας ᾖ· καὶ αἴφνης ταύτης στερεῖται· ἢ ὅταν πλούσιος ᾖ· καὶ πτωχὸς γίνεται· καὶ τὰ τοιαῦτα· καὶ αἱ τοιαῦται ἐκπτώσεις μεγάλαι εἰσὶ, καὶ σκληραὶ, καὶ οἷον ἀφόρητοι δοκοῦσι.

4. Τί βούλεται καὶ τίνες καλ.) Τὸ μὲν βούλεται κατὰ φωνήν· τὸ δὲ τίνες καλοῦνται πρὸς τὸ σημαινόμενον ἀπεδόθη τοῦ ὄχλος.

5. Ἐκτεταχότ.) Ἐκτείνω· μέλ. Ἐκτενῶ· παρακ. Ἐκτέτακα. Ἔχοντες δηλ. ἐκτεταμένας τὰς χεῖρας.

7. Καὶ αὖθις διαλ.) Κατὰ τὸ τέλος τοῦ λόγου λέγει περὶ τούτων.

— Περὶ τὴν μυθολογίαν γενώμ.) Νῦν δὲ ἐνασχοληθώμεθα εἰς τὴν τῆς γραφῆς ἐξήγησιν. — Ἔστω οὕτως) Ἀπόκρισις. Ἤτοι· Τοῦτο γενέσθω οὕτως, ὡς σὺ φής.

ε. Ὡς ἂν παρέλ.) Μετὰ τὸ παρελθεῖν τὸ ὡς χρονικόν.

κοσμημένας ὥσπερ [αἱ] ἑταῖραι εἰώθασι; — Ξ. Καὶ μάλα. — Π. 2
Λῦταί τοίνυν, ἡ μὲν Ἀκρασία καλεῖται, ἡ δὲ Ἀσωτία, ἡ δὲ Ἀπληστία, ἡ δὲ Κολακεία.—Ξ. Τί οὖν ὧδε ἑστήκασιν αὗται;—Π. Παρατηροῦσιν (ἔφη) τοὺς εἰληφότας τι παρὰ τῆς Τύχης. — Ξ. Εἶτα 3
τί; — Π. Ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς, καὶ κολακεύουσι, καὶ ἀξιοῦσι παρ᾽ αὐταῖς μένειν λέγουσαι, ὅτι βίον ἕξουσιν ἡδύν, καὶ 4
ἄπονον, καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. Ἐὰν οὖν τις πεισθῇ ὑπ᾽ αὐτῶν εἰσελθεῖν εἰς τὴν ἡδυπάθειαν, μέχρι μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβή, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον· εἶτ᾽ οὐκ 5
ἔτι. Ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται ὅτι οὐκ ἤσθιεν, ἀλλ᾽ ὑπ᾽ αὐτῆς κατησθίετο, καὶ ὑβρίζετο. Διὸ καὶ, ὅταν ἀναλώσῃ πάντα, ὅσα ἔλαβε παρὰ τῆς Τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν, καὶ πάνθ᾽ ὑπομένειν, καὶ ἀσχημονεῖν, καὶ ποιεῖν ἕνεκεν τούτων, ὅσα ἔστι βλαβερά, οἷον ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λπίζεσθαι, καὶ πάνθ᾽ ὅσα τούτοις 6
παραπλήσια. Ὅταν οὖν πάντα αὐτοὶς ἐπιλίπῃ, παραδίδονται τῇ Τιμωρίᾳ.—Ξ. Ποία δ᾽ ἔστιν αὕτη;—Π. Ὁρᾷς ὀπίσω τι αὐτῶν (ἔφη), ὥσπερ θυρίον μικρόν, καὶ τόπον στενόν τινα, καὶ σκοτεινόν; — Ξ. Καὶ μάλα. — Π. Οὐκοῦν καὶ γυναῖκες αἰσχραί, καὶ ῥυπαραί, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι;— Ξ. Καὶ μάλα. — Π. Αὗται τοίνυν (ἔφη), ἡ μὲν τὴν μάστιγα ἔχουσα, καλεῖται 7
Τιμωρία· ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, Λύπη· ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, Ὀδύνη. — Ξ. Ὁ δ᾽ ἄλλος 8
οὗτος ὁ παρεστηκὼς αὐταῖς δυσειδής τις, καὶ λεπτὸς, καὶ γυμνὸς, καὶ μετ᾽ αὐτοῦ τις ὁμοία αὐτῷ, αἰσχρὰ, καὶ λεπτὴ, τίνες εἰσί; —Π. Ὁ μὲν, Ὀδυρμὸς καλεῖται (ἔφη)· ἡ δὲ, ἀδελφὴ αὐτοῦ, Ἀθυμία. Τούτοις οὖν παραδίδοται, καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος. Εἶτα ἐνταῦθα πάλιν εἰς τὸν ἕτερον οἶκον ῥίπτεται, εἰς τὴν Κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον κα- 9
ταστρέφει ἐν πάσῃ κακοπραγίᾳ, ἂν μὴ ἡ Μετάνοια αὐτῷ τύχῃ συναντήσασα. — Ξ. Εἶτα τί γίνεται, ἐὰν ἡ Μετάνοια αὐτῷ συναντήσῃ; — Π. Ἐξαίρει αὐτὸν ἐκ τῶν κακῶν, καὶ συνίστησιν αὐτῷ ἑτέραν Δόξαν καὶ Ἐπιθυμίαν, τὴν εἰς τὴν ἀληθινὴν Παιδείαν ἄγουσαν, ἅμα δὲ καὶ τὴν εἰς τὴν Ψευδοπαιδείαν καλουμένην. — Ξ. Εἶτα τί γίγνεται; — Π. Ἐὰν μὲν

---

4. Ἐὰν οὖν τις π.) Ἐὰν δηλονότι πεισθῇ τις, ἵν᾽ ἡδυπαθῇ μετ᾽ αὐτῶν.
— Ἀλλ᾽ ὑπ᾽ αὐτ.) Τῆς ἡδυπαθείας.
6. Ὀπίσω τι αὐτ.) Ὁρᾷς ὀπίσω αὐτῶν ὥσπερ θυρίον τι μικρόν.
— Οὐκοῦν) Προσθετικὸν ἀντὶ τοῦ, πρὸς δὲ τούτοις.
7. Τίλλουσα ἑαυτ.) Τὰς ἑαυτῆς.
8. Τίνες εἰσί;) Πρὸς ἑκάτερον ἀποδίδοται καὶ πρὸς τὸν παρεστηκότα δυσειδῆ καὶ λεπτὸν καὶ γυμνόν· καὶ πρὸς τὴν ὁμοίαν αὐτῷ αἰσχρὰν καὶ λεπτήν· ἔστι δὲ κατὰ τὸ ἀπὸ κοινοῦ λεγόμενον σχῆμα.
— Παραδίδοται) Ἕκαστος ἀκλ.

(φησι) τὴν Δόξαν ταύτην προσδέξηται, τὴν ἄξουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν Παιδείαν, καθαρθεὶς ὑπ' αὐτῆς σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ· εἰ δὲ μή, πάλιν πλανᾶται ὑπὸ τῆς Ψευδοδοξίας. — Ξ. Ὦ Ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος!

ς'. Ἡ δὲ Ψευδοπαιδεία, ποία ἐστὶν (ἔφην ἐγώ); — Π. Οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον; — Ξ. Καὶ μάλα (ἔφην ἐγώ). — Π. Οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον γυνή τις ἕστηκεν, ἢ δοκεῖ πάνυ καθάριος καὶ εὔτακτος εἶναι; — Ξ. Καὶ
2 μάλα. — Π. Ταύτην τοίνυν οἱ πολλοί, καὶ εἰκαῖοι τῶν ἀνθρώπων, Παιδείαν καλοῦσιν· οὐκ ἔστι δέ, ἀλλὰ Ψευδοπαιδεία (ἔφη). Οἱ μέντοι σωζόμενοι, ὁπόταν βούλωνται εἰς τὴν ἀληθι-
3 νὴν Παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίγνονται. — Ξ. Πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν, ἐπὶ τὴν ἀληθινὴν Παιδείαν ἄγουσα; — Π. Ἔστιν (ἔφη). — Ξ. Οὗτοι δὲ οἱ ἄνθρωποι, οἱ ἔσω τοῦ περιβόλου ἀνακάμπτοντες, τίνες εἰσίν; — Π. Οἱ τῆς Ψευδοπαιδείας (ἔφη) ἑρασταί, ἠπατημένοι, καὶ οἰόμενοι μετὰ τῆς ἀληθινῆς Παιδείας συνομιλεῖν. — Ξ. Τίνες οὖν καλοῦνται οὗτοι;
4 — Π. Οἱ μέν, Ποιηταί (ἔφη), οἱ δὲ, Ῥήτορες, οἱ δὲ, Διαλεκτικοί, οἱ δὲ, Μουσικοί, οἱ δὲ, Ἀριθμητικοί, οἱ δὲ, Γεωμέτραι, οἱ δὲ, Ἀστρολόγοι, οἱ δὲ, Ἡδονικοί, οἱ δὲ, Περιπατητικοί, οἱ δὲ, Κριτικοί,
5 καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσιοι. — Ξ. Αἱ δὲ γυναῖκες ἐκεῖναι, αἱ δοκοῦσαι περιτρέχειν, ὅμοιαι ταῖς πρώταις, ἐν αἷς ἔφης εἶναι τὴν Ἀκρασίαν, καὶ αἱ ἄλλαι αἱ μετ' αὐτῶν, τίνες εἰσίν; — Π. Αὗται ἐκεῖναί εἰσιν (ἔφη). — Ξ. Πότερον οὖν καὶ ὧδε εἰσπορεύονται; — Π. Νὴ Δία καὶ ὧδε· σπανίως δὲ, καὶ
6 οὐχὶ ὥσπερ ἐν τῷ πρώτῳ περιβόλῳ. — Ξ. Πότερον οὖν καὶ αἱ Δόξαι; — Π. Ναὶ (ἔφη). Μένει γὰρ καὶ ἐν τούτοις τὸ πόμα, ὃ ἔπιον παρὰ τῆς Ἀπάτης, καὶ ἡ Ἀγνοία μένει καὶ ἐν τούτοις, νὴ Δία, καὶ μετ' αὐτῆς γε ἡ Ἀφροσύνη· καὶ οὐ μὴ ἀπέλθῃ ἀπ' αὐτῶν οὔθ' ἡ Δόξα, οὔθ' ἡ λοιπὴ Κακία, μέχρις ἂν ἀπογνόντες τῆς Ψευδοπαιδείας εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδὸν, καὶ πίωσι τὰς τούτων καθαρτικὰς δυνάμεις. Εἶτα, ὅταν καθαρθῶσι,

---

ς'. 2. Ὧδε πρῶτον παραγ.) Εἰς τὴν ψευδοπαιδείαν δηλ.

4. Οἱ δὲ Ἡδον. οἱ δὲ Περ. οἱ δὲ Κριτ.) Ἡδονικοὺς μὲν λέγει τοὺς Ἐπικουρίους, τὴν ἡδονὴν λέγοντας εἶναι τὸ ἀγαθόν. Περιπατητικοὺς δὲ, τοὺς ἐκ τοῦ περιπάτου τὴν Ἀριστοτελικὴν παιδείαν μανθάνοντας. Κριτικοὺς δὲ λέγειν δοκεῖ τοὺς Ἐφεκτικοὺς καλουμένους· οὗτοι γὰρ ἐν πᾶσι καὶ αὐτοῖς τοῖς ἀφανέσι, καὶ ἐπὶ τῇ ἰδίᾳ αὐτῶν ὑπάρξει ἀμφιβάλλοντες ἐπεῖχον.

5. Αὗται ἐκεῖν.) Αἱ αὗται δηλ. εἰσί.

6. Τὸ πόμα .. καὶ ἡ Ἀγν.) Ἔτι γὰρ μένει ἐν τούτοις τὸ πόμα· καὶ ἡ ἄγνοια καὶ ἡ ἀφροσύνη.

— Ἀπογνόντες τῆς ψευδ.) Τὸ παρ' ἡμῖν. Παραιτηθέντες ἀπὸ τῆς ψευδοπαιδ

— Τὴν τούτου καθαρ. δύν.) Τὴν δύναμιν τὴν καθαίρουσαν ἐκ τούτου δηλ. τῆς ψευδοπαιδείας.

καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ' ὅσ' ἂν ἔχωσι, καὶ τὰς Δόξας, καὶ τὴν Ἄγνοιαν, καὶ τὴν λοιπὴν Κακίαν πᾶσαν, τότε ἂν οὕτως σωθήσωνται. Ὧδε δὲ μένοντες παρὰ τῇ Ψευδοπαιδείᾳ οὐδέποτε ἀπολυθήσονται, οὐδὲ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν ἕνεκα τούτων τῶν μαθημάτων. 7

ζ'. Ξ. Ποία οὖν ἔστιν αὕτη ἡ ὁδός, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν Παιδείαν (ἔφην); — Π. Ὁρᾷς ἄνω (ἔφη) τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ' ἔρημος δοκεῖ εἶναι; — Ξ. Ὁ'ρῶ. — Π. Οὐκοῦν καὶ Θύραν τινὰ μικράν, καὶ ὁδόν τινα πρὸ τῆς Θύρας, ἥτις οὐ πολὺ ὑχλεῖται, ἀλλ' ὀλίγοι πάνυ πορεύονται, ὥσπερ ἀνοδίας τινὸς καὶ τραχείας καὶ πετρώδους εἶναι δοκούσης; — Ξ. Καὶ μάλα (ἔφην). — Π. Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα ἔνθεν καὶ ἔνθεν βαθεῖς; — Ξ. Ὁρῶ. — Π. Αὕτη τοίνυν ἐστὶν ἡ ὁδὸς (ἔφη) ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν Παιδείαν; — Ξ. Καὶ μάλα γε χαλεπὴ προσιδεῖν. — Π. Οὐκοῦν καὶ ἄνω ἐπὶ τοῦ βουνοῦ ὁρᾷς πέτραν τινὰ μεγάλην καὶ ὑψηλήν, καὶ κύκλῳ ἀπόκρημνον; — Ξ. Ὁρῶ (ἔφην). — Π. Ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἐστηκυίας ἐπὶ τῇ πέτρᾳ, λιπαράς, καὶ εὐεκτούσας τῷ σώματι, ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως; — Ξ. Ὁρῶ· ἀλλὰ τίνες καλοῦνται (ἔφην) αὗται; — Π. Ἡ μέν, Ἐγκράτεια καλεῖται (ἔφη)· ἡ δὲ Καρτερία· εἰσὶ δὲ ἀδελφαί. — Ξ. Τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως; — Π. Παρακαλοῦσιν (ἔφη) τοὺς παραγιγνομένους ἐπὶ τὸν τόπον, θαρρεῖν, καὶ μὴ ἀποδειλιᾶν, λέγουσαι, ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτούς, εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν. — Ξ. Ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν, πῶς ἀναιβαίνουσιν; Ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ' αὐτήν. — Π. Αὗται ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς αὐτάς. Εἶτα κελεύουσιν αὐτοὺς διαναπαύσασθαι· καὶ μετὰ μικρὸν διδόασιν Ἰσχὺν καὶ Θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστήσειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδόν, ὡς ἔστι καλή τε, καὶ ὁμαλή, καὶ εὐπόρευτος, καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς. — Ξ. Ἐμφαίνει, νὴ Δία. — Π. Ὁρᾷς οὖν (ἔφη) ἔμ- 1 2 3 4 5 6 7 8

— Τότε ἄν) Ὁ Ἂν δυνητικὸς καὶ πρὸς ὁριστικὸν μέλλοντα φερόμενος.

ζ'. 2. Πρὸ τῆς Θύρ.) Ἔμπροσθεν δηλ. τῆς Θύρας.

— Οὐ πολὺ ὀχλεῖτ.) Ἐν ᾗ οὐκ ἔστι πολὺς ὄχλος.

— Ὥσπερ . . . δοκούσ.) Ὥσπερ εἰ ἐοίκει. Ἀπολύτως ἐξήνεκται. Ἔστι δὲ καὶ οὕτω λαβεῖν τὴν σύνταξιν. Πάνυ ὀλίγοι πορεύονται διὰ ταύτης τῆς ὁδοῦ, ὡς διὰ δοκούσης καὶ τλ.

3. Χαλεπὴ προσιδ.) Κατὰ τὸ προσιδ.

7. Ἐμφαίνει νὴ Δία) Καθυρώτατα φαίνεται αὕτη ἡ ὁδός.

προσθεν τοῦ ἄλσους ἐκείνου καὶ τόπον τινά, ὃς δοκεῖ καλός τε εἶναι, καὶ λειμωνοειδής, καὶ φωτὶ πολλῷ καταλαμπόμενος; — Ξ. Καὶ μάλα. — Π. Κατανοεῖς οὖν καὶ ἐν μέσῃ τῷ λειμῶνι περίβολον ἕτερον, καὶ πύλην ἑτέραν; — Ξ. Ἔστιν οὕτως. Ἀλλὰ
9 τίς καλεῖται ὁ τόπος οὗτος; — Π. Εὐδαιμόνων οἰκητήριον (ἔφη)· ὧδε γὰρ διατρίβουσιν αἱ Ἀρεταὶ πᾶσαι, καὶ ἡ Εὐδαιμονία. — Ξ. Εἶεν (ἐφην ἐγώ)· ὡς καλὸν λέγεις τὸν τόπον εἰ-
10 ναι. — Π. Οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς (ἔφη), ὅτι γυνή τις ἐστὶ, καλὴ καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέσῃ δὲ καὶ κεκριμένῃ ἤδη τῇ ἡλικίᾳ, στολὴν δ' ἔχουσα ἁπλῆν τε καὶ ἀκαλλώπιστον; ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ' ἐπὶ τετραγώνου, ἀσφαλῶς κειμένου. Καὶ μετ αὐτῆς ἄλλαι δύο εἰσὶ, θυγατέρες τινὲς
11 δοκοῦσαι εἶναι. — Ξ. Ἐμφαίνει οὕτως ἔχειν. — Π. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, Παιδεία ἐστίν· ἡ δὲ, Ἀλήθεια· ἡ δὲ, Πειθώ. — Ξ. Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη; — Π. Σημεῖον (ἔφη), ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς
12 λαμβάνουσι. — Ξ. Καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη; — Π. Θάρσος, καὶ Ἀφοβία (ἔφη ἐκεῖνος). — Ξ. Ταῦτα δὲ τίνα ἐστίν; — Π. Ἐπιστήμη (ἔφη) τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ. — Ξ. Ὦ Ἡράκλεις, ὡς καλὰ (ἔφην) τὰ δῶρα!

ἡ. Ἀλλὰ τίνος ἕνεκεν οὕτως ἔξω τοῦ περιβόλου ἕστηκεν; — Π. Ὅπως τοὺς παραγινομένους (ἔφη) θεραπεύῃ καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν. Εἰθ', ὅταν καθαρθῶσιν, οὕτως αὐτοὺς
2 εἰσάγῃ πρὸς τὰς ἀρετάς. Ξ. Πῶς τοῦτο (ἔφην ἐγώ); Οὐ γὰρ συνίημι; — Π. Ἀλλὰ συνήσεις (ἔφη) ὡς ἂν, εἴτις φιλόθοινος κάμνων ἐτύγχανε, πρὸς ἰατρὸν ἂν δήπου γενόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε τὰ νοσοποιοῦντα· εἶτα οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγιείαν κατέστησεν. Εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, εὐλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου.— Ξ.
3 Ταῦτα μὲν συνίημι (ἔφην ἐγώ). — Π. Τὸν αὐτὸν τοίνυν τρόπον (ἔφη), καὶ πρὸς τὴν Παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν, καὶ ποτίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ

---

9. Ὡς καλὸν τὸν τόπον εἶν.) Οἷον φημὶ ἢ δέχομαι ὅτι ὁ τόπος ἐστὶ λίαν καλός.

10. Καθεστηκυῖα τὸ πρόσ.) Εὐσταθὲς καὶ ἀμετάβλητον ἔχουσα τὸ πρόσωπον.

— Κεκριμένῃ ἤδη τῇ ἡλ.) Κεκριμένῃ τῇ ἡλικίᾳ ἐννοεῖ τὴν ἐπὶ τὸ γῆρας νεύουσαν.

— Θυγατέρες τινὲς) Ἐκείνης δηλ. Τὰ δὲ τίνες πλεονάζει.

11. Τί δὲ ἕστηκ.) Διατί δὲ ἕστηκεν.

— Καὶ τῶν διδομ.) Ὅσα δὲ δίδοται· τούτων ἡ δόσις ἀσφαλής ἐστι τοῖς λαμβάνουσιν.

ἡ. Ἔξω τοῦ περιβόλου ἕστ.) Ἡ παιδεία δηλ.

πρῶτον καὶ ἐκβάλῃ τὰ κακὰ, ὅσα ἔχων ἦλθε. — Ξ. Ποῖα ταῦτα; — Π. Τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον, ἃ παρὰ τῆς Ἀπάτης ἐπεπώκει καὶ τὴν Ἀλαζονείαν, καὶ τὴν Ἐπιθυμίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὸν Θυμόν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν τῷ πρώτῳ περιβόλῳ. — Ξ. Ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει; — Π. Ἔνδον (ἔφη) πρὸς τὴν Ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας Ἀρετάς. — Ξ. Ποίας ταύτας; — Π. Οὐχ ὁρᾷς (ἔφη) ἔσω τῆς πύλης χορὸν γυναικῶν· ὡς εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν· ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι, καθάπερ αἱ ἄλλαι; — Ξ. Ὁρῶ (ἔφην). Ἀλλὰ τίνες αὗται καλοῦνται; — Π. Ἡ μὲν πρώτη, Ἐπιστήμη (ἔφη) καλεῖται. Αἱ δὲ ἄλλαι, ταύτης ἀδελφαί, Ἀνδρία, Δικαιοσύνη, Καλοκἀγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πρᾳότης. — Ξ. Ὦ κάλλισταί (ἔφην ἔγωγε)! ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν! — Π. Ἐὰν συνῆτε (ἔφη), καὶ ἕξιν περιποιήσησθ' ὧν ἀκούετε. — Ξ. Ἀλλὰ προσέξομεν ὡς μάλιστα (ἔφην ἔγωγε). — Π. Τοιγαροῦν (ἔφη) σωθήσεσθε.

4

Ϛ'. Ξ. Ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῦ ἀπάγουσι; — Π. Πρὸς τὴν μητέρα ἔφη. — Ξ. Αὕτη δὲ τίς ἐστιν; — Π. Εὐδαιμονία ἔφη. — Ξ. Ποία δέ ἐστιν αὕτη; — Π. Ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων; — Ξ. Ὁρῶ. — Π. Οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσμημένη ἐλευθέρως, καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καὶ ποικίλῳ; — Ξ. Ἐμφαίνει οὕτως. — Π. Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία (ἔφη). — Ξ. Ὅταν οὖν ὧδέ τις παραγένηται τί ποιεῖ; — Π. Στεφανοῖ αὐτὸν (ἔφη) τῇ ἑαυτῆς δυνάμει ἥ τε Εὐδαιμονία, καὶ αἱ ἄλλαι Ἀρεταὶ πᾶσαι, ὥσπερ νενικηκότα τοὺς μεγίστους ἀγῶνας. — Ξ. Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτὸς

2

3

---

3. Ὅσα ἔχων ἦλθ.) Ἀντὶ τοῦ, Ὅσα εἶχεν ἐλθών· ἤτοι. Ὅσα ἔφερε μεθ' ἑαυτοῦ, ὅτε ἦλθε κατ' ἐναλλαγὴν καὶ μετάληψιν τῶν μερῶν τοῦ λόγου.

5. Ὡς εὐειδεῖς δοκοῦσιν εἶν.) Αἱ γυναῖκες δηλ. αὗται.

7. Καὶ ἕξιν καὶ τ. λ.) Καὶ κτήσασθε δηλ. ταῦτα, ἃ ἀκούεται ἐμοῦ λέγοντος· τὸ δὲ Ὧν Ἀττικῶς πρὸς τὸ ἐκείνων· ἀντὶ καὶ περιποιήσεσθε ἕξιν ἐκείνων, ἃ ἀκηκόατε.

Ϛ'. 3. Τοὺς μεγίστους ἀγῶνας) Τέσσαρες ἦσαν ἐν Ἑλλάδι ἀγῶνες. Πρῶτος τὰ Ὀλύμπια εἰς τιμὴν τοῦ Ὀλυμπίου Διὸς πλησίον τῆς πόλεως Ὀλυμπιάδος τῆς Ἤλιδος, κατὰ τετραετίαν ἀγόμενα ἔνθα τοῖς νικῶσι βραβεῖον κλάδος ἐλαίας. Δεύτερος τὰ Πύθια, εἰς τιμὴν Ἀπόλλωνος φονεύσαντος Πύθωνα τὸν δράκοντα· ἔνθα τοῖς νικῶσιν ἆθλον δάφνη. Τρίτος τὰ Ἴσθμια ἐν Ἰσθμῷ τῆς Κορίνθου εἰς τιμὴν Ποσειδῶνος, ἔνθα τοῖς νικῶσιν ἆθλον πίτυς. Τέταρτος τὰ Νέμεα εἰς τιμὴν Ἡρακλέους· ἔνθα τοῖς νικῶσιν ἆθλον σέλινα· ἠγωνίζοντο δὲ τὸ στάδιον, τὸν δρόμον, τὸν δίσκον, τὴν πάλην,

4 (ἔφην ἐγώ); — Π. Τοὺς μεγίστους (ἔφη), καὶ τὰ μέγιστα θηρία, ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε, καὶ ἐποίει δοῦλον. Ταῦτα πάντα νενίκηκε, καὶ ἀπέῤῥιψεν ἀφ' ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι, καθάπερ οὗτος
5 ἐκείνοις πρότερον.— Ξ. Ποῖα ταῦτα λέγεις θηρία; πάνυ γὰρ ἐπιποθῶ ἀκοῦσαι.— Π. Πρῶτον μὲν (ἔφη) τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον. Ἢ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι; — Ξ. Καὶ πονηρά γε (ἔφην ἐγώ).— Π. Εἶτα τὴν Λύπην, καὶ τὸν Ὀδυρμόν, καὶ τὴν Ὑπεριφάνειαν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν κακίαν. Πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται,
6 ὥσπερ τὸ πρότερον.— Ξ. Ὦ καλῶν ἔργων (ἔφην ἐγώ), καὶ καλλίστης νίκης! Ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπέ· τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν;— Π. Εὐδαιμονική, ὦ νεανίσκε. Ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει, εὐδαίμων γίγνεται καὶ μακάριος, καὶ ἔχει οὐκ ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν αὐτῷ. — Ξ. Ὡς καλὸν τὸ νίκημα λέγεις! Ὅ-
7 ταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει;— Π. Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ Ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρῶτον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων, οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζονείας, οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενοδοξίας, ἕτεροι δὲ ὑφ' ἑτέρων κακῶν· ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι, καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττονται διὰ παντὸς τοῦ
8 βίου. Τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν· ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ Δαιμονίου πρόσταγμα.

ί. Ξ. Ὀρθῶς μοι δοκεῖς λέγειν. Ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ Ἀρεταί,
2 ὅθεν ἧκει τὸ πρότερον.— Π. Οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο (ἔφη) οὐδὲν τῶν ἐκεῖ· ἀλλ' ἐνεδοίαζε, καὶ διὰ τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ νομίζειν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακά, κακά. Διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρίβοντες. Νῦν δὲ, ἀνειλημφὼς τὴν

καὶ πυγμήν· ἐν δὲ τοῖς Ὀλυμπίοις ὁ μέγιστος ἀγὼν ἦν δρόμος.

7. Ὑπολαβοῦσαι αἱ Ἀρεταὶ) Αἱ ἀρεταὶ λαβοῦσαι αὐτόν, ἄγουσι πρὸς τὸν τ. — Ὡς κακῶς καὶ ἀθλίως) Τροπικὸν τὸ ὡς· ὃν τινα δηλ τρόπον.— Ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν) Λῦσαι ἑαυτοὺς ἐκ τῶν δινῶν.

8. Τὸ παρὰ τοῦ δαιμονίου πρόστ.) Ὡς ἐν γ'. 2. Εἴρηται. Ἦν δὲ τὸ πρόσταγμα· τί δεῖ ποιεῖν εἰσελθόντας εἰς τὸν βίον· καὶ ἣν δεῖ βαδίζειν σώζεσθαι βουλομένους· τοῦτο δὲ ἐστὶ θαῤῥεῖν, ὡς ἐν β'. 4. καὶ τῇ τύχῃ πιστεύειν 5.

ἐπιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ ὡς κακῶς πράσσουσιν. —Ξ. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, 3
τί ποιεῖ, ἢ ποῖ ἔτι βαδίζει; — Π. Ὅποι ἂν βούληται (ἔφη)· παντα χοῦ γάρ ἐστιν αὐτῷ ἀσφάλεια, ὥσπερ τῷ τὸ κηρύκιον ἔχοντι. Καὶ παντα χοῦ οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλείας. Ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες. — Ξ. Πότερον 4
οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκ ἔτι φοβεῖται, μήτι πάθῃ ὑπ᾽ αὐτῶν; — Π. Νὴ Δία, οὐδὲν οὐ μὴ διοχληθήσεται, οὔτε ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης, οὔτε ὑπ᾽ Ἀκρασίας, οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπ᾽ ἄλλου κακοῦ οὐδενός. Ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω παντων ἐστὶ τῶν πρότερον αὐτὸν λυποὺντων, καθάπερ οἱ ἐχιόδηκτοι. Τὰ γὰρ θηρία δήπου, τὰ πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτούς. Οὕτω καὶ τοῦτον οὐκέτι οὐθὲν λυπεῖ, διὰ τὸ ἔχειν τὸ ἀντιφάρμακον.—Ξ. Καλῶς ἐμοὶ δοκεῖς λέγειν. Ἀλλ᾽ ἔτι τοῦτό 5
μοι εἰπέ· τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βυνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν, ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός· οἱ δέ, ἀστεφάνωτοι, λύπης καὶ ταραχῆς· καὶ τὰς κνήμας [δὲ] καὶ τὰς κεφαλὰς δοκοῦσι τετρίφθαι· κατέχονται δὲ ὑπὸ γυναικῶν τινῶν.—Π. Οἱ μὲν ἐστεφανωμένοι, οἱ σε- 6
σωσμένοι εἰσὶ πρὸς τὴν Παιδείαν, καὶ εὐφραίνονται, τετυχηκότες αὐτῆς· οἱ δὲ ἀστεφάνωτοι, οἱ μέν, ἀπεγνωσμένοι ὑπὸ τῆς Παιδείας ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δέ,

---

1. 2. Ὡς κακῶς πράσσουσιν) Ὅτι κακοπραγοῦσι, δυστυχοῦσι.

3. Ὥσπερ τῷ κηρ. ἔχοντι) Κηρύκιόν ἐστι ξύλον ἔχον ἑκατέρωθεν δύο ὄφεις περιπεπλεγμένους, καὶ ἀντιπροσώπους ἀλλήλοις. Ὅπερ εἰώθασι φέρειν οἱ κήρυκες μεθ᾽ ἑαυτῶν, οὓς οὐκ ἐξῆν ἀδικεῖν, παρ᾽ οἷς ἐπήρχοντο· καὶ τόνδε τὸν τρόπον σημεῖον ἀσφαλείας ἦν τὸ κηρύκιον. Σχολ. Θουκυδ. Α. νγ. Σημείωσαι δὲ ὅτι ἐν ἄλλοις φέρεται Κωρύκιον ἄντρον, ἀλλὰ τὸ τοιοῦτον ὡς μηδὲν εἰς τὸν νοῦν συμβάλλον μετεβλήθη εἰς τὸ κηρύκιον, ὡς καὶ πολλοῖς ἄλλοις εἴκασται. Εἰ μή τις ἀσφαλείας σημεῖον εἴποι καὶ τὸ ἐν Κιλικίᾳ Κωρύκιον ἄντρον· ὡς τοῦ Τυφῶνος ἐκεῖ τὸν Δία κρύψαντος. Ἀλλ᾽ Ἑρμῆς καὶ Αἰγύπαν κἀκεῖθεν ἔκλεψαν τὸν Δία. Ἀπολλόδ. Α.

4. Οἱ Ἐχιόδηκτ.) Οἱ ὑπὸ ἔχεως δηχθέντες. Δοκεῖ γὰρ δόξα τις εἶναι παρὰ τοῖς παλαιοῖς τὸν ἐχιόδηκτον ὑπὸ μηδενὸς ἑτέρου βλάπτεσθαι ὄφεως· κατὰ τὴν δόξαν οὖν ταύτην τὴν παραβολὴν ἐποιήσατο, μηδὲν φροντίσας περὶ τῆς ἀληθείας τοῦ πράγματος.

5. Ἔμφασιν ποιοῦσι) Δεικνύουσί τινα εὐφροσύνην.

6. Οἱ δὲ ἀστεφάνωτοι) Ἀντὶ τῶν δὲ ἀστεφανώτων, οἱ μέν, οἱ δέ· ἢ οἱ δὲ ἀστεφάνωτοι, ὧν οἱ μέν, οἱ δέ. Ἀλλὰ σύνηθες τοῦτο κἂν δοκεῖ σόλοικον. Τὸ δὲ οἱ μὲν ἀπεγνωσμένοι ἀνανταπόδοτον· ὁ γὰρ γέρων, ὑπολαβὼν ἀπεκρίθη, μὴ ἐάσας αὐτὸν πᾶσαν περᾶναι τὴν ἐρώτησιν· ὡς γνοὺς πάντα.

— Ὑπὸ τῆς παιδείας) Ἤτοι παρὰ τῆς παιδείας· οὗς δηλ. ἡ παιδεία ἀπέγνω.

ἀποθεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ.

ιά. Ξ. Αἱ δὲ γυναῖκες, αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται;—Π. Λύπαι (ἔφη) καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι.—Ξ. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν.—Π. Νὴ Δία, πάντα (ἔφη) καὶ ἐπακολουθοῦσιν. Οὗτοι δέ, ὅταν παραγένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν καὶ τὴν Ἀκρασίαν, οὐχ ἑαυτοὺς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι καὶ τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι καὶ κακοδαίμονες, οἳ τὸν βίον τὸν παρ' αὐτοῖς καταλιπόντες κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐτοῖς ἀγαθῶν.—Ξ. Ποῖα δὲ [καὶ] λέγουσιν ἀγαθὰ εἶναι; —Π. Τὴν Ἀσωτίαν, καὶ τὴν Ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. Τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπον, καὶ ἀπολαύειν μεγίστων ἀγαθῶν ἡγοῦνται εἶναι. —Ξ. Αἱ δὲ ἐκεῖθεν παραγιγνόμεναι ἕτεραι γυναῖκες ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται;—Π. Δόξαι (ἔφη)· καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς Ἀρετάς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσιν, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν οὓς τότε ἀπήγαγον.—Ξ. Πότερον οὖν (ἔφην ἐγὼ) αὗται εἴσω πρὸς τὰς Ἀρετὰς εἰσπορεύονται;—Π. (Ἔφη) Οὔ. Οὐ γὰρ Θέμις Δόξαν εἰσπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην, ἀλλὰ τῇ Παιδείᾳ παραδιδόασιν αὐτούς. Εἶτα, ὅταν ἡ Παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὖται πάλιν, ἄλλους ἄξουσαι· ὥσπερ αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσι, καὶ ἄλλων τινῶν γεμίζοντα.

ιβ'. Ξ. Ταῦτα μέν δὴ καλῶς μοι δοκεῖς (ἔφην) ἐξηγεῖσθα. Ἀλλ' ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ Δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν;—Π. Θαρρεῖν (ἔφη). Διὸ καὶ ἡμεῖς θαρρεῖτε· πάντα γὰρ ὑμῖν ἐξηγήσομαι, καὶ οὐδὲ ἀποκρύψω.—Ξ. Καλῶς λέγεις (ἔφην ἐγώ). —Ἐκτείνας οὖν τὴν χεῖρα πάλιν.—Π. Ὁρᾶτε (ἔφη) τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον ὅτι Τύχη καλεῖται;—Ξ. Ὁρῶμεν.—Π. Ταύτῃ κελεύει (ἔφη) μὴ πιστεύειν, καὶ βέβαιον μηδὲν πιστεύειν μηδὲ ἀσφαλὲς ἔχειν, ὅ,τι ἂν παρ' αὐτῆς λάβῃ τις, μηδὲ ὡς ἴδια

—Καὶ πλανῶνται ἀνοδίᾳ) Ἀβεβαιότητι ὁδοῦ.

ιά. Αἱ δὲ γυναῖκες αὗται) Περὶ ὧν δηλ. καὶ πρότερον ἐρωτηθείς, οὐκ ἀπεκρίνατο· ὥσπερ ἐπιλαυόμενος ὀγέρων.

2. Κακῶς λέγουσι) Κατηγοροῦσι.

3. Ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου) Συντόμως εἰπεῖν, καὶ ἐν κεφαλαίῳ.

—Βοσκημάτων τρόπον) Κατὰ τὰ βοσκήματα· κατὰ τὸν τρόπον τῶν βοσκ.

4. Καὶ ἀγαγοῦσαι) Δόξαι εἰσίν, καὶ ἀνακάμπτουσιν ἀγαγοῦσαι· καὶ τλ.

5. Ἀνακάμπτουσιν αὖτ.) Αἱ δόξαι δηλ.

ἡγεῖσθαι. Οὐδὲν γὰρ κωλύει, ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑ-
τέρῳ διδόναι· πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. Καὶ διὰ ταύ- 5
την οὖν τὴν αἰτίαν κελεύει πρὸς τὰς παρ᾽ αὐτῆς δόσεις ἀπτ-
τήτους γίγνεσθαι, καὶ μήτε χαίρειν ὅταν διδῷ, μήτε ἀθυμεῖν
ὅταν ἀφέληται, καὶ μήτε ψέγειν αὐτήν, μήτε ἐπαινεῖν. Οὐδὲν
γὰρ ποιεῖ μετὰ λογισμοῦ, ἀλλ᾽ εἰκῇ, καὶ ὡς ἔτυχε, πάντα,
ὥσπερ πρότερον ὑμῖν ἔλεξα. Διὰ τοῦτο σὺν τὸ Δαιμόνιον κε- 6
λεύει μὴ Θαυμάζειν, ὅτι ἂν πράττῃ αὕτη, μηδὲ γίγνεσθαι ὁ-
μοίους τοῖς κακοῖς τραπεζίταις. Καὶ γὰρ ἐκεῖνοι, ὅταν μὲν
λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον
νομίζουσιν εἶναι. Ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ
οἴονται πεπονθέναι, οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον
τὰ Θέματα, ἐφ᾽ ᾧ οὐδὲν κωλύει τὸν Θέμενον πάλιν κομίσα-
σθαι. Ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαιμόνιον καὶ πρὸς τὴν 7
παρ᾽ αὐτῆς δόσιν· καὶ μνημονεύειν, ὅτι τοιαύτην ἔχει φύσιν ἡ
Τύχη, ὥς τε, ἃ δέδωκεν, ἀφελέσθαι, καὶ ταχέως πάλιν δοῦναι
πολλαπλάσια, αὖθις δὲ ἀφελέσθαι ἃ δέδωκεν· οὐ μόνον δέ, ἀλλὰ
καὶ τὰ προϋπάρχοντα. Ἃ γοῦν διδῷ, κελεύει λαμβάνειν παρ᾽ 8
αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντος πρὸς τὴν βεβαίαν καὶ
ἀσφαλῆ δόσιν.—Ξ. Ποίαν ταύτην (ἔφην ἐγώ);—Π. Ἣν λήψον- 9
ται παρὰ τῆς Παιδείας, ἣν διασωθῶσιν ἐκεῖ.—Ξ. Αὕτη οὖν τίς
ἐστιν;—Π. Ἡ ἀληθὴς Ἐπιστήμη (ἔφη) τῶν συμφερόντων, καὶ
ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλητος. Φεύγειν οὖν κε-
λεύει συντόμως πρὸς ταύτην· καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυ- 10
ναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον ὅτι Ἀκρασία, καὶ Ἡδυπάθεια
καλοῦνται, καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, καὶ
μὴ πιστεύειν μηδὲ τχύταις μηδέν. Ὡς δ᾽ ἂν πρὸς τὴν Ψευδοπαι- 11
δείαν ἀφίκωνται, κελεύει αὐτοῖς χρόνον τινὰ ἐνδιατρίψαι, καὶ
λαβεῖν ὅ,τι ἂν βούλωνται παρ᾽ αὐτῆς, ὥσπερ ἐφόδιον· εἶτα ἐν-
τεῦθεν ἀπιέναι πρὸς τὴν ἀληθινὴν Παιδείαν συντόμως. Ταῦτ᾽ 12
ἐστίν, ἃ προστάσσει τὸ Δαιμόνιον. Ὅς τις τοίνυν παρ᾽ αὐτά τι

---

6. Τὰ Θέματα) Τὰ ἐνέχειρα· ἃ δεδώκασιν αὐτοῖς ἐνέχειρα μέχρι τῆς ἐπιστροφῆς τῶν ἀργυρίων, ἃ ἔλαβον παρ᾽ αὐτῶν.

7. Ἔχειν καὶ πρὸς τὴν) Οὕτω διακεῖσθαι κελεύει τὸ δαιμόνιον καὶ πρός τ.

— Οὐ μόνον δέ, ἀλλὰ) Οὐ μόνον ἀφαιρεῖ ἃ δέδωκεν, ἀλλὰ καὶ τὰ προϋπάρχοντα.

11. Ὥσπερ ἐφόδιον) Αἱ γὰρ μαθήσεις τὰ καὶ μαθηματικὰ καλούμενα, καὶ ὅσα περὶ τὴν φύσιν ἐνασχολεῖται, ἐφόδιόν εἰσι πρὸς τὴν ἀληθινὴν παιδείαν, ἥτις ἐστὶν ἡ τῶν ἠθῶν διαταγή. Καλεῖ δὲ ψευδοπαιδείαν τὰς μαθήσεις, οὐχ ὡς ψευδομένας, ἀλλ᾽ ὡς ἄσκησιν μὲν νοὸς ἐχούσας, καὶ ἐννοιῶν ἕκτασιν καὶ μέγεθος καὶ πλῆθος, πρὸς δὲ ῥυθμὸν ἠθῶν οὐδὲν συμβουλεύσας, τὸ ἐν τῷ βίῳ ἡμῖν ἀναγκαιότατον. Διὰ ταῦτα δὴ ἀπ᾽ ἐκείνης λαβόντας, ὅσον ἐφόδιον, ἐπὶ ταύτην γενέσθαι κελεύει τὸ δαιμόνιον.

ποιεῖ, ἢ παρακούει, ἀπόλλυται κακὸς κακῶς. Ὁ μὲν δὴ μῦθος, ὦ Ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστίν. Εἰ δὲ δεῖ τι προσπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος. Ἐγὼ γὰρ ὑμῖν φράσω.

ιγ'. Ξ. Καλῶς λέγεις (ἔφην ἐγώ). Ἀλλὰ τί κελεύει αὐτοὺς τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας; —Π. Ταῦθ' ἃ δοκεῖ
2 εὔχρηστα εἶναι.—Ξ. Ταῦτ' οὖν τίνα ἐστί; —Π. Γράμματα (ἔφη), καὶ τῶν ἄλλων μαθημάτων; ἃ καὶ Πλάτων φησίν, ὡσεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶν-
3 ται. —Ξ. Πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλοι τις ἥξειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, ἢ οὔ; —Π. Ἀνάγκη μὲν οὐδεμία (ἔφη)· χρήσιμα μέντοι ἐστί. Πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα.—Ξ. Οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι
4 πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας;—Π. Οὐδέν· Ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι· ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. Ὡς γὰρ δι' ἑρμηνέως συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέντοι γε οὐκ ἄχρηστον ἦν καὶ ἡμᾶς αὐτοὺς τὴν φωνὴν ἀκριβεστέραν ἔχειν, ἄν τι συνήκαμεν, οὕτω καὶ ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει γενέσθαι. —Ξ. Πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοί, πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων;
5 —Π. Πῶς μέλλουσι προέχειν, ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν ὥσπερ καὶ οἱ ἄλλοι, καὶ ἔτι κατερχόμενοι ὑπὸ πάσης κακίας; οὐδὲν γὰρ κωλύει, εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδότην, καὶ τὸ πέρας ἄφρονα.—Ξ. Ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν. —Π.
6 Πῶς οὖν οὗτοι προέχουσιν (ἔφη) εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τούτων τῶν μαθημάτων; —Ξ. Οὐδαμῶς φαίνεται ἐκ τούτου τοῦ λόγου. Ἀλλὰ τί ἐστιν (ἔφην ἐγὼ) τὸ αἴτιον, ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν, ὥσπερ ἐγγίζοντες πρὸς τὴν
7 ἀληθινὴν Παιδείαν; —Π. Καὶ τί τοῦτο ὠφελεῖ αὐτούς (ἔφη); ὅτε πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ πρώτου περιβόλου ἀπὸ τῆς Ἀκρασίας καὶ τῆς ἄλλης κακίας, εἰς τὸν τρίτον περι-

---

12. Κακὸς κακῶς) Κακὸς δηλ. ὤν, ἀπόλλυται κακῶς· ἐτέθησαν δὲ ἄμφω ἐφεξῆς κατὰ σχήματος χαριεντισμόν.

13. Ἡμῖν ἐστιν) Ἡ δοτικὴ περιποιητικὴ μέν ἐστιν, ἰδίωμα δὲ ἔχει Ἕλληνος λόγου περιττῶς δοκοῦσα κεῖσθαι.

ιγ'. 2. Πλάτων φ.) Ἐν τῷ Ζ', περὶ νόμ.

4. Ἄν τι συνήκ.) Καὶ ἐάν τι ταύτης τῆς φωνῆς συνήκαμεν διὰ τοῦ ἑρμηνέως.

—Οὐδὲν κωλ. γεν.) Βελτίους ἄνδρας δηλ.

5. Ἀμέλει πολ.) Δηλ. Πάντως ἐστὶν ἰδεῖν πολλοὺς μαθηματικοὺς τοιούτους ὄντας, μεθύσους δηλ. καὶ τλ.

6. Ἐκ τούτου τοῦ λ.) Ὃν ἐγὼ εἶπον ὑμῖν· ὅτι οὐ προέχουσιν ἠπατημένοι φαινόμενοι.

—Ὥσπερ ἐγγίζ.) Οἰόμενοι ὅτι εἰσὶν ἐγγὺς τῆς ἀληθ. παιδ.

βολον, πρὸς τὴν Παιδειαν τὴν ἀληθινήν, οἱ τούτους τοὺς μαθη-
ματικοὺς παραλλάττουσιν. Ὥστε, πῶς ἔτι προέχουσιν; ἄρα ἢ
ἀκινητότεροι, ἢ δυσμαθέστεροί εἰσι.—Ξ. Πῶς τοῦτ' (ἔφην ἐγώ.)— 8
Π. Ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ, εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε
ἐπίστασθαι ἃ οὐκ οἴδασιν. Ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν,
ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι πρὸς τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν
Παιδειαν. Εἶτα τὸ ἕτερον οὐχ ὁρᾷς, ὅτι καὶ αἱ Δόξαι ἐκ τοῦ 9
πρώτου περιβόλου εἰσπορεύονται πρὸς αὐτοὺς ὁμοίως; Ὥστε
οὐθὲν οὗτοι ἐκείνων βελτίους εἰσίν, ἐὰν μὴ καὶ τούτοις συνῇ Μεταμέ-
λεια, καὶ πεισθῶσιν, ὅτι οὐ Παιδειαν ἔχουσιν, ἀλλὰ Ψευδοπαι-
δειαν, δι' ἣν ἀπατῶνται. Οὕτω δὲ διακείμενοι, οὐκ ἄν ποτε
σωθεῖεν.

ιδ'. Καὶ ὑμεῖς τοίνυν, ὦ Ξένοι (ἔφη), ἐὰν μὴ οὕτω ποιῆτε, καὶ
ἐνδιατρίβητε τοῖς λεγομένοις, μέχρις ἂν ἕξιν λαβεῖν. Ἀλλὰ περὶ
τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ διαλείπειν· τὰ δὲ ἄλ-
λα πάρεργα ἡγήσασθαι. Εἰ δὲ μή, οὐδὲν ὄφελος ἔσται ὑμῖν ὧν
νῦν ἀκούετε.—Ξ. Ποιήσομεν. Τοῦτο δὲ ἐξήγησαι, πῶς οὐκ ἔστιν 2
ἀγαθά, ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς Τύχης; οἷον τὸ
ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν, τὸ νι-
κᾶν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια; ἢ πάλιν, τὰ ἐναν-
τία πῶς οὐκ ἔστι κακά; Πάνυγὰρ ἡμῖν παράδοξον καὶ ἄπιστον
δοκεῖ τὸ λεγόμενον.—Π. Ἄγε τοίνυν, πειρῶ (ἔφη) ἀποκρίνασθαι τὸ 3
φαινόμενον, περὶ ὧν ἄν σε ἐρωτῶ.—Ξ. Ἀλλὰ ποιήσω τοῦτο (ἔφην
ἐγώ). —Π. Πότερον οὖν, κἂν κακῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ τὸ ζῆν;
—Ξ. Οὔ μοι δοκεῖ, ἀλλὰ κακὸν (ἔφην ἐγώ).—Π. Πῶς οὖν ἀγαθόν
ἐστι τὸ ζῆν (ἔφη), εἴπερ τούτῳ ἐστὶ κακόν;—Ξ. Ὅτι τοῖς μὲν κα-
κῶς ζῶσι, κακὸν μοι δοκεῖ εἶναι· τοῖς δὲ καλῶς, ἀγαθόν.— Π. Καὶ
κακὸν ἄρα λέγεις τὸ ζῆν, καὶ ἀγαθὸν εἶναι;—Ξ. Ἔγωγε.—Π. Μὴ
οὖν ἀπιθάνως λέγε. Ἀδύνατον γάρ, τὸ αὐτὸ πρᾶγμα καὶ κακὸν 4
καὶ ἀγαθὸν εἶναι. Οὕτω γὰρ καὶ ὠφέλιμον καὶ βλαβερὸν ἂν εἴη,
καὶ αἱρετὸν καὶ φευκτὸν αμα ἀεί. —Ξ. Ἀπίθανον μέν· ἀλλὰ πῶς 5

---

7. Ἢ ἀκινητ.) Ἢ κατὰ τοῦτο προέχουσιν, ὅτι εἰσὶν ἀκινητ.

8. Πῶς, ἔφην, τοῦτ.) Ἐννοεῖται τὸ γίνεται.

ιδ'. Καὶ ἐνδιατρίβητε) Καὶ ἐὰν μὴ ἐνδιατρίβητε.

— Μέχρις ἂν ἕξιν λ.) Ἕως ἂν ἐν ἕξει γένησθε.

— Ἀλλὰ περὶ) Ὁ ἀλλὰ αἰτιολογικὸς δοκεῖ ἀντὶ τοῦ γάρ· οἷον· περὶ γὰρ τῶν αὐτ. καὶ τλ.

— Εἰ δὲ μὴ) Σκοπῆτε πολλάκις, ἀλλὰ διαλείπητε οὐδὲν καὶ τλ.

2. Ποιήσομ.) Τοῦτο δηλ. ὁ ἐρωτᾷς ἡμῖν σκοπήσομεν πολλάκις περὶ τῶν αὐτῶν, καὶ οὐ διαλείψομεν, ἕως ἂν ἕξιν λάβωμεν αὐτῶν.

3. Τὸ φαινόμ.) Τὸ δοκοῦν σοι δηλ.

5. Ἀπίθανον μὲν) Ὁ μὲν βεβαιωτικός.

— Ἀλλὰ πῶς) Ἐπειδὴ τὸ κακῶς ζῆν, ᾧ τινι ἂν ὑπάρχοι, οὐκ ἔστιν ἀγαθόν, ἀλλὰ κακόν ἐστιν αὐτῷ οὕτω κακῶς ζῶντι· διὰ τοῦτο καὶ αὐτὸ τὸ ζῆν κακόν ἐστιν; εἶτ' οὖν· ἐπειδὴ τῷ κακῶς ζῶντι κακόν τι ὑπάρχει, διὰ τοῦτο καὶ τὴν ζωὴν αὐτὴν κακόν τι εἶναι φήσομεν.

οὐκ, εἰ τὸ κακῶς ζῆν, ᾧ ἂν ὑπάρχοι, κακόν τι ὑπάρχει αὐτῷ, κακὸν αὐτὸ τὸ ζῆν ἐστιν; — Π. Ἀλλ' οὐ τὸ αὐτὸ (ἔφη) ὑπάρχει τὸ
6 ζῆν τῷ κακῶς ζῆν. Ἢ οὔ σοι φαίνεται; —Ξ. Ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὸ αὐτὸ εἶναι. —Π. Τὸ κακῶς τοίνυν ζῆν, κακόν ἐστι· τὸ δὲ ζῆν, οὐ κακὸν ἐστιν· ἐπεί, εἰ ἦν κακόν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν. —Ξ. Ἀ-
7 ληθῆ μοι δοκεῖς λέγειν. —Π. Ἐπεί τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν *εἶναι* τὸ ζῆν, οὔτε κακόν· ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν, ἐν τοῖς ἀῤῥωστοῦσίν ἐστι νοσερὸν καὶ ὑγιεινόν· [ἀλλὰ τὸ πῶς τέμνειν καὶ καίειν]· οὐκοῦν οὕτω καὶ ἐπὶ τοῦ ζῆν. —Ξ. Ἔστι
8 ταῦτα. —Π. Σὺ τοίνυν οὕτω θεώρησον. —Πότερον ἂν βούλοιο ζῆν κακῶς, ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως; —Ξ. Ἀποθανεῖν ἔγωγε καλῶς. —Π. Οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν, εἴπερ αἱρετώτε-
9 ρόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν. —Ξ. Ἔστι ταῦτα. —Π. Οὐκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν καὶ νοσεῖν. Πολλάκις γὰρ οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ᾖ περίστασις τοιαύτη. — Ξ. Ἀληθῆ λέγεις.

ιέ. Π. Ἄγε δή, σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως· εἴγε θεωρεῖν ἐστὶν (ὡς πολλάκις ἐστὶν ἰδεῖν) ὑπάρχοντά τινι πλοῦτον,
2 κακῶς δὲ ζῶντα τοῦτον καὶ ἀθλίως. —Ξ. Νὴ Δία, πολλούς γε. —Π. Οὐκοῦν οὐδὲν τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς; —Ξ. Φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν. —Π. Οὐκοῦν τὸ σπουδαίους εἶναι,
3 οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ Παιδεία. —Ξ. Εἰκός γε, ἐκ τούτου ἄρα τοῦ λόγου. —Π. Ποῦ δὲ ὁ πλοῦτος ἀγαθὸν ἐστιν, εἴπερ οὐ βοηθεῖ τοῖς ἔχουσιν αὐτόν, εἰς τὸ βελτίους εἶναι; —Ξ. Φαίνεται. —Π. Οὔ-
τως οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ ἐπίστωνται τῷ
4 πλούτῳ χρῆσθαι. —Ξ. Δοκεῖ μοι. —Π. Πῶς οὖν τοῦτο ἄν τις κρίνειεν ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν; —Ξ. Οὐδαμῶς. —Π. Οὐκοῦν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται· εἰ δὲ μή, κακῶς. —Ξ. Ἀληθέστατά μοι δοκεῖς
5 τοῦτο λέγειν. —Π. Καὶ τὸ σύνολον δὲ, τὸ τιμᾶν ταῦτα ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν ὡς κακά, τοῦτο δ' ἔστι τὸ ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον, ὅταν τιμῶνται τε, καὶ οἴωνται διὰ τούτων μόνων εἶναι τὸ εὐδαιμονεῖν· καὶ πάνθ' ἑπομένως πράττωσιν ἕνεκα τούτων,
6 καὶ τὰ ἀσεβέστατα δοκοῦντα εἶναι. Ταῦτα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν. Ἀγνοοῦσι γάρ, ὅτι οὐ γίνεται ἐκ κακῶν ἀγαθόν. Πλοῦτον δὲ ἐστι πολλοὺς κτησαμένους ἰδεῖν ἐκ κακῶν καὶ

ιέ. Κακῶς δὲ ζῶντα) Ἀπὸ κοινοῦ τὸ τον, ᾧ ὑπάρχει δηλ. πλοῦτος, κακῶς ζῶντα. Ἔστιν ἰδεῖν· ἴν' ᾖ, ἔστι δὲ ἰδεῖν τοῦ-

αἰσχρῶν ἔργων, οἷον λέγω ἐκ τοῦ προδιδόναι καὶ λῃΐζεσθαι, καὶ ἀνδροφονεῖν, καὶ συκοφαντεῖν, καὶ ἀποστερεῖν, καὶ ἐξ ἄλλων πολλῶν καὶ μοχθηρῶν. — Ξ. Ἔστι ταῦτα. — Π. Εἰ τοίνυν γίνεται 7
ἐκ κακοῦ ἀγαθὸν μηθέν, ὥσπερ εἰκός· πλοῦτος δὲ γίνεται ἐκ κακῶν ἔργων· ἀνάγκη μὴ εἶναι ἀγαθὸν τὸν πλοῦτον. — Ξ. Συμβαίνει 8
οὕτως ἐκ τούτου τοῦ λόγου. — Π. Ἀλλ' οὐδὲ τὸ φρονεῖν γε οὐδὲ δικαιοπραγεῖν οὐκ ἔστι κτήσασθαι ἐκ κακῶν ἔργων· ὡσαύτως δὲ οὐδὲ τὸ ἀδικεῖν καὶ ἀφρονεῖν, ἐκ καλῶν ἔργων· οὐδὲ ὑπάρχειν ἅμα τῷ αὐτῷ δύνανται. Πλοῦτον δέ, καὶ δόξαν, καὶ τὸ νικᾶν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια, οὐδὲν κωλύει ὑπάρχειν τινὶ ἅμα μετὰ κακίας πολλῆς. Ὥστε οὐκ ἂν εἴη ταῦτα ἀγαθὰ οὐδὲ κακά· ἀλλὰ τὸ φρονεῖν μόνον ἀγαθόν, τὸ δὲ ἀφρονεῖν κακόν. — Ξ. Ἱκα- 9
νῶς μοι θοκεῖς λέγειν (ἔφην).

ΘΕΟΦΡΑΣΤΟΥ
ΗΘΙΚΟΙ ΧΑΡΑΚΤΗΡΕΣ (*).

ά. Προοίμιον.

Ἡδη μὲν καὶ πρότερον πολλάκις ἐπιστήσας τὴν διάνοιαν, ἐθαύμασα, ἴσως δὲ οὐδὲ παύσομαι θαυμάζων· τί γάρ δήποτε, τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης, καὶ πάντων τῶν Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν ἡμῖν οὐ τὴν αὐτὴν τάξιν τῶν τρόπων ἔχειν. Ἐγὼ γάρ, ὦ Πολύκλεις, συνθεωρή- 2
σας ἐκ πολλοῦ χρόνου τὴν ἀνθρωπίνην φύσιν, καὶ βεβιωκὼς ἔτι ἐννενήκοντα ἐννέα, ἔτι δὲ ὡμιληκὼς πολλαῖς τε καὶ παντοδαπαῖς φύσεσι, καὶ παρατεθεαμένος ἐξ ἀκριβείας πολλῆς τούς τε ἀγαθοὺς τῶν ἀνθρώπων καὶ τοὺς φαύλους, ὑπέλαβον δεῖν συγγράψαι ἃ ἑκάτεροι αὐτῶν ἐπιτηδεύουσιν ἐν τῷ βίῳ. Ἐλθήσω 3

(*) Ἡ τῶν Θεοφράστου χαρακτήρων προσθήκη ἐν τῇ ἐκλογῇ ταύτῃ οὐκ ἀπεικότως ἐγένετο· λέξεις γὰρ πραγματικὰς οὐκ ὀλίγας περιέχουσι, καὶ ὁ συγγραφεὺς οὐκ εὐκαταφρόνητος, καὶ ὅτι ἡ ὡς ὑπόψιν παράστασις τοῦ ἤθους ἑκάστου εἴδους κακίας, αἰσχύνασθαι ποιοῦσα τοὺς ἔχοντας, εἰς ἀρετὴν μεταρρυθμίζει· οὗπερ ἡ περὶ ἤθους στοχάζεται διδασκαλία.

ά. Τί γὰρ δήποτε) Ὁ γὰρ ἐνταῦθα παρέλκει, σύνηθες δὲ τοῦτο ἐν ταῖς ἐρωτήσεσι.

— Τῶν τρόπων) Τῶν ἠθῶν· ἄλλος γὰρ πρὸς ἄλλα ῥέπει, καὶ ἄλλος πρὸς ἄλλα, ἤτοι ἀρετάς, ἢ κακίας.

2. Ὦ Πολύκλεις) Οὐκ ἀπίθανον δοκεῖ τοῦτον εἶναι τὸν Πολυκλέα τὸν Ἀντιπάτρου στρατηγόν. Θεόφραστος γὰρ φίλος ἦν Ἀντιπάτρου, μάλιστα δὲ Κασάνδρου τοῦ υἱοῦ αὐτοῦ· πρὸς ὃν καὶ τὸν περὶ βασιλείας ἀνήνεγκε λόγον.

— Πολλαῖς καὶ παντ.) Ἀντὶ πολλοῖς καὶ διαφόροις ἀνθρώποις διαφόρους τὰς φύσεις καὶ κλίσεις ἔχουσι, καὶ διαθέσεις.

— Ἑκάτεροι αὐτῶν) Οἱ ἀγαθοὶ δηλονότι καὶ οἱ φαῦλοι.

δὲ σοι κατὰ γένος ὅσα τε τυγχάνει γένη τρόπων τούτοις προσ-
4 κείμενα, καὶ ὃν τρόπον τῇ οἰκονομίᾳ χρῶνται. Ὑπολαμβάνω
γάρ, ὦ Πολύκλεις, τοὺς υἱεῖς ἡμῶν βελτίους ἔσεσθαι, κατα-
λειφθέντων αὐτοῖς ὑπομνημάτων τοιούτων, οἷς παραδείγμασι
χρώμενοι αἱρήσονται τοῖς εὐσχημονεστάτοις συνεῖναί τε καὶ ὁ-
5 μιλεῖν, ὅπως μὴ καταδεέστεροι ὦσιν αὐτῶν. Τρέψομαι δὲ ἤδη
ἐπὶ τὸν λόγον· σὸν δέ, παρακολουθῆσαί τε καὶ εἰδῆσαι, εἰ ὀρ-
6 θῶς λέγω. Πρῶτον μὲν οὖν ποιήσομαι τὸν λόγον ἀπὸ τῶν τὴν
εἰρωνείαν ἐζηλωκότων, ἀφεὶς τὸ προοιμιάζεσθαι, καὶ πολλὰ
7 περὶ τοῦ πράγματος λέγειν. Καὶ ἄρξομαι πρῶτον ἀπὸ τῆς εἰ-
ρωνείας, καὶ ὁριοῦμαι αὐτήν· εἶθ' οὕτως τὸν εἴρωνα διέξειμι,
ποῖός τις ἐστί, καὶ εἰς τίνα τρόπον κατενήνεκται· καὶ τἆλ-
λα δὴ τῶν παθημάτων, ὥσπερ ὑπεθέμην, πειράσομαι κατὰ
γένος φανερὰ καταστῆσαι.

β'. Κεφ. Α'. Περὶ Εἰρωνείας.

Ἡ μὲν οὖν εἰρωνεία δόξειεν ἂν εἶναι, ὡς τύπῳ λαβεῖν, προ-
2 σποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων. Ὁ δὲ εἴρων τοιοῦτός
τις, οἷος προσελθὼν τοῖς ἐχθροῖς, ἐθέλειν φιλεῖν οὐ μισεῖν· καὶ
ἐπαινεῖν παρόντας οἷς ἐπέθετο λάθρα, καὶ τούτοις συλλυπεῖ-
σθαι ἡττωμένοις· καὶ συγγνώμην δὲ ἔχειν τοῖς κακῶς αὐτὸν
λέγουσι· καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγομένοις, καὶ πρὸς τοὺς
ἀδικουμένους καὶ ἀγανακτοῦντας πρᾴως διαλέγεσθαι· καὶ τοῖς
ἐντυγχάνειν κατὰ σπουδὴν βουλομένοις προστάξαι ἐπανελθεῖν·
καὶ μηδέν, ὧν πράττει, ὁμολογῆσαι, ἀλλὰ φῆσαι βουλεύσε-
σθαι· καὶ προσποιήσασθαι ἄρτι παραγεγονέναι, καὶ ὀψὲ γε-
νέσθαι αὐτόν, καὶ μαλακισθῆναι· καὶ πρὸς τοὺς δανειζομέ-

---

3. Τούτοις προσκείμενα) Τοῖς ἀγαθοῖς δηλονότι καὶ φαύλοις.

— Τῇ οἰκονομίᾳ) Τῷ πράγματι· ἤγουν. Ὅπως μὲν εἴρων χρῆται τῇ εἰρωνείᾳ, ὁ δὲ κόλαξ τῇ κολακείᾳ καὶ τλ.

5. Εἰδῆσαι) Ἔστιν εἰδέω, εἰδῶ· ῥῆμα, μέλλων εἰδήσω· ἀόριστος εἴδησα, καὶ τὸ ἀπαρέμφατον εἰδῆσαι· σημαίνει δὲ ἐνταῦθα τὸ γινώσκω, ἢ κρίνω.

7. Καὶ ἄρξ.) Σημειούσθω ὅτι ὑπὸ τούτου τοῦ παραδείγματι προστίθησιν ὅσα ἐν τοῖς λοιποῖς ἐρεῖ· καὶ γὰρ κἂν ἐκείνοις τά τε πράγματα ὁριεῖται, καὶ τοὺς ὑπὸ τοῦ πάθους κατεχομένους, ὁποῖοί τινές εἰσι πειράσεται διεξιέναι καὶ φανεροὺς καταστῆσαι.

β'. Ὡς τύπῳ λαβ.) Τοιοῦτόν ἐστι τό, Ὡς τύπῳ λαβεῖν, οἷον καὶ τὸ Ὡς εἰπεῖν, ἔχον ἐννοούμενον ἔξωθεν τὸ Δός, ἢ τοιοῦτό τι· οἷον· ἵνα κατὰ περιγραφὴν καὶ παράδειγμα διαλάβω, ἢ περιλάβω τὸν τῆς εἰρωνείας ὁρισμόν· φησὶ γὰρ προσποίησιν εἶναι τὴν εἰρωνείαν ἐπὶ πράξεων καὶ λόγων, οὐκ ἐπὶ τὸ χρεῖττον, ὡς ἦν ἔθος Σωκράτει ποιεῖν προσδιαλεγόμενόν τινι, καὶ προσποιούμενον ἄγνοιαν, μέχρις ἂν σύννους τὸν ἀκούοντα ποιεῖν, μετέβαλλεν ἐπὶ τὸ χρεῖττον· ἀλλ' ἐπὶ τὸ χεῖρον.

2. Οἷος προσ.) Τὸ Οἷος ἀντὶ τοῦ ὥστε· τὸ γὰρ ἀναφορικὸν ἀνταποδοτικοῦ ἡγουμένου πρὸς ἀπαρέμφατον κατὰ τὸ ὥστε φέρεται· τὸ δὲ προσελθὼν ἐμιμήθη τὴν πτῶσιν τοῦ οἷος.

— Καὶ συγγν.) Τὸ ἀπαρέμφατον ἀπὸ τοῦ ἐθέλειν· τὸ δὲ συγγνώμην ἔ-

νους καὶ ἐρανίζοντας, ὡς οὐ πωλεῖ, καὶ μὴ πωλῶν, φήσει πωλεῖν· καὶ ἀκούσας τι, δόξει μὴ προσποιεῖσθαι· καὶ ἰδών, φήσει μὴ ἑωρακέναι· καὶ ὁμολογήσας, μὴ μεμνῆσθαι· καὶ τὰ μὲν ἐσκέφθαι φάσκειν, τὰ δὲ οὐκ εἰδέναι, τὰ δὲ θαυμάζειν, τὰ δὲ ἤδη ποτὲ καὶ αὐτὸς οὕτω διαλογίσασθαι. Καὶ τὸ ὅλον δει- 3
νὸς τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι· «Οὐ πιστεύω, Οὐχ
»ὑπολαμβάνω, Ἐκπλήττομαι». Καὶ λέγει ἑαυτὸν ἕτερον γε- 4
γονέναι· «καὶ μὴν οὐ ταῦτα πρὸς ἐμὲ διεξῄει· παράδοξόν μοι
»τὸ πρᾶγμα· ἄλλῳ τινὶ λέγε· ὅπως δέ σοι ἀπιστήσω, ἢ ἐκεί-
»νου καταγνῶ, ἀποροῦμαι». Ἀλλ' ὅρα μὴ σὺ θᾶττον πιστεύῃς 5
τοιαύτας φωνὰς καὶ πλοκάς, καὶ παλιλογίας, οὗ χεῖρόν ἐστιν εὑρεῖν οὐδέν. Τὰ δὴ τῶν ἠθῶν μὴ ἁπλᾶ, ἀλλ' ἐπίβουλα φυλάττεσθαι μᾶλλον δεῖ ἢ τοὺς ἔχεις.

γ'. Κεφ. Β'. Περὶ Κολακείας.

Τὴν δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, συμφέρουσαν δὲ τῷ κολακεύοντι. Τὸν δὲ κόλακα τοιοῦτόν τινα 2
ὥστε πορευόμενον ἅμα εἰπεῖν, «Ἐνθυμῇ ὡς ἀποβλέπουσι πρὸς
»σὲ οἱ ἄνθρωποι; τοῦτο οὐθενὶ τῶν ἐν τῇ πόλει γίνεται πλὴν
»σοί· εὐδοκίμεις χθὲς ἐν τῇ στοᾷ· πλειόνων γὰρ ἢ τριάκοντα
»ἀνθρώπων καθημένων, καὶ ἐμπεσόντος λόγου, τίς εἴη βέλτι-
»στος, ἀπ' αὐτοῦ ἀρξαμένους πάντας ἐπὶ τὸ ὄνομα αὐτοῦ κα-

χειν, περιφραστικὸν ἀντὶ τοῦ συγγινώσκειν. Σημείωσαι δέ, ὅτι τὰ ἐξῆς ἀπαρέμφατα ἀπὸ τοῦ ἐθέλειν ἐξαρτῶνται ἀπὸ κοινοῦ ἐννοουμένου ἐν πᾶσι.

— Ὡς οὐ πωλεῖ) Ἀνώρθωσε τὸν λόγον, ἀναλύσας τὸ ἀπαρέμφατον· καὶ ἐξῆς ἐπὶ τὸ ὀρθὸν ἐκτίθησι τὰ λεγόμενα· μέχρι τοῦ μεμνῆσθαι· εἶτα πάλιν ἐντείνας τὸν λόγον ἀπαρεμφάτοις χρῆται. Ὁ δὲ νοῦς. Ὁπότε τις ὠάνειον αἰτεῖ, ἢ ἔρανον, λέγει ὅτι οὐ δύναται δοῦναι, ἐπειδὴ οὐκ ἔρχονται ἀγορασταὶ εἰς τὸ ἐργαστήριον αὐτοῦ, ἵνα πωλῶν ἔχῃ δοῦναι· ὁπότε δὲ ἐν ἄλλῃ ἀνάγκῃ ἐστί, τότε φησὶν ὅτι προικόπτει ἐν τῇ ἐμπορίᾳ, τοῦ πράγματος πωλουμένου.

3. Καὶ τὸ ὅλον δ.) Ἔστι δηλ. Καὶ ἔστι τοῦτο· οἷον ἐπανάληψις τῆς περιγραφῆς τοῦ εἴρωνος καὶ ἀνακεφαλαίωσις· τὸ δὲ, Καὶ τὸ ὅλον εἰπεῖν, δὸς δὲ ἵνα εἴπω τὸ ὅλον· ὁ εἴρων ἐστὶ δεινὸς καὶ τλ.

4. Ἑαυτὸν ἕτερ.) Ὅτι ἀλλοῖος ἐγένετο, ὅτι οὐκ ἔστιν οἷος ἦν πρότερον.

5 Ἀλλ' ὅρα) Καὶ συμβουλεύειν δὲ προσποιεῖται ὁ εἴρων τρόπῳ χλευαστικωτέρῳ.

— Τὰ δὴ τῶν ἠθ.) Τὰ δὲ μὴ ἁπλᾶ τῶν ἠθῶν· ὁ δὴ ἀντὶ τοῦ δὲ κατὰ μετάβασιν ἀπὸ νοήματος εἰς νόημα.

— Τοὺς ἔχεις) Ὁ ἔχις, τοῦ ἔχεως· τὸ ἀρσενικὸν δηλοῖ τῆς ἐχιδνης, ἥτις ἔχις λέγεται, ἐπειδὴ μόνη τῶν ὄφεων οὐκ ὠοτοκεῖ, ἀλλὰ κατέχει τὰ τέκνα ἐν τῇ κοιλίᾳ μέχρι θανάτου· ταῦτα γὰρ καταφαγόντα αὐτῆς τὴν κοιλίαν, φασὶν, ἐξέρχονται.

γ'. Ὑπολάβοι ἄν τις) Ἀμφιβόλους ποιεῖται τὰς ὑπογραφὰς ἔνθα καὶ τὰ πράγματα τοιαῦτα· οὕτως οὖν διὰ τοῦ, ὀόξειαν ἂν ὡρίσατο τὴν εἰρωνείαν, διὰ δὲ τοῦ ὑπολάβοι ἄν τις τὴν κολακείαν.

2. Ἅμα) Τινί, ὃν δηλαδὴ κολακεύει.

— Ἐνθυμῇ) Ἐννοεῖς, βάλλεις ποτὲ κατὰ νοῦν.

— Ἐν τῇ στοᾷ) Τῇ ἐν Ἀθήναις, ἔνθα συνήρχοντο οἱ φιλόσοφοι, καὶ ἐφιλονείκουν· ἦσαν δὲ πολλαὶ στοαὶ ἐν Ἀθήναις, ἀξία δὲ λόγου ἦν ἡ καλουμένη ποικίλη τοῦ σωτῆρος Διός· ἧς τὰ τείχη ἦν πεποικιλμένα παρὰ τῶν ἐνδόξων ζωγράφων τῆς Ἑλλάδος· οἱ Ζήνωνι καὶ οἱ μαθηταὶ αὐτοῦ, Στωϊκοὶ καλούμενοι, συνήρχοντο.

— Ἀπ' αὐτοῦ) Ἐννοεῖται τὸ εἰπεῖν· ἵν'

3 »τενεχθῆναι»· καὶ ἄλλα τοιαῦτα λέγειν. Ἀπὸ τοῦ ἱματιου
ἀφελεῖν κροκίδα· καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ἀ-
πὸ πνεύματος προσενεχθῇ ἄχυρον, καρφολογῆσαι· καὶ ἐπιγε-
λάσας δὲ εἰπεῖν, «ὁρᾶς; ὅτι δυοῖν σοι ἡμερῶν οὐκ ἐντετύχη-
»κα, πολιῶν ἔσχηκας τὸν πώγωνα μεστόν· καὶ περ, εἴτις καὶ
4 »ἄλλος, ἔχεις πρὸς τὰ ἔτη μέλαιναν τὴν τρίχα». Καὶ λέγον-
τος δὲ αὐτοῦ τι, τοὺς ἄλλους σιωπᾷν κελεῦσαι· καὶ ἐπαινέ-
σαι δὲ ἀκούοντος, καὶ ἐπισημήνασθαι δέ, εἰ παύσεται, «Ὀρ-
θῶς»· καὶ σκώψαντι ψυχρῶς, ἐπιγελάσαι, τό, τε ἱμάτιον ὦ-
σαι εἰς τὸ στόμα, ὡς δὴ οὐ δυνάμενος κατασχεῖν τὸν γέλω-
τα· καὶ τοὺς ἀπαντῶντας ἐπιστῆναι κελεῦσαι, ἕως ἂν Αὐτὸς
5 παρέλθῃ. Καὶ τοῖς παιδίοις μῆλα καὶ ἀπίους πριάμενος, εἰ-
σενέγκας δοῦναι, ὁρῶντος αὐτοῦ· καὶ φιλήσας δὲ εἰπεῖν, «Χρη-
6 »στοῦ πατρὸς νεόττια». Καὶ συνωνούμενος δὲ κριπίδας, τὸν
πόδα φῆσαι εἶναι εὐρυθμότερον τοῦ ὑποδήματος. Καὶ πορευο-
μένου πρός τινα τῶν φίλων, προδραμὼν εἰπεῖν, ὅτι πρὸς σὲ
7 ἔρχεται· καὶ ἀναστρέψας, ὅτι προσήγγελκα. Ἀμέλει δὲ καὶ τὰ
8 ἐκ γυναικείας ἀγορᾶς διακονῆσαι δυνατὸς ἀπνευστί. Καὶ τῶν
ἑστιωμένων πρῶτος ἐπαινέσαι τὸν οἶνον· καὶ παραμένων εἰπεῖν,
«Ὡς μαλακῶς ἐσθίεις»· καὶ ἄρας τι τῶν ἀπὸ τῆς τραπέζης,
φῆσαι, «Τουτὶ ἄρα ὡς χρηστόν ἐστι»· καὶ ἐρωτῆσαί, μὴ ῥιγοῖ,
καὶ εἰ ἐπιβαλέσθαι βούλεται· καὶ ἔτι περιστεῖλαι αὐτόν. Καὶ
μὴν ταῦτα λέγων, πρὸς τὸ σῦς προσπίπτων, ψιθυρίζειν· καὶ
9 εἰς ἐκεῖνον ἀποβλέπων, τοῖς ἄλλοις λαλεῖν. Καὶ τοῦ παιδὸς ἐν

ᾖ, ὥστε εἰπεῖν, ὅτι ἀπ' αὐτοῦ ἤρξαντο πάντες, καὶ κατηνέχθησαν πάλιν ἐπὶ τὸ ὄνομα αὐτοῦ.

— Καὶ ἄλλα τοιαῦτα λέγειν) Τὸ ἀπαρέμφατον ἐξαρτᾶται ἀπὸ τοῦ Ὥστε ἀπὸ κοινοῦ ἐννοουμένου· καὶ τὸ ἀφελεῖν δὲ καὶ καρφολογῆσαι, καὶ τὸ ἑπόμενον εἰπεῖν ὁμοίως.

3. Ἀφελεῖν κροκίδα) Ἀπὸ τούτου εἰς παροιμίαν μετέπεσεν, ἐπὶ τῶν πάντα ποιούντων κολακείας ἕνεκα.

— Ἐπιγελάσας) Καὶ ἐν τοῖς ἑξῆς δὲ χρῆται ὀνομαστικῇ, δέον αἰτιατικῇ κατὰ τὸν τῶν ἀπαρεμφάτων λόγον· ὁ δὲ λόγος ἡ ταὐτοπροσωπία.

— Εἴ τις καὶ ἄλλος) Ὡς οὐδεὶς ἄλλος, ὅπερ οὐ συνέβη ἄλλῳ τινί.

— Πρὸς τὰ ἔτη) Ἠραβαλλομένην τὴν τρίχα κατὰ τὰ ἔτη.

4. Ὀρθῶς) Ἐννοεῖται, εἴρηται.

— Καὶ σκώψαντι) Καί, ἐάν τις σκώψηται ψυχρῶς ἐπιγελάσαι.

— Αὐτὸς) Ὁ κολακευόμενος ὁηλ. σημαίνει δὲ τό, Αὐτός, ὑπεροχήν τινα τοῦ ὑποκειμένου.

5. Νεόττια) Νεοττοὶ τὰ μικρὰ τῶν ὀρνίθων· κολακευτικὸν δὲ ἐπὶ τέκνων λεγόμενον καὶ μάλιστα ὑποκοριστικῶς, ἀντὶ νεοττούς.

6. Καὶ συνωνούμ.) Συνὼν δηλαδή, ὁπότε ὁ κολακευόμενος ὠνεῖται κριπίδας, καὶ ἑαυτὸν εἰς τὸ περὶ ὠνῆς συγκαταμιγνύων.

7. Ἀπνευστί) Ἐννοεῖται ἐνταῦθα τὸ ἐστίν· οἷον· δυνατός ἐστι· τὸ δὲ ἀπνευστί· τὴν μετὰ προθυμίας ταχύτητα· δηλοῖ δὲ τὸ ἀμέλει προσθετικόν· ἀντί, πρὸς τούτοις. Σημείωσαι δὲ ὅτι ἐν τοῖς ἑξῆς ἀπαρεμφάτοις ἐννοεῖται τὸ δυνατός ἐστιν.

8. Παραμένων) Πλησίον αὐτοῦ ἱστάμενος, ἢ παρακείμενος.

— Ὡς μαλακ.) Οὐ μετὰ ὀρέξεως· καθάπερ τις ἀσθενής.

— Ἐπιβαλέσθαι) Τί τῶν ἱματίων.

9. Τοῦ παιδὸς) Τοῦ ὑπηρέτου.

τῷ θεάτρῳ ἀφελόμενος τὰ προσκεφάλαια, αὐτὸς ὑποστρῶσαι. Καὶ τὴν οἰκίαν φῆσαι εὖ ἠρχιτεκτονῆσθαι, καὶ τὸν ἀγρὸν εὖ 10 πεφυτεῦσθαι, καὶ τὴν εἰκόνα ὁμοίαν εἶναι. Καὶ τὸ κεφάλαιον, 11 τὸν πόλαι ἐστὶ θεάσασθαι, πάντα καὶ λέγοντα καὶ πράττοντα, οἷς χαρίεσθαι ὑπολαμβάνει.

δ'. Κεφ. Γ'. Περὶ Ἀδολεσχίας.

Ἡ δὲ ἀδολεσχία ἔστι μὲν διήγησις λόγων μακρῶν καὶ ἀπροβουλεύτων. Ὁ δὲ ἀδολέσχης τοιοῦτός ἐστιν, οἷος, ὃν μὴ γινώσκει, 2 τούτῳ παρακαθεζόμενος πλησίον, πρῶτον μὲν τῆς ἑαυτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα ὁ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ τὰ καθέκαστα διεξελθεῖν. Εἶτα δὴ, προχωροῦντος τοῦ πράγματος, λέγειν ὡς πο- 3 λὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων· καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ· καὶ ὡς πολλοὶ ἐπιδημοῦσι ξένοι· καὶ τὴν θάλατταν ἐκ Διονυσίων πλώϊμον εἶναι· καὶ εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ, τὰ ἐν τῇ γῇ βέλτιω ἔσεσθαι· καὶ ὅτι ἀγρὸν εἰς νέωτα γεωργήσει· καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν· καὶ ὡς Δάμιππος μυστηρίοις μεγίστην ὰᾴδα ἔστησε· καὶ, « Πόσοι εἰσὶ κίονες τοῦ Ὠιδίου »; καὶ, « Χθὲς ἤμεσα »· καὶ, « Τίς ἐστιν ἡμέρα σήμερον »; κἂν ὑπομένῃ τὶς αὐτὸν, μὴ ἀφίστασθαι.

---

10. Ὁμοίαν εἶν.) Τῷ κολακευομένῳ. γὰρ ἀγομένων, ἤρχοντο πλεῖν ἐν χειμῶνι τῶν νεῶν ἐφορμουσῶν παρὰ τοῖς παλαιοῖς.

— Πλώϊμον εἶναι) Εἰς τὸ πλεῖσθαι ἐπιτηδεία.

— Εἰς νέωτα) Εἰς τὸν ἐλευσόμενον ἐνιαυτόν.

—Ἀᾴδα) Ἐν τοῖς μυστηρίοις, τοῖς ἐν νυκτὶ τελουμένοις ἱεροῖς ἄμιλλα ἦν, ὁποῖος ἂν μεγίστην λαμπάδα ἀγάγοι· μυστήρια δὲ ἐνταῦθα ἐννοεῖ τὰ τῆς Δήμητρος, τὰ ἐν Ἐλευσῖνι τελούμενα κατὰ τὴν δεκάτην πέμπτην Βοηδρομεῶνος, ἐν ἡμέραις ἐννέα, ὧν ἡ πέμπτη τῶν Δώδων ἐκαλεῖτο· ἄνδρες γὰρ καὶ γυναῖκες τότε περιήρχοντο φέροντες ᾀδάς, τὴν Δήμητρα μιμούμενοι, Περσεφόνης κατὰ ζήτησιν τὴν Αἴτναν ἅψασαν, ἣν Πλούτων ἥρπασεν.

— Ὠιδεῖον) Τόπος ἐν Ἀθήναις, ὥσπερ θέατρον, ὃ ἐπεποίητο, ὥς φασι, Περικλῆς, εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μουσικούς· ἀπὸ τῆς ᾠδῆς τὸ ὄνομα λαβών· ἔστι δ' ἐν αὐτῷ καὶ δικαστήριον, διεμετρεῖτο δὲ καὶ τὰ ἄλφιτα ἐκεῖ.

4 Καὶ ὡς Βοηδρομιῶνος μέν ἐστι τὰ μυστήρια, Πυανεψιῶνος δὲ Ἀπατούρια, Ποσειδεῶνος δὲ τὰ κατ' ἀγροὺς Διονύσια. Παρασείσαντα δὲ χρὴ τοὺς τοιούτους τῶν ἀνθρώπων καὶ διαράμενον ἀπαλλάττεσθαι, ὅστις ἀπύρετος βούλεται εἶναι· ἔργον γὰρ συναρκεῖσθαι τοῖς μήτε σχολὴν, μήτε σπουδὴν διαγινώσκουσιν.

ε. Κεφ. Δ'. Περὶ Ἀγροικίας.

Ἡ δὲ ἀγροικία δόξειεν ἂν εἶναι ἀμαθία ἀσχήμων. Ὁ δὲ ἄγροικος τοιοῦτός τις, οἷος κυκεῶνα πιὼν εἰς ἐκκλησίαν πορεύεσθαι. Καὶ τὸ μύρον φάσκειν οὐδὲν τοῦ θύμου ἥδιον ὄζειν. 2 Καὶ μείζω τοῦ ποδὸς τὰ ὑποδήματα φορεῖν. Καὶ μεγάλῃ τῇ 3 φωνῇ λαλεῖν. Καὶ τοῖς μὲν φίλοις καὶ οἰκείοις ἀπιστεῖν, πρὸς δὲ τοὺς αὐτοῦ οἰκέτας ἀνακοινοῦσθαι περὶ τῶν μεγίστων. Καὶ τοῖς παρ' αὐτῷ ἐργαζομένοις μισθωτοῖς ἐν ἀγρῷ πάντα τὰ ἀπὸ 4 τῆς ἐκκλησίας διηγεῖσθαι. Καὶ ἀναβεβλημένος ἄνω τοῦ γόνατος 5 καθιζάνειν, ὥστε τὰ γυμνὰ αὐτοῦ φαίνεσθαι. Καὶ ἐπ' ἄλλῳ μὲν μηδενὶ θαυμάζειν, μήτε ἐκπλήττεσθαι ἐν ταῖς ὁδοῖς· ὅτ' 6 ἂν δὲ ἴδῃ βοῦν, ἢ ὄνον, ἢ τράγον, ἑστηκὼς θεωρεῖν. Καὶ προαιρῶν δὲ ἐκ τοῦ ταμείου, δεινὸς φαγεῖν, καὶ ζωηρότερον πιεῖν· καὶ τὴν σιτοποιὸν πειρᾶν λαθεῖν· κἂτ' ἀλέσαι μετ' αὐτῆς τοῖς

---

4. Βοηδρομιῶνος) Λέγειν καὶ τὰ ἑξῆς· ὅτι Βοηδρομιῶνος τοῦ περὶ τὸν Αὔγουστον καὶ Σεπτέμβριον συμπίπτοντος ἄγεται τὰ μυστήρια, ἑορτὴ Ἀθήναις, πρὸς Δήμητραν, ὡς εἴρηται.

— Πυανεψ.) τοῦ περὶ Ὀκτώμβριον καὶ Νοέμβριον συμπίπτοντος ἄγεται τὰ Ἀπατούρια, ἑορτὴ δημοτελής, ἐπὶ τρεῖς ἡμέρας Ἀθήναις, πρὸς Δία· ὡρισμένη εἰς τὸ ἀπογράφεσθαι τὰ τέκνα ἑκάστης φυλῆς, ἐξ ἧς ἦσαν οἱ αὐτῶν γονεῖς· καλοῦνται δὲ τῶν ἡμερῶν ἡ μὲν πρώτη Δόρπια, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· ἡ δὲ δευτέρα, Ἀναῤῥύσις, ἐπειδὴ ἔθυον Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ· ἡ δὲ τρίτη Κουρεῶτις· τότε γὰρ κοῦροι καὶ κόραι εἰς τὰς φατρίας ἐγράφοντο.

—Ποσειδεῶν.) Τοῦ περὶ τὸν Δεκέμβριον καὶ Ἰανουάριον συμπίπτοντος ἤγοντο τὰ Διονύσια, ἑορτὴ παρ' Ἀθηναίοις πρὸς τιμὴν Διονύσου ἐν τοῖς ἀγροῖς ἀγομένη.

— Παρασείσ.) Τοὺς δὲ τοιούτους τῶν ἀνθρώτων δεῖ φεύγειν ἐκτεινάξαντα τὰς χεῖρας καὶ ὑψώσαντα ἀναχωρεῖν, ἐάν τις θέλῃ πυρετῷ μὴ ἐνοχλεῖσθαι· ὅθεν καὶ ἡμεῖς λέγομεν ἐν τοῖς παραξένοις· πυρετός με κατέλαβεν ἰδόντα τὸν δεῖνα.

— Ἔργον γὰρ) Δυσχερὲς γάρ ἐστι τὸ συναναστρέφεσθαι ἐκείνοις, ὅσοι καὶ σχολὴν καὶ σπουδὴν ἀγνοοῦσι.

ε. Ἀμαθία ἀσχ.) Ἐπονείδιστος καὶ ἀνθρώπῳ ἀσχημοσύνης παρεκτικὴ ἀμαθία ἡ ἀγροικία· τὸ δὲ ἀμαθία τῷ ι· διὰ τὸν τῶν παροξυτόνων λόγον· ὥσπερ καὶ τὸ ἀμάθεια τῇ ει διὰ τὸν τῶν προπαροξυτόνων.

— Κυκεῶνα πιὼν) Ἰατρικὸν δέ ἐστιν ὁ κυκεὼν ἐκ διαφόρων χόρτων· ἢ ἐκ μέλιτος καὶ οἴνου μεμιγμένον, θύμον πολὺν ἔχον πίνουσι δὲ ὡς ἐπὶ τὸ πολὺ οἱ ὀπώρα φαγόντες ὑπὲρ τοῦ πῆξαι τὴν τροφὴν καὶ μὴ ναυτιᾶν.

— Ἥδιον ὄζειν) Διὰ τὸ ὅλον θύμον ὄζειν πιόντα κυκεῶνα.

4. Ἀναβεβλημ) Ἤτοι γυμνωθεὶς ὑπὲρ τὸ γόνυ.

— Τὰ γυμνὰ) Τὰ μέλη ἃ οὐκ ἐξῆν φαίνεσθαι.

6. Προαιρῶν) Προφέρων· φέρων ἐν τῷ φανερῷ τι ἐκ τοῦ ταμείου.

— Δεινὸς φαγ.) Αὐθαδῶς καὶ ἀκόσμως τρώγειν καὶ πίνειν ἄκρατον· καὶ πειρᾶσθαι τὴν σιτοποιὸν λαθεῖν.

— Κἂτ' ἀλ.) Ἔπειτα βοηθήσας αὐτῇ εἰς τὸ ἀλέσαι τὸν σίτον, διανέμει σὺν αὐτῇ πᾶσι τοῖς ἔνδ.

ἔνδον πᾶσι καὶ αὐτῷ τὰ ἐπιτήδεια. Καὶ ἀριστῶν δὲ ἅμα 7
τοῖς ὑποζυγίοις ἐμβαλεῖν τὸν χόρτον. Καὶ κόψαντος τὴν θύραν
ὑπακοῦσαι αὐτός· καὶ τὸν κύνα προσκαλεσάμενος, καὶ ἐπιλα-
βόμενος τοῦ ῥύγχους, εἰπεῖν, «Οὗτος φυλάττει τὸ χωρίον, καὶ
τὴν οἰκίαν, καὶ τοὺς ἔνδον.» Καὶ τὸ ἀργύριον δὲ παρά του 8
λαβὼν, ἀποδοκιμάζειν, λίαν μὲν λυπρὸν εἶναι, καὶ ἕτερον ἅμα
ἀλλάττεσθαι. Καὶ ὁ ἄροτρον ἔχρησεν, ἢ κόφινον, ἢ δρέπανον, 9
ἢ θύλακον, ταῦτα τῆς νυκτὸς κατὰ ἀγρυπνίαν ἀναμιμνησκό-
μενος. Καὶ εἰς ἄστυ καταβαίνων, ἐρωτῆσαι τὸν ἀπαντῶντα 10
πόσου ἦσαν αἱ διφθέραι καὶ τὸ τάριχος· καὶ, εἰ σήμερον ὁ ἀ-
γὼν νουμηνίαν ἄγει· καὶ εἰπεῖν εὐθὺς ὅτι βούλεται καταβὰς ἀ-
ποκείρασθαι. Καὶ ἐν βαλανείῳ δὲ ᾆσαι· καὶ εἰς τὰ ὑποδήμα- 11
τα δὲ ἥλους ἐγκροῦσαι· καὶ τῆς αὐτῆς ὁδοῦ παριὼν κομίσασθαι
παρ᾽ Ἀρχίου τοὺς ταρίχους.

ς΄. Κεφ. Ε΄. Περὶ Ἀρεσκείας.

Ἡ δὲ ἀρέσκεια ἔστι μέν, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις οὐκ ἐ-
πὶ τῷ βελτίστῳ ἡδονῆς παρασκευαστική. Ὁ δὲ ἄρεσκος ἀμέλει 2
τοιοῦτός τις, οἷος πόρρωθεν προσαγορεύσας, καὶ ἄνδρα κράτι-
στον εἰπών, καὶ θαυμάσας ἱκανῶς, ἀμφοτέραις ταῖς χερσὶ μὴ
ἀφιέναι· καὶ μικρὸν προπέμψας, καὶ ἐρωτήσας πότε αὐτὸν ὄ-
ψεται, ἔτι ἐπαινῶν ἀπαλλάττεσθαι. Καὶ παρακληθεὶς δὲ πρὸς 3
δίαιταν, μὴ μόνον, ᾧ πάρεστι, βούλεσθαι ἀρέσκειν, ἀλλὰ καὶ
τῷ ἀντιδίκῳ, ἵνα κοινὸς εἶναι δοκῇ· καὶ τοὺς ξένους δὲ εἰπεῖν,
ὡς δικαιότερα λέγουσι τῶν πολιτῶν. Καὶ κεκλημένος δὲ ἐπὶ 4
δεῖπνον, κελεῦσαι καλέσαι τὰ παιδία τὸν ἐσθιῶντα· καὶ εἰσιόν-
τα, φῆσαι σύκου ὁμοιότερα εἶναι τῷ πατρί· καὶ προσαγαγό-

---

8. Παρά του) Ἀντὶ παρά τινος· τὸ ἄρθρον ἀντὶ ἀορίστου.

—Λίαν μὲν λυπ.) Ἐννοεῖται τό, λέγων.

9. Ἀναμιμν.) Ἐπειδὴ ἀπαιτεῖ τι ῥῆμα ἡ μετοχή, ἐννοητέον τὸ ἀπαιτεῖν· ἢ γοῦν προσθετέον· οὕτω γὰρ δηλωθήσεται τὸ ἀγροῖκον τοῦ ἀνδρός.

10. Διφθέρ.) Ἡ μὲν διφθέρα ἱμάτιον, τὸ δὲ τάριχος βρῶμα ἀγροίκων.

— Καὶ εἰ σήμ.) Ἀντὶ τοῦ, Ἐὰν σήμερον τὸ πλῆθος ἄγει νουμηνίαν· ἀγὼν γὰρ κατὰ τὸν Βαρῖνον σημαίνει καὶ ὅμιλον, καὶ ἀγοράν, καὶ ἄθροισμα· ὅθεν κἀνταῦθα δοκεῖ τὸν ὅμιλον δηλοῦν.

— Καταβ.) Εἰς τὴν πόλιν δηλαδὴ κείρασθαι διὰ τὴν νουμηνίαν.

11. Καὶ τῆς αὐτῆς ὁδ.) Καὶ διαξαίνων ἀγοράσαι παρά τινος πωλοῦντος φέρειν τοῦ Ἀρχίου τοὺς ταρίχους, καὶ φέρειν αὐτοὺς διὰ τῆς αὐτῆς ὁδοῦ.

ς΄. Ὡς ὅρῳ περιλαβ.) Δὸς ἵνα περιλάβω αὐτὴν ἐν ὁρισμῷ.

— Οὐκ ἐπὶ τῷ βελτίστ.) Τὸ παρ᾽ ἡμῖν, οὐχὶ πρὸς καλόν· ὅπερ ἐστὶν· οὗ τινος ὠφελείας καὶ ἀγαθοῦ ἕνεκα.

2. Ἀμφοτέρ. ταῖς χερ. μὴ ἀφ.) Ἤτοι κατέχει ἀμφοτέραις ταῖς χερσί.

3. Καὶ τοὺς ξένους δὲ) Καὶ εἰπεῖν πρὸς τοὺς ξένους· τὸ εἰπεῖν ἤτοι δοτικὴν, ἢ προθετόπτωτον αἰτιατικὴν ἀπαιτεῖ· ἢ γοῦν οὕτω· καὶ εἰπεῖν ὅτι οἱ ξένοι δικαιότ. καὶ τλ. ὥστε κατ᾽ αἰτιατικὴν μὲν ἐξήνεγκε τὸ ξένους· εἶτα ὥσπερ ἐπιλαθόμενος, τῇ ἀναλύσει ἀνώρθωσε τὸ σχῆμα.

4. Σύκου ὁμοιότ.) Παροιμία ἐπὶ τῶν

μενος, φιλῆσαι, καὶ παρ' αὐτὸν καθίσαι· καὶ τοῖς μὲν συμπαίζειν αὐτός, λέγων, «Ἀσκός, Πέλεκυς·» τὰ δὲ ἐπὶ τῆς γα-
5 στρὸς ἐᾶν καθεύδειν, ἅμα θλιβόμενος. Καὶ πλειστάκις δὲ ἀποκείρασθαι, καὶ τοὺς ὀδόντας λευκοὺς ἔχειν· καὶ τὰ ἱμάτια δὲ
6 χρηστὰ μεταβάλλεσθαι· καὶ χρίσμασι ἀλείφεσθαι. Καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προσφοιτᾶν· τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν, οὗ ἂν ἔφηβοι γυμνάζωνται· τοῦ δὲ θεάτρου καθῆσθαι, ὅτ' ἂν ᾖ θέα, πλησίον τῶν στρατηγῶν.
7 Καὶ ἀγοράζειν αὐτῷ μὲν μηδέν, ξένοις δὲ εἰς Βυζάντιον ἐπιστάλματα· καὶ Λακωνικὰς κύνας, εἰς Κύζικον· καὶ μέλι Ὑμήττιον, εἰς Ῥόδον· καὶ ταῦτα ποιῶν, τοῖς ἐν τῇ πόλει δοκεῖσθαι.
8 Ἀμέλει δὲ καὶ πίθηκον θρέψαι δεινός, καὶ τίτυρον κτήσασθαι, καὶ Σικελικὰς περιστεράς, καὶ δορκαδείους ἀστραγάλους, καὶ Θυριακὰς τῶν στρογγύλων λιθύθους, καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος, καὶ αὐλαίαν ἔχουσαν Πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαιστρικὸν κόνιν ἔχον, καὶ σφαιρι-

---

πάντῃ παρεοικότων κατ' ὄψιν· ἐλήφθη δὲ ἔκ τινων στίχων ποιητῶν κωμικῶν ὡς Κικέρων πρὸς Ἀττικ. Δ'. 8.

Ξύλῳ, μὰ τὴν Δήμητρα, σύκον οὐδὲ ὂν
Οὕτως ὅμοιον γέγονεν.

—Ἀσκὸς, Πέλ.) Παιδαριώδη παίγνια γινώσκειν ἱκανὸς φαίνεται ὁ ἄρεσκος, καὶ φλυαρίας παισὶν ἀρεσκούσας· ὅθεν ποτὲ μὲν ἀσκόν, ἢ πέλεκυν καλεῖ τὸν παῖδα, ποτὲ δὲ καὶ ἐπὶ τῆς γαστρὸς αὐτοῦ τίθησιν, ἵν' ἐπ' αὐτῆς καθεύδῃ· ἅμα δὲ θλιβόμενος ταῖς χερσὶ καὶ λέγων κοιμήθητι.

5. Καὶ πλειστάκις) Τὰ ἑξῆς φασὶ μὴ ἀνήκειν ἀρέσκῳ, ἀλλὰ φιλοκάλου εἶναι· ἀλλ' ὁ ἄρεσκος, ἵνα ἀρέσει οὐ μόνον τοὺς ἄλλους, ἀλλὰ καὶ ἑαυτὸν περιποιεῖται· ὅθεν ὀρθῶς εἰς αὐτὸν καὶ τὰ ἑξῆς ἀνάγεται.

6. Πρὸς τὰς τραπ.) Ἔνθα συνήγοντο, ὅσοι τι ποιεῖν εἶχον, καὶ οἱ φιλόσοφοι, ὅσοι τῆς εὐγλωττίας αὐτῶν ἐπίδειξιν ποιεῖσθαι ἤθελον. Πλάτ. Ἱππίας· καὶ Ἀπολ.

7. Καὶ ἀγορ.) Πάντα γὰρ ποιεῖ εἰς ἐπίδειξιν, ἵνα ἀρέσῃ· καὶ ἵνα δόξῃ, ὡς παντα χόθεν αὐτῷ φίλοι.

— Ἐπιστάλματα) Ἅ τινα ἐπιστελεῖ δῶρα εἰς Βυζάντιον· ὃ δὴ καὶ ἐν τῷ εἰς Κύζικον, καὶ Ῥόδον ἀπὸ κοινοῦ ὑπακούεται· ἀγοράζει γὰρ κύνας μὲν Λακωνικάς, ἵν' εἰς Κύζικον δῶρον πέμψῃ· μέλι δὲ Ὑμήττιον, ἵν' εἰς Ῥόδον.

8. Τίτυρον) Ὁ μὲν Εὐστάθιος ἐν Ἰλ. Σ. φησίν· παρὰ γοῦν Ἀλεξανδρεῦσιν ἦν μόναυλος κάλαμος, Ὁσίριδος φασὶν εὕρημα, καλούμενος τίτυρος τοῖς ἐν Ἰταλίᾳ Δωριεῦσι, εἶτ' οὖν Σατυρικός. Τίτυροι γὰρ Δωρικῶς οἱ σάτυροι· ὁ δὲ σχολιαστὴς Θεοκρίτου Εἰδύλλ. Γ'. τοὺς ἀργοὺς τιτύρους λέγουσι, νῦν δὲ ὄνομα αἰπόλου κατ' ἐμφέρειαν τοῦ χαρακτῆρος. . . Τίτυρος δὲ ὁ πίθηκος ὁ μικρὰν ἔχων οὐράν· καὶ Εἰδύλλ. Ζ'. Τίμυρος ὄνομα κύριον αἰπόλου. Τινὲς δὲ παρὰ Δωριεῦσι τοὺς σατύρους ἀποδεδώκασι λέγεσθαι.

— Θυριακὰς) Ἀπὸ τοῦ τόπου ἐν ᾧ λίθοι διαφέρουσαι τῶν ἄλλων ἐγίγνοντο.

— Βακτηρίας σκολ.) Ἃς ἔθος τοῖς Λακεδαιμονίοις φέρειν· ὧν κατὰ μίμησιν καὶ εὐήθεις τινὲς, καὶ μάλιστα τῶν νέων, ἐν Ἀθήναις ἔφερον, καὶ πάντα κατὰ Λάκωνας ἐφόρουν ὡς Δημοσθ. κατὰ Κόνωνος λέγει.

— Αὐλαίαν) Φησὶ Βαρῖνος, τὸ τῆς σκηνῆς παραπέτασμα· καὶ τόνδε δή τὸν τρόπον καὶ πᾶν παραπέτασμα θυρῶν, ἢ θυρίδων· τινὲς δὲ καὶ τοὺς τάπιδας λέγουσιν· ἐξ ἐλείνου μάλιστα τὴν ἀρχὴν λαβόντες, ἐξ οὗ παρ' Ἀθηναίῳ. ΙΑ'. ξ'. εὑρίσκεται.

Ἀλλ' ἢ δαπίδιον ὂν ἀγαπητὸν ποικίλον
Πέρσας ἔχον.

— Αὐλήδιον παλ.) Τὸ δὲ τοιοῦτον οὐδὲν ἄλλο μοι δοκεῖ δηλοῦν, ἢ ὅτι καὶ αὐλήν τινα μικρὰν ἔχει ψάμμῳ ἐστρωμμένην ἐπιτηδείαν εἰς τὸ παλαίειν· καὶ τοπον ἄλλον ἔνθα παίζειν ἔνεστι σφαιρίζοντας.

στήριον· καὶ τοῦτο περιϊὼν χρῆν ἀεὶ τοῖς φιλοσόφοις, τοῖς σοφισταῖς, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς, ἐπιδείκνυσθαι. Καὶ 9
αὐτὸς ἐν ταῖς ἐπιδείξεσιν ὕστερον εἰπεῖν, ἐπὶ τῶν θεωμένων, πρὸς ἕτερον, ὅτι τούτου ἐστὶν ἡ παλαίστρα.

ζ'. Κεφ. ς'. Περὶ Ἀπονοίας.

Ἡ δὲ ἀπόνοια ἔστιν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ λόγων. Ὁ δὲ
ἀπονενοημένος τοιοῦτός τις, οἷος ὀμόσαι ταχὺ, κακῶς ἀκοῦσαι,
καὶ λοιδορηθῆναι δυνάμενος· τῷ ἤθει ἀγοραῖός τις, καὶ ἀνασε-
συρμένος, καὶ παντοπωλικός. Ἀμέλει δυνατὸς καὶ ὀρχεῖσθαι νή- 2
φων τὸν κόρδακα, καὶ προσωπεῖον μὴ ἔχων ἐν κωμικῷ χορῷ·
καὶ ἐν θαύμασι δὲ τοὺς χαλκοὺς ἐκλέγειν καθ' ἕκαστον παρι-
ὼν, καὶ μάχεσθαι τοῖς τὸ σύμβολον φέρουσι, καὶ προῖκα
θεωρεῖν ἀξιοῦσι. Δεινὸς δὲ καὶ πανδοκεῦσαι, καὶ πορνοβοσκῆ- 3
σαι, καὶ τελωνῆσαι, καὶ μηδεμίαν αἰσχρὰν ἐργασίαν ἀποδο-
κιμάσαι· ἀλλὰ κηρύττειν, μαγειρεύειν, κυβεύειν, τὴν μητέρα
μὴ τρέφειν, ἀπάγεσθαι κλοπῆς, τὸ δεσμωτήριον πλείω χρόνον
οἰκεῖν ἢ τὴν αὐτοῦ οἰκίαν. Καὶ τοῦτο δ' ἂν εἶναι δόξειε τῶν 4
περιϊσταμένων τοὺς ὄχλους, καὶ προσκαλούντων, μεγάλῃ τῇ
φωνῇ καὶ παρερρωγυίᾳ διαλεγομένων πρὸς αὐτοὺς καὶ λοιδορου-
μένων· καὶ μεταξὺ οἱ μὲν προσίασιν, οἱ δὲ ἀπίασι πρὶν ἀκοῦ-
σαι αὐτοῦ· ἀλλὰ τοῖς μὲν τὴν ἀρχὴν, τοῖς δὲ συλλαβὴν, τοῖς
δὲ μέρος τοῦ πράγματος λέγει, οὐκ ἄλλως θεωρεῖσθαι ἀξιῶν
τὴν ἀπόνοιαν αὐτοῦ, ἢ ὅτ' ἂν ᾖ πανήγυρις. Ἱκανὸς δὲ καὶ δί- 5
κας, τὰς μὲν φεύγειν, τὰς δὲ διώκειν, τὰς δὲ ἐξόμνυσθαι,
ταῖς δὲ παρεῖναι, ἔχων ἐκεῖνον ἐν τῷ προκολπίῳ, καὶ ὁρμα-

— Ἐπιδείκνυσθ.) Ἵν' ἔλθωσι δηλαδὴ ἐν τῇ ἑαυτοῦ παλαίστρᾳ ἐπιδειξόμενοι ἕκαστος τὸ ἴδιον.

9. Καὶ αὐτὸς ἐν ταῖς ἐπιδ.) Ὁ νοῦς· Καὶ αὐτὸς ἐν ταῖς ἐπιδείξεσι τελευταῖον εἰπεῖν πρός τινα ἄλλον ἐπὶ παρουσίᾳ τῶν θεωμένων, ὅτι ἡ παλαίστρα αὕτη ἐστὶ τούτου, δεικνύων ἑαυτόν.

ζ'. Ὑπομον.) Τοῦτο δηλαδή ἐστιν ἀπόνοια τὸ φέρειν πᾶσαν ὕβριν καὶ πρᾶξιν αἰσχρὰν ἀπαθῶς καὶ ἀτρέπτως.

— Ὁ δὲ ἀπονενοημ.) Μὴ ἔχων ὄνομα δοῦναι πρὸς τὸν τὴν ἀπόνοιαν ἔχοντα, τῇ μετοχῇ ἐχρήσατο· ἐξ οὗ μαθέτωσαν οἱ ἀυθαδῶς ὀνοματοποιεῖν ἐπιχειροῦντες.

2. Κόρδακα) Ὁ Ἀριστοφάνους ἐν Νεφελ. στίχ. 540 Σχολιαστής φησι· τρία εἴδη ὀρχήσεως. Ἐμμέλεια τραγική, Σίκιννις, σατυρικὴ Κόρδαξ, κωμικὴ, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀπῦγα.

— Ἐν θαύμασιν) Ξενοφ. Συμπόσ. κεφ. Β'. «Ὡς δὲ ἀφηρέθησαν αἱ τράπε»ζαι, καὶ ἐσπείσαντο καὶ ἐπαιάνισαν, »ἔρχεταί τις αὐτοῖς ἐπὶ κῶμον Συρα»κούσιος ἄνθρωπος, ἔχων τε αὐλητρίδα »ἀγαθὴν καὶ ὀρχιστρίδα τῶν τὰ θαύμα»τα δυναμένων ποιεῖν, καὶ παῖδα πά»νυ γε ὡραῖον καὶ πάνυ καλῶς κιθαρί»ζοντά τε καὶ ὀρχούμενον· ταῦτα δὲ καὶ »ἐπιδεικνὺς ὡς ἐν θαύματι ἀργύριον ἐ»λάμβανεν. Ἐκ τούτου οὖν φανερόν τί πο»τε ἐνταῦθα δηλοῖ τὸ θαῦμα.»

3. Ἀπάγεσθαι κτλ.) Ὡς κλέπτης εἰς δεσμωτήριον ἄγεσθαι.

4. Καὶ τοῦτο) Δοκεῖ τὸ εἶδος τῶν ἀνθρώπων εἶναι τῶν περιϊστ. κλ.

— Καὶ μεταξὺ) Περιεργείας δηλαδὴ χάριν ἐν τῷ μεταξὺ οἱ μὲν κτλ.

5. Τὰς μὲν φεύγ. . . τὰς δὲ διώκ.) Δίκας μὲν φεύγειν ἐστὶ τὸ κατηγορεῖ-

θοὺς γραμματιδίων ἐν ταῖς χερσίν· οὐκ ἀποδοκιμάζων δέ, οὐδ' ἅμα πολλῶν ἀγοραίων στρατηγεῖν, καὶ εὐθὺς τούτοις δανείζειν, καὶ τῆς δραχμῆς τόκον τρία ἡμιωβόλια τῆς ἡμέρας πράττεσθαι· καὶ ἐφοδεύειν τὰ μαγειρεῖα, τὰ ἰχθυοπωλεῖα, τὰ ταριχοπωλεῖα καὶ τοὺς τόκους ἀπὸ τοῦ ἐμπολήματος εἰς τὴν γνά-
6 θον ἐκλέγειν. Ἐργώδεις δ' εἰσὶ τὸ στόμα εὔλυτον ἔχοντες πρὸς λοιδορίαν, καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν καὶ τὰ ἐργαστήρια.

ή. Κεφ. Ζ'. Περὶ Λαλιᾶς.

Ἡ δὲ λαλιά, εἴτις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν δόξειεν
2 ἀκρασία τοῦ λόγου. Ὁ δὲ λάλος τοιοῦτός τις, οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοιοῦν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει, καὶ ὅτι αὐτὸς πάντα οἶδε, καί, ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται· καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ὑποβάλλειν, «εἶπας σὺ, μὴ ἐπιλάθῃ ὃ μέλλεις λέγειν·» καὶ «εὖγε ὅτι μὲ ὑπέμνησας·» καί, «τὸ λαλεῖν ὡς χρήσιμόν που·» καί, «ὁ παρέλιπον·» καί, ταχύ γε συνῆκας πρᾶγμα·» καί, «πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ·» καὶ ἑτέρας ἀφορμὰς τοιαύτας πορίσασθαι, ὥστε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχά-
3 νοντα. Καὶ ὅτ' ἄν γε τοὺς καθ' ἕνα ἀποκναίσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους καὶ συνεστηκότας πορευθῆναι, καὶ φυγεῖν ποιῆ-
4 σαι μεταξὺ χρηματίζοντας. Καὶ εἰς τὰ διδασκαλεῖα δὲ καὶ εἰς τὰς παλαίστρας εἰσιὼν, κωλύειν τοὺς παῖδας προσμανθάνειν τοσαῦτα, καὶ προσλαλεῖν τοῖς παιδοτρίβαις καὶ διδασκά-
5 λοις. Καὶ τοὺς ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι, καὶ ἀποκαταστῆσαι εἰς τὴν οἰκίαν. Καὶ πυθόμενος τὰς ἐκκλησίας
6 ἀπαγγέλλειν. Προσδιηγήσασθαι δὲ καὶ τὴν ἐπὶ Ἀριστοφῶντος

σθαι, διώκειν δὲ, τὸ κατηγορεῖν· ὥσπερ καὶ ἀποφεύγειν τὸ νικᾶν καὶ λύεσθαι τῆς κατηγορίας.

— Ἐχῖνος) Σκεῦός τι χαλκοῦν τῆς δικαστικῆς τραπέζης, ἐν ᾧ τὰ γράμματα ἐπετίθεσαν· ὅρα καὶ Βαρῖνον.

— Πολλῶν ἀγ.) Ἀγοραῖος ἀνὴρ ἢ ὄχλος ἐπὶ σκώματος λέγεται· φησὶν Εὐστάθ. Ἰλιάδ. Β. 143.

— Ἡμιωβόλια) Σημειούσθω ὅτι χαλκεῖα ὀκτὼ ἕνα ἐποίουν ὀβολόν· ὀβολοὶ ἓξ, μίαν δραχμήν· δραχμαὶ δὲ ἑκατὸν, μίαν μνᾶν, μναῖ δὲ ἑξήκοντα, ἓν τάλαντον· ἐκ τούτων οὖν τὸ ἡμιωβόλιον τεσσάρων ἐτιμᾶτο χαλκίων· ἔστι δὲ τὰ τρία ἡμιωβόλια ἴσα ἑνὶ ὀβολῷ καὶ ἡμίσει· καὶ οὕτως ὁ τῆς ἀπονοίας ἄνθρωπος ἀπήτει τὸ τέταρτον τοῦ κεφαλαίου εἰς τόκον ἑκάστης ἡμέρας.

— Ἐφοδεύειν) Εἰ τ' οὖν περιοδεύει καὶ περιέρχεσθαι.

6. Ἐργώδεις) Ἄφρητοι ἐν ταῖς συνουσίαις.

ή. 2. Εἶπας σὺ, μὴ ἐπιλ.) Τοῦτο παρ' ἡμῖν λέγεται. Ἐνθυμοῦ τὸν λόγον σου· ἢ σοὶ κόπτω τὸν λόγον, μὴ ἀλησμονήσῃς.

— Εἰ . . . κατενεχθ.) Τὸ παρ' ἡμῖν. Ἐὰν συμφωνῶσιν αἱ ἰδέαι ἡμῶν· ἐὰν ἐννοῇς τὸ αὐτὸ, ὅπερ καὶ ἐγὼ ἐνεόουν.

4. προσμανθ. τοσαῦτ.) Λέγων δηλαδ. τί σοι χρήσιμον μανθάνειν ἀκεῖνο, καὶ ἐκεῖνο· τοσαῦτα πράγματα.

5. Καὶ πυθόμεν.) Καὶ ἐρωτῶν δὲ καὶ μανθάνων τὰ ἐν ταῖς συνελεύσεσι, διηγεῖται ταῦτα.

6. Ἐπ' Ἀριστοφ.) Ἄρχοντος δηλ. ὅτε Ἀριστοφῶν ὁ ῥήτωρ ἦν ἄρχων· ἦν δέ φασιν οὗτος ἄρχων ἐν τῷ τρίτῳ χρόνῳ

ποτε γενομένην τοῦ ῥήτορος μάχην, καὶ τὴν τῶν Λακεδαιμονίων ἐπὶ Λυσάνδρου· καὶ οὓς ποτε λόγους αὐτὸς εἶπεν εὐδοκιμήσας ἐν τῷ δήμῳ. Καὶ κατὰ τῶν πληθῶν δὲ ἅμα διηγούμενος κατηγορίαν παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι, ἢ νυστάξαι, ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. 7
Καὶ συνδικάζων δὲ, κωλῦσαι κρῖναι, καὶ συνθεωρῶν, θεάσασθαι, καὶ συνδειπνῶν, φαγεῖν· λέγων, ὅτι χαλεπὸν τῷ λάλῳ ἐστὶ σιωπᾶν, καὶ ὡς ἐν ὑγρῷ ἐστὶν ἡ γλῶττα, καὶ ὡς οὐκ ἂν σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν εἶναι λαλίστερος. 8
Καὶ σκωπτόμενος ὑπομεῖναι καὶ ὑπὸ τῶν αὐτοῦ παιδίων, ὅτ' ἂν αὐτὸν ἤδη καθεύδειν βουλόμενον κελεύῃ λέγοντα ταῦτα, «λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ». 9

θ'. Κεφ. Η'. Περὶ Λογοποιίας.

Ἡ δὲ λογοποιΐα ἔστι σύνθεσις ψευδῶν λόγων καὶ πράξεων, ὧν βούλεται ὁ λογοποιῶν. Ὁ δὲ λογοποιὸς τοιοῦτός τις, οἷος ὑπαν- 2
τήσας τῷ φίλῳ, εὐθὺς καταβαλὼν τὸ ἦθος, καὶ μειδιάσας, ἐρωτῆσαι, «πόθεν σὺ, καὶ τί λέγεις;» καὶ, «ἔγεις περὶ τοῦδε »εἰπεῖν καινόν»; Καὶ ἐπιβαλὼν ἐρωτᾶν, «μὴ λέγεταί τι καὶ- 3
»νότερον; καὶ μὴν ἀγαθά γέ ἐστι τὰ λεγόμενα». Καὶ οὐκ ἐάσας 4
ἀποκρίνασθαι, εἰπεῖν, »τί λέγεις; οὐδὲν ἀκήκοας; δοκῶ μοί σε εὐωχήσειν καινῶν λόγων». Καὶ ἔστιν αὐτῷ ἡ στρατιώτης, 5
ἡ παῖς Ἀστείου τοῦ αὐλητοῦ, ἢ Λύκων ὁ ἐργολάβος παραγεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησὶν ἀκηκοέναι. Αἱ μὲν οὖν 6
ἀναφοραὶ τῶν λόγων, τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐθεὶς ἂν ἔχοι ἐπιλαβέσθαι. Διηγεῖται δὲ, τούτους φάσκων λέγειν, ὡς Πο- 7
λυσπέρχων καὶ ὁ βασιλεὺς μάχῃ νενίκηκε, καὶ Κάσανδρος ἐ-

τῆς 12 Ὀλυμπιάδος, ὅτε Ἄγις ὁ βασιλεὺς Λακεδαιμονίων, καὶ Ἀντίπατρος ἡγούμενος Μακεδόνων ἐμαχέσαντο. Διόδρ. Σικελ. βιβλ. ΙΖ'. 62. καὶ 63.

— Ἐπὶ Λυσάνδρ.) Ὅτε αἱ Ἀθῆναι ἑάλωσαν, καὶ ὁ Πελοποννησιακὸς ἐτελεύτησε πόλεμος. 8. Λέγων) Συνδειπνῶν γὰρ κωλύει τοὺς λοιποὺς τρώγειν λέγων τὰ ἑξῆς.

9. Ὑπομεῖν.) Καὶ οἷός τ' ἐστὶν ὑπομεῖναι σκωπτόμενος.

— Καὶ ὑπὸ τῶν αὐτοῦ π.) Καὶ μάλιστα σκωπτόμενος ὑπὸ τῶν αὐτοῦ παιδίων, ὅταν βουλόμενα ἤδη καθεύδειν, κελεύωσιν αὐτὸν, λέγοντα πρὸς αὐτὸν ταῦτα· λάλει τι ἡμῖν καὶ τλ.

— Λαλεῖν) Ἀπαρέμφατον ἀντὶ προστακτικοῦ· λαμβάνεται δὲ, ἵνα ἀποκλίνωμεν τὸ σκληρὸν τῆς προστάξεως.

Θ'. 2. Καταβαλ.) Ἀπὸ τοῦ ἐντεταμένου καὶ σοβαροῦ εἰς τὸ ἀνιμένον καὶ ἱλαρὸν μεταβαλὼν τὸ ἦθος· ὅθεν τινὲς τὸ Καταβαλὼν εἰς τὸ μεταβαλὼν διορθοῦσι· προκριτέον μέντοι τὸ Καταβαλὼν, ὡς ἀπὸ ὑψηλοῦ εἰς ταπεινὸν μεταβαλών.

— Πόθεν σὺ) Ἐννοεῖται ἔρχῃ.

— Περὶ τοῦδε) Τοῦ πράγματος δηλ.

3. Ἐπιβαλὼν) Τὸ δ' ἐπιβάλλειν φησὶν ὁ Βαρῖνος προσθεσίν τινα δηλοῖ, καὶ περιττότητα ἐπιτευκτικήν· καὶ ἔστι τὸ πᾶν· καὶ ἐπιβαλὼν ἐρωτᾶν· ἀντὶ τοῦ, προστιθεὶς ἐρωτᾶν· ἢ προσερωτᾶν.

5. Καὶ ἔστιν αὐτ.) καὶ ἔστιν αὐτῷ, οὗπερ φησὶν ἀκηκοέναι τοιοῦτό τι· ἡ στρατιώτ. καὶ τλ.

6. Ἐπιλαβέσθ.) Ὧν οὐδεὶς ἂν ἅψοιτο ὡς ψευδῶν.

7. Πολυσπέρχ.) Ἐπίτροπος δὲ οὗτος τῶν Ἀλεξάνδρου γτοῦ μέαλου τέκνων.

— Καὶ ὁ βασιλ.) Ὁ Ἀλέξανδρος ὁ υἱὸς τοῦ μεγάλου Ἀλεξάνδρου ἐκ Ῥωξάνης

8 ζώγρηται· Κἂν εἴπῃ τις αὐτῷ, «σὺ δὲ ταῦτα πιστεύεις;» φή-
σει· «τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον ἐ-
»πεντείνειν· καὶ πάντα συμφωνεῖν, ταὐτὰ γὰρ λέγειν περὶ τῆς
»μάχης· καὶ πολὺν τὸν ζωμὸν γεγονέναι· εἶναι δὲ αὐτῷ καὶ ση-
»μεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν· ὁρᾶν γὰρ αὐτῶν
9 »πάντων μεταβεβλημότα». Λέγει δὲ ὡς καὶ παρακήκοε παρὰ
τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥ-
10κοντα ἐκ Μακεδονίας, ὃς πάντα ταῦτα οἶδε. Καὶ ταῦτα διε-
ξιὼν (πῶς οἴεσθε;) πιθανῶς σχετλιάζει, λέγων, «δυστυχὴς
»Κάσανδρος· ὢ ταλαίπωρος· ἐνθυμῇ τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυ-
»ρὸς γενόμενος»· καὶ, «δεῖ δὲ αὐτό σε μόνον εἰδέναι»· πᾶσι
11δὲ τοῖς ἐν τῇ πόλει προσδεδράμηκε λέγων. Τῶν τοιούτων ἀν-
θρώπων τεθαύμακα τί ποτε βούλονται λογοποιοῦντες· οὐ γὰρ
12μόνον ψεύδονται, ἀλλὰ καὶ ἀλυσιτελῶς ἀπαλλάττουσι. Πολλάκις
γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις περιστάσεις ποιούμενοι,
τὰ ἱμάτια ἀποβεβλήκασιν· οἱ δ' ἐν τῇ στοᾷ πεζομαχίᾳ καὶ
ναυμαχίᾳ νικῶντες, ἐρήμους δίκας ὠφλήκασιν· εἰσὶ δ' οἱ καὶ, πό-
13λεις τῷ λόγῳ κατὰ κράτος αἱροῦντες, παρεδειπνήθησαν. Πά-
νυ δὲ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα· ποίᾳ γὰρ οὐ
στοᾷ, ποίῳ δὲ ἐργαστηρίῳ, ποίῳ δὲ μέρει τῆς ἀγορᾶς οὐ διη-
μερεύουσιν, ἀπαυδᾶν ποιοῦντες τοὺς ἀκούοντας οὕτως, καὶ κα-
ταπονοῦντες ταῖς ψευδολογίαις;

ί. Κεφ. Θ'. Περὶ Ἀναισχυντίας.

Ἡ δὲ ἀναισχυντία ἔστι μέν, ὡς ὅρῳ λαβεῖν, καταφρόνησις
2 δόξης αἰσχρᾶῦ ἕνεκα κέρδους. Ὁ δὲ ἀναίσχυντος τοιοῦτος, οἷος
πρῶτον μὲν ὀν ἀποστερεῖ, πρὸς τοῦτον ἀπελθὼν δανείζεσθαι·

γεννηθείς· ἢ ὁ Ἡρακλῆς, ἄλλος υἱὸς τοῦ μεγάλου Ἀλεξάνδρου.

— Κάσανδρ.) Ὁ υἱὸς τοῦ Ἀντιπάτρου· οὗτος ἐνίκησε Πολυσπέρχονα, καὶ εἶχε τὰς Ἀθήνας· λέγει δὲ ὅτι ἐξώγρηται καλὰ τὸν τρόπον τῶν λάλων.

8. Βοᾶσθαι γὰρ) Ὁ Γὰρ ἤτοι παρέλκει· ἢ γοῦν ἀντὶ τοῦ ἀλλὰ κεῖται· ἵν' ᾖ· ἀλλὰ τὸ πράγμα καὶ τλ.

— Πολὺν ζωμὸν γεγ.) Τοῦτο δέ ἐστιν, ὡς τὸ καθ' ἡμᾶς βαρβαρικώτερον λεγόμενον· ἔγινε πολλὴ σαλάτα· ὅ ἐστιν· ἐφονεύθησαν πολλοί.

— Ὁρᾶν γὰρ] Ἐννοεῖται τὸ, λέγειν.

10. Ἐνθυμῇ) Ἆρά γε μέμνησαι τῆς τύχης.

— Γενόμεν.) Ἐννοεῖται τὸ, Ἴσθα πρὸς τὸν Κάσανδρον ἀναφερομένου τοῦ λόγου.

— Καὶ δεῖ αὐτό σε μόνον εἰδ.) Μυστικὸν δηλονότι φυλάττειν τὸν λόγον· καὶ τοῦτο δὲ ποιεῖ ὁ λογοποιὸς πᾶσι τοῖς ἐν τῇ πόλει.

11. Ἀπαλλάτ.) Ἀναχωροῦσι.

12. Περιστάσεις ποιούμ.) Εὑρίσκοντες αἰτίας εἰς λογοποιΐαν.

— Νικῶντες) Μετὰ τὴν πολέμων καὶ μαχῶν διήγησιν οὕτως ἐκτείνονταί τινες, ὥστε ἐπιλαθόμενοι, ἀφορμὴν παρέχουσιν ἐρημοδίκαις τοῖς ἀπόντας καταδικάζουσι, κατ' αὐτῶν λέγειν οἰκότα.

— Παρεδειπνήθ.) Ἄδειπνοι ἐλείφθησαν, διηγούμενοι πώλεων ἁλώσεις.

ί. 2. Ὃν ἀποστερεῖ) Ἀποστερεῖν δ' ἐστὶ τὸν τὰ ἀλλότρια λαβόντα κατέχειν.

εἶτα θύσας τοῖς θεοῖς, αὐτὸς μὲν δειπνεῖν παρ' ἑτέρῳ, τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας· καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον, δοῦναι ἀπὸ τῆς τραπέζης ἄρας κρέας καὶ ἄρτον, καὶ εἰπεῖν ἀκουόντων πάντων, «εὐωχοῦ τίμιε». Καὶ ὀψωνῶν δέ, ὑπομιμνήσκειν τὸν κρεωπώλην, εἴτι χρήσιμος αὐτῷ γέγονε· καὶ ἑστηκὼς πρὸς τῷ σταθμῷ, μάλιστα μὲν κρέας, εἰ δὲ μή, ὀστοῦν εἰς τὸν ζυγὸν ἐμβάλλειν· καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει, εἰ δὲ μή, ἁρπάσας ὑπὸ τῆς τραπέζης χολίκιον, ἅμα γελῶν ἀπαλλάττεσθαι. Καὶ ξένοις δὲ αὐτοῦ θέαν ἀγοράσας, μὴ δοὺς τὸ μέρος θεωρεῖν· ἄγειν δὲ καὶ τοὺς υἱεῖς εἰς τὴν ὑστεραίαν, καὶ τὸν παιδαγωγόν. Καί, ὅσα ἐωνημένος ἄξιά τις φέρει, μεταδοῦναι κελεῦσαι καὶ αὐτῷ. Καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν ἐλθών, δανείζεσθαι κριθάς, ποτὲ δὲ ἄχυρον· καὶ ταῦτα χρήσαντας, ἀναγκάσαι ἀποφέρειν πρὸς αὑτόν. Δεινὸς δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προσελθών, καὶ βάψας ἀρύταιναν, βοῶντος τοῦ βαλανέως, αὐτὸς αὑτοῦ καταχέασθαι, καὶ εἰπεῖν, ὅτι λέλουται, ἀπιών· κἀκεῖ, «οὐδεμία σοι χάρις».

3 4 5 6 7

ιά. Κεφ. Ι΄. Περὶ Μικρολογίας.

Ἡ δὲ μικρολογία ἔστι φειδωλία τοῦ διαφόρου ὑπὲρ τὸν καιρόν. Ὁ δὲ μικρολόγος τοιοῦτός τις, οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν ἐπὶ τὴν οἰκίαν· καὶ συσσιτῶν ἀριθμεῖν πόσας κύλικας ἕκαστος πέπωκε· καὶ ἀπάρχεσθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν

2

— Δειπνεῖν) Ἔθος ἦν τοῖς θύουσι μεταδιδόναι τῶν κρεῶν τῶν ἐκ τοῦ θύματος τοῖς φίλοις, ὁ δὲ ἀναίσχυντος, πάσας τὰ κρέα, δειπνεῖν παρ' ἑτέρῳ.

— Τὸν ἀκόλουθον) Τὸν θεράποντα, ὃς ἀκολουθεῖ αὐτῷ.

— Χολίκιον) Χόλιξ λέγεται τὰ παχέα τῶν βοῶν ἔντερα, ἅτινα οὐ καθιερεύοντο· οὗ τὸ ὑποχριστικόν, χολίκιον.

4. Καὶ ξένοις δὲ αὐτοῦ) Ἐὰν δὲ μισθώσῃ τόπον ἐν θεάτρῳ διὰ τοὺς ξένους τοὺς ἐν τῇ οἰκίᾳ αὐτοῦ ἐλθόντας θέας χάριν, θεᾶται καὶ αὐτὸς μὴ δοὺς τὸ ἀνάλογον· οὐ μόνον τοῦτο ποιεῖ, ἀλλὰ τῇ ὑστεραίᾳ ἄγει καὶ τλ.

5. Καὶ ὅσα ἐωνημένος) Καὶ ἐάν τις εὐθυνῶς ἀγοράσῃ τι, ἐκ τούτου φησὶ μεταδοῦναι καὶ ἑαυτῷ.

6. Καὶ ταῦτα χρήσαντας) Καὶ ἐὰν δῶσιν αὐτῷ τὰ αἰτούμενα, ἀναγκάζει αὐτοὺς καὶ ἀγαγεῖν πρὸς τὴν οἰκίαν αὐτοῦ.

7. Δεινὸς δὲ) Προσέρχεται γὰρ εἰς τοὺς ἐν βαλανείῳ λέβητας, καὶ λαβὼν ἀγγεῖόν χέει ἐφ' ἑαυτὸν ὕδωρ, βοῶντος τοῦ βαλανέως· καὶ ἀπιών, φησι· λέλουμαι· καὶ προστίθησι κἀκεῖνο τὸ ἀγροῖκον καὶ ἐπὶ αἰσχροῦ λαμβανόμενον. Οὐδεμία σοι χάρις· ὅπερ ἰσοδυναμεῖ τῷ παρ' ἡμῖν. Νὰ τὸν χέσ.

ιά. Τοῦ διαφόρου) Καὶ τοῦ ἐλαχίστου πράγματος· ὅθεν καὶ οἱ μαθηματικοὶ τὸν περὶ ἀπειροελαχίστων μορίων λογισμὸν διαφορικὸν καλοῦσι.

2. Ἀπαιτεῖν) Πολλάκις τοῦ μηνὸς συνηθροίζοντο φίλοι εἰς οἰκίαν φίλου, δι' ἐράνου εὐθυμῆσαι βουλόμενοι· ὅπερ καὶ νῦν ἐν Ἑλλάδι ἔστιν ἰδεῖν γινόμενον· ὁ δὲ μικρολόγος, εἴγε ἡ συνέλευσις ἐν τῇ οἰκίᾳ αὐτοῦ ἐγένετο· ἀπήτει ἐνοίκιον ἡμιωβόλιον· ἐν τῷ μηνὶ ἀπὸ τῶν συσσίτων.

— Ἐλάχιστον) Ἕκαστος μὲν ἀπαρχὰς τοῦ ἑαυτοῦ μέρους ἐποιεῖτο τῇ Ἀρτέμιδι, ὅσοι ἦσαν συνδειπνοῦντες· ὁ δὲ σμικρολόγος κἂν τούτῳ τὸ σμικρότατον ἀπήρχετο· οἱ γὰρ ἔχοντες ἑκάστῳ μηνὶ βρώματα παρετίθεντο ἐν τοῖς τριόδοις τῇ Ἑκάτῃ, ἥτις ἐστὶν ἡ αὐτὴ τῇ Ἀρ-

3 συνδειπνούντων. Καί, ὅσα μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκειν εἶναι ἄγαν. Καί, οἰκέτου χύτραν ἢ λοπάδα κατάξαντος,
4 εἰσπρᾶξαι ἀπὸ τῶν ἐπιτηδείων. Καί, τῆς γυναικὸς ἀποβαλούσης τρίχαλκον, οἷος μεταφέρειν τὰ σκεύη, καὶ τὰς κλίνας, καὶ τὰς
5 κιβωτούς, καὶ διφᾶν τὰ καλύμματα. Καί, ἐάν τι πωλῇ, τοσούτους ἀποδόσθαι, ὥστε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. Καὶ οὐκ ἂν ἐάσαι οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὐτοῦ κήπου, οὔτε διὰ τοῦ αὐτοῦ ἀγροῦ πορευθῆναι, οὔτε ἐλάαν, ἢ φοίνικα τῶν χαμαὶ πεπτωκό-
6 των ἀνελέσθαι. Καὶ τοὺς ὅρους δὲ ἐπισκοπεῖσθαι ὁσημέραι, εἰ διαμένουσιν οἱ αὐτοί. Δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι, καὶ
7 τόκον τόκου. Καὶ ἑστιῶν τοὺς δημότας, μικρὰ τὰ κρέα κόψας
8 παραθεῖναι· καὶ ὀψωνῶν, μηθὲν πριάμενος εἰσελθεῖν. Καὶ ἀπαγορεῦσαι τῇ γυναικί, μήτε ἅλας χρωννύειν, μήτε ἐλλύχνιον, μήτε κύμινον, μήτε ὀρίγανον, μήτε οὐλάς, μήτε στέμματα, μήτε θυηλήματα· ἀλλὰ λέγειν, ὅτι τὰ μικρὰ ταῦτα πολλά ἐστι τοῦ ἐ-
9 νιαυτοῦ. Καὶ τὸ ὅλον δέ, τῶν μικρολόγων καὶ τὰς ἀργυροθή-
10 κας ἐστὶν ἰδεῖν εὐρωτιώσας, καὶ κλεῖς ἰωμένας. Καὶ αὐτοὺς δὲ φοροῦντας ἐλάττω τῶν μικρῶν τὰ ἱμάτια· καὶ ἐκ ληκυθίων μικρῶν πάνυ ἀλειφομένους· καὶ ἐν χρῷ κειρομένους· καὶ τὸ μέ-
11 σον τῆς ἡμέρας ὑπολυομένους. Καὶ πρὸς τοὺς γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς ἕξει πολλὴν γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.

ιϐ'. Κεφ. ΙΑ'. Περὶ Βδελυρίας.

Οὐ χαλεπὸν δέ ἐστιν τὴν βδελυρίαν διορίσασθαι· ἔστι γὰρ
2 παιδιὰ ἐπιφανὴς καὶ ἐπονείδιστος. Ὁ δὲ βδελυρὸς τοιοῦτος, οἷος

τέμιδι, ἐν νυκτί· ἔλεγον δὲ ὅτι ἡ θεὰ αὕτη χρῆται τούτοις τοῖς βρώμασι· τὸ δ' ἀληθὲς ἦν ὅτι οἱ πένητες ἔτρωγον αὐτά· καθάρσια δὲ ἐκαλεῖτο ταῦτα.

3. Εἶναι ἄγαν) Τὸ παρ' ἡμῖν, ὅλα εἰσὶν ἀκριβά.

— Εἰσπρᾶξαι) Ἀφαιρεῖ ἀπὸ ἐκείνων, ὅσα δίδωσιν αὐτῷ, ἵνα ὠνήσηται τὰ ἐπιτήδεια.

4. Τρίχαλκον) Τμῆμα χαλκοῦ· $\frac{3}{8}$ τοῦ ὀβολοῦ τιμώμενον.

6. Καὶ τοὺς ὅρους) Τῶν ἰδίων ἀγρῶν δηλαδή.

— Δεινὸς δὲ) Καὶ ἐὰν ὁ ὡρισμένος χρόνος τοῦ τόκου παρέλθῃ· δεινός ἐστιν ἀπαιτῆσαι καὶ τούτου τοῦ χρόνου τὸν τόκον, καὶ τοῦ τόκου τοῦ χρόνου τούτου τὸν τόκον.

8. Ὅτι τὰ μικρά) Τὰ μικρὰ ταῦτα, ἐάν τις εἰς ἓν κεφάλαιον ἀθροίσῃ εἰς ἐνιαυτόν, πολλὰ γίνονται.

10. Ἐλάττω τῶν μικρῶν) Ὅπερ ἐστὶ πάνυ μικρά.

— Ἀλειφομένους) Ἐν γὰρ λουτροῖς ἠλείφοντο οἱ μὲν ἁπλῷ ἐλαίῳ· οἱ δὲ ἀρώμασι· καὶ ἐν οἴκοις δὲ τὸ ἔθος ἦν.

— Καὶ ἐν χρῷ κειρομένους) Ἵνα μὴ πολλάκις ἐν ἀνάγκῃ γένωνται κείρεσθαι.

— Ὑπολυομένους) Ἐξυποδηματουμένους, ἵνα μὴ φθείρωνται αὐτῶν τὰ ὑποδήματα.

11. Ἔξει πολλὴν γῆν) Λευκῇ γῇ ἐχρῶντο εἰς τὸ λευκαίνειν τὰ ἱμάτια· ἐκαλεῖτο δὲ κιμωλία· χρήσιμος εἰς τὸ λευκαίνειν· ἑνὸς δ' ἱματίου λεύκαμα τριῶν ἐτιμᾶτο ὀβολῶν. Ἀριστ. Σφῆκ. στίχ. 1128.

ιϐ'. Παιδιὰ) Παιδιὰ ἐνταῦθα δηλοῖ τὸ παρὰ τούρκοις λεγόμενον χορατᾶς· ἡ δὲ βδελυρία παιδιὰ οὖσα οὐκ ἔστι τῶν πρὸς διάχυσιν ψυχῆς γινομένων, ἀλλά τις φανερὰ γενομένη· καὶ σκηψασμοῦ ἀξία.

ὑπαντήσας γυναιξὶν ἐλευθέραις, ἀναστυράμενος δεῖξαι τὸ αἰδοῖον.
Καὶ ἐν θεάτρῳ κροτεῖν, ὅτ' ἂν οἱ ἄλλοι παύωνται, καὶ συρίττειν οὓς ἡδέως θεωροῦσιν οἱ λοιποί· καὶ ὅτ' ἂν σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τοὺς καθημένους ποιήσῃ μεταστραφῆναι. Καὶ πληθούσης τῆς ἀγορᾶς προσελθὼν πρὸς τὰ κάρυα, ἢ τὰ μῆλα, ἢ τὰ ἀκρόδρυα, ἑστηκὼς τραγηματίζεσθαι, ἅμα τῷ πωλοῦντι προσλαλῶν. Καὶ καλέσαι δὲ τῶν παριόντων ὀνομαστί τινα, ὧ μὴ συνήθης ἐστί. Καὶ σπεύδοντα δέ που ὁρῶν, περιμεῖναι κελεῦσαι. Καὶ ἡττωμένῳ δὲ μεγάλην δίκην, ἀπιόντι ἀπὸ τοῦ δικαστηρίου προσελθεῖν, καὶ συνησθῆναι. Καὶ ὀψωνεῖν ἑαυτόν, καὶ αὐλητρίδας μισθοῦσθαι· καὶ δεικνύειν δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα, καὶ παρακαλεῖν ἐπὶ ταῦτα· καὶ διηγεῖσθαι προστὰς πρὸς κουρεῖον, ἢ μυροπώλιον, ὅτι μεθύσκεσθαι μέλλει. Καὶ οἰνοπωλῶν, κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι. Καὶ ἐπὶ θέαν τηνικαῦτα πορεύεσθαι, ἄγων τοὺς υἱεῖς, γύνικα προῖκα ἀφιᾶσιν οἱ θεατρῶναι. Καὶ ἀποδημῶν δημοσίᾳ, τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείζεσθαι· καὶ τῷ ἀκολούθῳ ἐπιθεῖναι μεῖζον φορτίον ἢ δύναται φέρειν, καὶ ἐλάχιστα ἐπιτήδεια τῶν ἱκανῶν· καὶ ἀπὸ τῶν ξενίων τὸ μέρος τὸ αὑτοῦ ἀπαιτήσας ἀποδόσθαι. Καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ, καὶ εἰπών, «Σαπρόν γε τὸ ἔλαιον ἐπρίω,» τῷ παιδαρίῳ, τῷ ἀλλοτρίῳ ἀλείφεσθαι. Καὶ τῶν εὑρισκομένων χαλκῶν ἐν ταῖς ὁδοῖς ὑπὸ τῶν οἰκετῶν δεινὸς ἀπαιτῆσαι τὸ μέρος, κοινὸν εἶναι φήσας τὸν Ἑρμῆν. Τὰ δὲ δὴ τοιαῦτα· φειδομένῳ μέτρῳ τὸν πύνδακα ἐγκεκρουσμένῳ μετρεῖν αὐτῷ τοῖς

---

2. Ἐλευθέραις) Οὕτως ἐλέγοντο τῶν πολιτῶν αἱ γυναῖκες· ἦσαν γὰρ καὶ ἄλλαι τῶν δούλων μὴ ἐλεύθεραι, ἀλλὰ δοῦλαι καὶ αὗται.

4. Πληθούσης ἀγορᾶς) Ὅταν ἔμπλεως ᾖ ἡ ἀγορὰ ἀνθρώπων.

6. Καὶ ὀψωνεῖν ἑαυτόν) Καὶ οἷος ἵνα ὀψωνῇ οὗτός.

— Καὶ αὐλητρ.) Ἦν γὰρ ἔθος παρὰ τοῖς Ἕλλησιν ἐν τοῖς συμποσίοις τοῦτο ποιεῖν. Πλάτ. ἐν Πρωταγ.

— Ἐπὶ ταῦτα) Ὡς οἷον δή τινα ἄξια· ὅθεν οὐδὲ ἡ παράκλησις ἀληθής.

— Πρὸς κουρεῖον καὶ) Σημειωσαι ὅτι ἐν Ἀθήναις τὸ κουρεῖον καὶ μυροπώλιον ἦσαν τόποι ὡρισμένοι εἰς συνέλευσιν, ὅθεν καὶ Δημοσθένης ἔλεγεν Ἀριστογείτονα ὀνειδίζων· ὅτι οὐδέποτε εἰς κουρεῖον, ἢ μυροπώλιον ὤφθη· ἐν τῷ κατὰ Ἀριστογ. Α΄.

8. Ἐφόδιον) Δημοσθ. ἐν Παραπρεσβ. λέγει ὅτι τῶν δέκα πρέσβεων τῶν εἰς Φίλιππον σταλέντων ἐν τρισὶ μησὶν ἕκαστος ἐδαπάνησε 1000 δραχμάς.

— Τῷ ἀκολούθῳ) Τὸ μὲν φορτίον μεῖζον, ἐπιτήδεια δὲ οὐδὲ τὰ ἱκανὰ δίδωσιν.

— Ἀπὸ τῶν ξενίων) Τῶν δώρων δηλαδή, ἃ διδόασιν αἱ πόλεις πρὸς τοὺς πρέσβεις.

10. Τὸν Ἑρμῆν) Παροιμία ἐπὶ τῶν εὑρισκομένων.

11. Τὰ δὲ δὴ τοιαῦτα) Πρὸς τούτοις δὲ δὴ κατὰ τὰ τοιαῦτα, καὶ τὰ ἐπιτήδεια πᾶσι τοῖς ἐν τῇ οἰκείᾳ αὐτὸς μετρεῖν οἷός ἐστι, μέτρῳ φειδομένοις τὸν πιθμένα ἔχοντι ἐγκεκρουσμένον, ἵνα μὴ πολύ τι χωρῇ, οὐδ' ἱκανὸν αὐτὸ τοῦτο, ἀλλ' ἔτι καὶ ἄνωθεν ἐξισάζων ἀφαιρεῖ τι.

ἔνθον τὰ ἐπιτήδεια, σφόδρα ἀποψῶν· ὑποπρίασθαι φίλου ἐπιλα-
12 βὼν ἀποδόσθαι. Ἀμέλει δὲ καὶ χρέος ἀποδιδοὺς τριάκοντα
13 μνῶν, ἔλαττον τέτταρσι δραχμαῖς ἀποδιδόναι. Καὶ φράτορας ἑστιῶν αἰτεῖν τοῖς αὐτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον· τὰ δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης, ἡμίσῃ τῶν ῥαφανίδων ἀπογράφεσθαι, ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάθωσιν.

ιγ'. Κεφ. ΙΒ'. Περὶ Ἀκαιρίας.

Ἡ μὲν οὖν ἀκαιρία ἔστιν ἐπίτευξις λυποῦσα τοὺς ἐντυγχά-
2 νοντας. Ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι. Καὶ πρὸς τὴν αὐτοῦ ἐρωμένην κωμάζειν
3 πυρέττουσαν. Καὶ δίκην ὠφληκότα ἐγγὺς προσελθών, κελεῦσαι αὐτὸν ἀναλέξασθαι. Καὶ μαρτυρήσων παρεῖναι, τοῦ πράγματος
4 ἤδη κεκριμένου. Καὶ κεκλημένος εἰς γάμους, τοῦ γυναικείου γένους κατηγορεῖν. Καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι, παρακα-
5 λεῖν εἰς περίπατον. Δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἢ δι' ἑπτακότι. Καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστα-
6 σθαι ἐξ ἀρχῆς διδάσκων. Καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι ἃ
7 μὴ βούλεταί τις γενέσθαι, αἰσχύνεται δὲ ἀπειπασθαι. Καὶ θύοντας καὶ ἀναλίσκοντας ἥκειν τόμον ἀπαιτήσων. Καὶ μαστιγουμένου οἰκέτου παρεστώς, διηγεῖσθαι ὅτι καὶ αὐτοῦ ποτε παῖς
8 οὕτω πληγὰς λαβὼν ἀπήγξατο. Καὶ παρὼν διαίτῃ, συγκρούειν, ἀμφοτέρων βουλομένων διαλύεσθαι. Καὶ ἀρχησόμενος ἄψασθαι ἑταίρου μηδέπω μεθύοντος.

— Ὑποπρίασθαι) Τὸ μὲν ὑποπρίασθαι φίλου δηλοῖ τὸ πρίασθαι παρὰ φίλου τιμῇ τινι ταπεινῇ· τοῦτο γὰρ διὰ τῆς ὑπὸ ἐπεννοεῖ· τὸ δὲ ἐπιλαβὼν· τὸ διαδεχθείς· ἔστι γὰρ καὶ παρὰ Θουκυδ. Ξυγγρ. Δ'. υιατ'. νυκτὸς ἐπιλαβούσης τὸ ἔργον· τὸ δὲ ἀποδόσθαι· τὸ πωλῆσαι· ὡς Θουκυδ. Ξυγγρ. Ζ'. τοὺς ἄλλους ἀπέδοντο· ὅθεν τὸ ὅλον τοιοῦτόν τι ἐστί· καὶ μικρᾷ τινι τιμῇ ἰπρίασθαι παρὰ φίλου, καὶ λαβὼν καὶ οἰκειοποιησάμενος, πωλεῖν πολλοῦ.

13. Ἡμίσῃ τῶν ῥαφανίδων) Ὡς ἄλλα δηλαδή τινα μὴ καταλείπεσθαι, ἀλλὰ ῥαφανίδας μόνας, καὶ ταύτας ἡμίσεις· ἀλλὰ καὶ ταύτας ἀπογράφεται ὁ βδελυρὸς· μέχοι τούτου τῆς βδελυρίας αὐτοῦ προχωρούσης.

ιγ'. 2. Κωμάζειν) λέγεται, φησὶ Βαρῖνος· τὸ τὸν ἐραστὴν νυκτὸς ἐπὶ τὴν ἐρωμένην πορεύεσθαι ἐστιφανωμένον, καὶ αὐλοῦντα, ἢ ἕτερόν τι αὐτῷ ἁρμόδιον ποιοῦντα.

3. Καὶ δίκην) Καὶ προσελθὼν πρὸς ἄνθρωπον καταδικασθέντα διὰ τὸ ἐγγυητὴν γενέσθαι ἀποδοῦναι τὰ χρήματα, κελεύει ἵνα αὐτὸς ἀναλέξηται καὶ τλ.

5. Πεπρακότι) Τῷ ὠνητῇ.

7. Τόμον ἀπαιτήσων) Μέρος τοῦ θύματος· οἱ γὰρ θύοντες μετὰ τὴν θυσίαν διένεμον τὰ κρέα· ὁ δὲ ἄκαιρος ἐν τῷ θύειν ἀπαιτεῖ.

8. Καὶ παρὼν διαίτῃ) Δίαιτα λέγεται καὶ ἡ διατριβή, καὶ διαγωγή, καὶ συναναστροφή· ὅθεν ὅταν ἔλθῃ εἰς συναναστροφήν, οὐκ ἐᾷ διαλύεσθαι, ὅταν βούλωνται· λέγεται δὲ καὶ ἡ καθ' αἵρεσιν κρίσις· καὶ κατὰ τοῦτο δὴ τὸ συμαινόμενόν ἐστιν ἐξηγήσασθαι οὕτως· ὅταν ἔλθῃ εἰς διαλιαγέντας ἤδη, καὶ βουλομένους διαλύεσθαι, πειρᾶται συγκροῦσαι καὶ εἰς σύγχυσιν ἐμβαλεῖν.

ιδ'. Κεφ. ΙΓ'. Περὶ Περιεργίας.

Ἀμέλει ἡ περιεργία δόξειεν ἂν εἶναι προσποίησίς τις λόγων καὶ πράξεων, μετ' εὐνοίας. Ὁ δὲ περίεργος τοιοῦτός τις, οἷος 2
ἐπαγγέλεσθαι ἀναστὰς ἃ μὴ δυνήσεται. Καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι ἔν τινι στὰς ἐλεγχθῆναι. Καὶ πλείω 3
δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι ἢ ὅσα δύνανται οἱ παρόντες ἐκπιεῖν. Καὶ διείργειν τοὺς μαχομένους. Καὶ ἧς οὐ γινώ- 4
σκει ἀτραποῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν οὗ πορεύεται. Καὶ τὸν στρατηγὸν δὲ προσελθὼν ἐρωτῆσαι, πότε μέλλει 5
παρατάττεσθαι, καὶ τί μετὰ τὴν αὔριον παραγγέλλει. Καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ ὠματίῳ. Καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσει οἶνον 6
τῷ καυματιζομένῳ, φήσας βούλεσθαι διάπειραν λαμβάνειν, εὐτρεπίσαι τὸν κακῶς ἔχοντα. Καὶ γυναικὸς δὲ τελευτησάσης, ἐπι- 7
γράψαι ἐπὶ τὸ μνῆμα, τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ αὐτῆς τῆς γυναικὸς τοὔνομα, καὶ ποταπή ἐστι· καὶ προσεπιγράψαι ὅτι «οὗτοι πάντες χρηστοὶ ἦσαν». Καὶ ὀμνύναι 8
μέλλων, εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι «καὶ πρότερον πολλάκις ὀμώμοκα».

ιέ. Κεφ. ΙΔ'. Περὶ Ἀναισθησίας.

Ἔστι δὲ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς ψυχῆς ἐν λόγοις καὶ πράξεσιν. Ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷος λογι- 2
σάμενος ταῖς ψήφοις, καὶ κεφάλαιον ποιήσας, ἐρωτᾶν τὸν παραβήμενον, τί γίνεται; Καὶ δίκην φεύγων, καὶ ταύτην εἰσιέ- 3
ναι μέλλων, ἐπιλαθόμενος εἰς ἀγρὸν πορεύεσθαι. Καὶ θεωρῶν 4
ἐν τῷ θεάτρῳ, μόνος καταλείπεσθαι καθεύδων. Καὶ πολλὰ φαγών, καὶ τῆς νυκτὸς ἐπὶ θάκου ἀνιστάμενος, ὑπὸ κυνὸς τῆς τοῦ γείτονος δηχθῆναι. Καὶ λαβών, καὶ ἀπωθεὶς αὐτός, τοῦτο 5
ζητεῖν, καὶ μὴ δύνασθαι εὑρεῖν. Καὶ ἀπαγγέλοντός τινος αὐτῷ, 6
ὅτι τετελεύτηκέ τις αὐτοῦ τῶν φίλων, ἵνα παραγένηται, σκυ-

ιθ'. 2. Ἔν τινι στάς) Ἔν τινι μέρει τῆς ὑποθέσεως στάς, ζητεῖ ἵνα ἐλεγχθῇ, εἰ δικαίου ἔστι.

6. Καυματιζομένῳ) Πυρετῷ συνεχομένῳ.

— Φήσας) Ἐνταῦθα ἐννοεῖται τὸ δι-δόναι ἀπὸ τοῦ προρρηθέντος ὀφείλει· οἷον ἀπαγορ. . . ., διδόναι φήσας ὅτι παιδίσεται ἰατρεῦσαι τὸν πάσχοντα.

— Εὐτρεπίσαι) Ἵνα ἰάσηται τὸν πάσχοντα· τὸ γὰρ εὐτρεπίζω καὶ τοιοῦτό τι σημαίνει ὡς ἐξ ἐκείνου τοῦ Ἱπποκρατ. περὶ ἀνθρ. «Ἐπὴν τὸ νούσημα ἅπαξ ἐν »τῷ σώματι γένηται, ἐς τὸ νοτέον τρέ»πεται, ἢν μή τις εὐτρεπίζῃ.»

ιέ. 2. Τί γίνεται;) Πόσον ἔτι τὸ γινόμενον ἢ τὸ κεφάλαιον.

3. Δίκην φεύγων) Καὶ ὅτε κατηγορεῖται εἰς κριτήριον, τὴν ἡμέραν καθ' ἣν μέλλει παραστήσεσθαι ἔμπροσθεν τῶν κριτῶν· ἐπιλ. καὶ τλ.

4. Ἐπὶ θάκου) Ἀνίστασθαι ὀλονότι τῆς νυκτὸς εἰς ἀπόπατον, ἢ ἄρδον ἔνθα θάκου. καὶ τλ.

7 θρωπάσας καὶ δακρύσας, εἰπεῖν «ἀγαθῇ τύχῃ». Δεινὸς δὲ καὶ ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον, μάρτυρας παραλαβεῖν. Καὶ χειμῶνος ὄντος μάχεσθαι τῷ παιδί, ὅτι σικύους οὐκ ἠγόρασε.
8 Καὶ τὰ παιδία ἑαυτοῦ παλαίειν ἀναγκάζων καὶ τροχάζειν, καὶ εἰς κόπους ἐμβάλλειν· καὶ ἐν ἀγρῷ αὐτοῖς φακὴν ἕψων,
9 δὶς ἅλας εἰς τὴν χύτραν ἐμβαλών, ἄβρωτον ποιῆσαι. Καὶ ὄντος τοῦ Διός, εἰπεῖν «ἡδύ γε τῶν ἄστρων νομίζει»· ὅτε δὴ καὶ
10 οἱ ἄλλοι λέγουσι «πίσσης». Καὶ λέγοντός τινος, πόσους οἴει κατὰ τὰς ἱερὰς πύλας ἐξενηνέχθαι νεκρούς; πρὸς τοῦτον εἰπεῖν, «ὅσοι ἐμοὶ καὶ σοὶ γένοιντο».

ις'. Κεφ. ΙΕ'. Περὶ Αὐθαδείας.

2 Ἡ δὲ αὐθάδεια ἔστιν ἀπήνεια ὁμιλίας ἐν λόγοις. Ὁ δὲ αὐθάδης τοιοῦτός τις, οἷος ἐρωτηθείς, ὁ δεῖνα ποῦ ἔστιν; εἰπεῖν,
3 «πράγματά μοι μὴ πάρεχε». Καὶ προσαγορευθείς, μὴ ἀντιπροσειπεῖν. Καὶ πωλῶν τι, μὴ λέγειν τοῖς ὠνουμένοις πόσου ἂν
4 ἀποδοῖτο, ἀλλ' ἐρωτᾶν, τί εὑρίσκει; Καὶ τοῖς τιμῶσι, καὶ πέμ-
5 πουσιν εἰς τὰς ἑορτάς, εἰπεῖν ὅτι οὐκ ἂν γένοιτο διδόμενα. Καὶ οὐκ ἔχειν συγγνώμην οὔτε τῷ ἀπώσαντι αὐτὸν ἀκουσίως, οὔτε
6 τῷ ὤσαντι, οὔτε τῷ ἐμβάντι. Καὶ φίλῳ δὲ ἔρανον κελεύσαντι εἰσενεγκεῖν, εἰπὼν ὅτι οὐκ ἂν δοίη, ὕστερον ἥκειν φέρων, καὶ λέ-
7 γειν ὅτι ἀπόλλυσι καὶ τοῦτο τὸ ἀργύριον. Καὶ προσπταίσας ἐν τῇ ὁδῷ, δεινὸς καταράσασθαι τῷ λίθῳ. Καὶ ἀναμεῖναι οὐκ ἂν ὑ-
8 πομεῖναι πολὺν χρόνον οὐθένα. Καὶ οὔτε ᾆσαι, οὔτε ῥῆσιν εἰπεῖν, οὔτε ὀρχήσασθαι ἂν ἐθελῆσαι. Δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ ἐπεύχεσθαι.

---

6. Ἀγαθῇ τύχῃ) Τὸ παρ' ἡμῖν· ὥρα αὐτοῦ καλεῖ ἔστω· τρόπος δηλαδὴ τοῦ εὔχεσθαι ἐπὶ παντὶ ἀγαθῷ.

7. Μάχεσθαι τῷ παιδί) Ἐπιπλήττειν δηλαδὴ ὅτι οὐκ ἠγόρασε σικύους ἐν θέρει γινομένους.

9. Ἡδὺ τῶν ἄστρων) Οὕτω διώρθωταί μοι πρὸς τὸ εὐξύνετον· ἵν' ᾖ. Ὁ ἀναίσθητος φησὶν αἰθρίαν εἶναι, καὶ ἡδὺ φῶς τῶν ἀστέρων, ὅτε οἱ ἄλλοι λέγουσι σκότος ἐστίν, καὶ ζόφος οἷον ἡ πίσσα· τὸ γὰρ ἐν τῷ κειμένῳ, Ἡδύ γε τῶν ἄστρων νομίζει ὅτι δὴ καὶ οἱ ἄλλοι λέγουσι πίσσης, ἀξύνετόν τε ἅμα καὶ ἀκατάλληλον.

Ὅσοι ἐμοὶ καὶ σοὶ γένοιντο) Ὅσους ἂν ἐγὼ καὶ σὺ δυνάμεθ' ἂν ἔχειν.

ις'. Ἀπήνεια ὁμ. ἐν λόγ.) Ὁ γὰρ αὐθάδης ἀπηνῶς καθάπτεται τῶν παρευρισκομένων ἐν ταῖς συναναστροφαῖς.

2. Πράγμ. . . . πάρεχ.) Πράγματα παρέχειν σημαίνει τὸ συγχέειν, καὶ εἰς φροντίδας ἐμβάλλειν· καὶ ἔστ. τοῦτο τὸ ἐν συνηθείᾳ. Μή μοι πειράζεις.

3. Τί εὑρίσκει;) Εὔλογον δηλαδή· τὸ παρ' ἡμῖν, πόσα δίδωσιν αὐτός;

4. Οὐκ ἂν γένοιτο διδ.) Ὅτι οὐκ ἂν ἔλθοιεν εἰς τὸν οἶκον αὐτοῦ πράγματα ὡς δῶρα διδόμενα· ὅπερ ἐστίν, οὐκ ἂν δέξοιτο δῶρα.

—Τῷ ἐμβάντ.) Τῷ ἐπὶ τοῦ ποδὸς αὐτοῦ πατήσαντι, ἀκουσίως δηλ.

6. Ἔρανον) Ἀνάγκην δηλαδή τινα ἔχοντι τῷ φίλῳ ζητοῦντι καὶ παρ' αὐτοῦ ἔρανον εἰς βοήθειαν.

8. Ῥῆσιν εἰπεῖν) Ἔθος γὰρ ἦν ἢ ἀποδιδόναι, ἢ ᾄδειν τινὰ ἐκ τῶν ποιητῶν· παράδειγμα δὲ τοιούτων ἀσμάτων ἔστιν εὑρεῖν παρὰ Πλουτάρχῳ ἐν Λυσάνδρῳ ἀπὸ τῶν Εὐριπίδου τραγῳδίων.

ιζ'. Κεφ. Ις'. Περὶ Δεισιδαιμονίας.

Ἀμέλει ἡ δεισιδαιμονία δόξειεν ἂν εἶναι δειλία πρὸς τὸ δαι- 1
μόνιον. Ὁ δὲ δεισιδαίμων τοιοῦτός τις, οἷος ἀπονιψάμενος τὰς 2
χεῖρας καὶ περιῤῥαναμένος ἀπὸ ἱεροῦ, δάφνης εἰς τὸ στόμα λα- 3
βὼν, οὕτω τὴν ἡμέραν περιπατεῖν. Καὶ τὴν ὁδὸν ἐὰν παραθρέμμη 4
γαλῆ, μὴ πρότερον πορευθῆναι, ἕως διεξέλθῃ τις, ἢ λίθους τρεῖς
ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ. Καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, ἱερὸν ἐν-
ταῦθα ἱδρύσασθαι. Καὶ τῶν λιπαρῶν λίθων τῶν ἐν ταῖς τριόδοις,
παριὼν, ἐκ τῆς ληκύθου ἔλαιον καταχεῖν· καὶ ἐπὶ γόνατα πεσών,
καὶ προσκυνήσας, ἀπαλλάττεσθαι. Καὶ ἐὰν μῦς θύλακον ἀλφί- 5
των διαφάγῃ, πρὸς τὸν ἐξηγητὴν ἐλθὼν, ἐρωτᾶν τί χρὴ ποιεῖν·
καὶ ἐὰν ἀποκρίνηται αὐτῷ ἐκδοῦναι τῷ σκυτοδέψῃ ἐπιῤῥάψαι,
μὴ προσέχων τούτοις, ἀλλ' ἀποτραπεὶς ἐκδύσασθαι. Καὶ πυκνὰ 6
δὲ τὴν οἰκίαν καθᾶραι δεινός. Καὶ οὔτε ἐπιβῆναι μνήματι, οὔτ'
ἐπὶ νεκρὸν ἐλθεῖν, οὔτε ἐπὶ λεχώ. Καὶ ὅτ' ἂν ἐνύπνιον ἴδῃ, πο- 7
ρεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς
ὀρνιθοσκόπους, ἐρωτήσων τίνι θεῷ ἢ θεᾷ προσεύχεσθαι δεῖ. Καὶ 8
τελεσθησόμενος πρὸς τοὺς ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι
μετὰ τῆς γυναικός· ἐὰν δὲ μὴ σχολάζῃ ἡ γυνή, μετὰ τῆς τίτθης
καὶ τῶν παίδων. Καὶ ἐπὶ ταῖς τριόδοις ἀπελθὼν κατὰ κεφαλῆς
λούσασθαι. Καὶ ἱερείας καλέσας, σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὐ- 9
τὸν περικαθᾶραι· μαινόμενόν τε ἰδὼν ἢ ἐπίληπτον, φρίξας εἰς
κόλπον πτύσαι.

ιή. Κεφ. ΙΖ'. Περὶ Μεμψιμοιρίας.

Ἔστι δὲ ἡ μεμψιμοιρία, ἐπιτίμησις παρὰ τὸ προσῆκον δε- 1
δομένη. Ὁ δὲ μεμψίμοιρος τοιόσδέ τις, οἷος ἀποστείλαντος με- 2
ρίδα τοῦ φίλου, εἰπεῖν, πρὸς τὸν φέροντα, «ἐφθόνησάς μοι τοῦ ζωμοῦ
καὶ τοῦ οἰναρίου, οὐκ ἐπὶ δεῖπνον καλέσας». Καὶ ὑπὸ τῆς ἑταί- 3
ρας καταφιλούμενος, εἰπεῖν, «θαυμάζω εἰ σὺ καὶ ἀπὸ ψυχῆς μέ
φιλεῖς». Καὶ τῷ Διΐ ἀγανακτεῖν, οὐ διότι ὕει, ἀλλὰ διότι ὕστερον. 4

ιζ'. 2. ἀπονιψάμ.) Διττῶς ἐκαθαίροντο δι' ὕδατος οἱ παλαιοί· ἤτοι νίπτοντες τὰς χεῖρας, ἢ ῥαντιζόμενοι διὰ κλάδου ἐλαίας βαπτισθέντος εἰς τὸ καθαρτήριον ὕδωρ. ἐχρῶντο δὲ καὶ τῇ δάφνῃ οὐ μόνον καθαρισμοῦ ἕνεκα, ἀλλὰ καὶ ὡς φυτὰ καθεκτικὰ τῆς ἀρετῆς, καὶ τῶν κακῶν ἀπελαστικά· ταῦτα δὲ ὁ δεισιδαίμων καταχρᾶται καὶ ἄλλα δέ, οἷς καὶ τόγε νῦν ἔχων ἔστιν εὑρεῖν τὰς γραῦς χρωμένας.

8. Ὀρφεοτελ.) Μυστήρια ἦν παρ' Ὀρφέως ἀχθέντα εἰς Ἕλληνας· οἱ δὲ ταῦτα τελοῦντες ἐκαλοῦντο ὀρφεοτελεσταί, οἵτινες ὑπισχνοῦντο εὐδαιμονίαν ἐν τῷ μέλλοντι. Πλούτ. ἀποφθ. Λακωνικ.

9. Σκίλλῃ ἢ σκύλακι) Σκίλλα εἶδος βοτάνης θανατηφόρου διὰ τὸ πολὺ πικρὸν εἶναι, καθάρσιον δὲ ἦν τοῦτο· ὅπερ καὶ τὸ προτρέπειν τῇ Ἑκάτῃ σκύλακας.

ιή. 2. Ἐφθόν.) Οἷον· φοβηθεὶς ἵνα μὴ καὶ ζωμοῦ γεύσωμαι, καὶ οἶνον πίω, οὐκ ἐκάλεσας ἐπὶ τὸ δεῖπνον· τὸ δ' ἐφθόνησας, ἔστιν ἔντισιν ἐφθόνησεν· ἴν' ᾖ· ὁ κύριός σου ἐφθόνησεν.

Καὶ εὑρών τι καὶ ἐν τῇ ὁδῷ βαλάντιον, εἰπεῖν, «ἀλλ᾽ οὐ θη-
5 σαυρὸν εὕρηκα οὐδέποτε». Καὶ πριάμενος ἀνδράποδον ἄξιον,
καὶ πολλὰ δεηθεὶς τοῦ πωλοῦντος, «θαυμάζω, εἰπεῖν, ὅτι ὑγιὲς
6 οὕτω ἄξιον ἐώνημαι». Καὶ πρὸς τὸν εὐαγγελιζόμενον, ὅτι, «υἱός
σοι γέγονεν», εἰπεῖν, ὅτι «ἂν προσθῇς, καὶ τῆς οὐσίας τὸ ἥμισυ
7 ἄπεστιν, ἀληθῆ ἐρεῖς». Καὶ δίκην νικήσας, καὶ λαβὼν πάσας
τὰς ψήφους, ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον, ὡς πολλὰ παρα-
8 λελοιπότι τῶν δικαίων. Καὶ ἑράνου εἰσενεχθέντος παρὰ τῶν φί-
λων, καὶ φήσαντός τινος, «ἱλαρὸς ἴσθι, καὶ πῶς; (εἰπεῖν) ὅτι
»δεῖ τὸ ἀργύριον ἀποδοῦναι ἑκάστῳ, καὶ χωρὶς τούτων χάριν ὀ-
»φείλειν ὡς εὐηργετημένον»;

ιθ'. Κεφ. ΙΗ'. Περὶ Ἀπιστίας.

Ἔστιν ἀμέλει ἀπιστία, ὑπόληψίς τις ἀδικίας κατὰ πάντων.
2 Ὁ δὲ ἄπιστος τοιοῦτός τις, οἷος ἀποστείλας τὸν παῖδα ἀψωνή-
3 σοντα, ἕτερον παῖδα πέμπειν πευσόμενον πόσου ἐπρίατο. Καὶ
φέρων αὐτὸς τὸ ἀργύριον, καὶ κατὰ στάδιον ἀριθμεῖν πόσον
4 ἐστί. Καὶ τὴν γυναῖκα τὴν αὐτοῦ ἐρωτᾶν κατακειμένους, εἰ κέκλεικε
τὴν κιβωτόν, καὶ εἰ σεσήμανται τὸ κοιλιούχιον, καὶ εἰ ὁ μοχλὸς
εἰς τὴν θύραν τὴν αὐλείαν ἐμβέβληται· καὶ ἐὰν ἐκείνη φῇ, μηδὲν
ἧττον αὐτὸς ἀναστὰς γυμνὸς ἐκ τῶν στρωμάτων καὶ ἀνυπόδητος,
τὸν λύχνον ἅψας, ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι, καὶ
5 οὕτω μόλις ὕπνου τυγχάνειν. Καὶ τοὺς ὀφείλοντας αὐτῷ ἀργύριον
μετὰ μαρτύρων ἀπαιτεῖν τοὺς τόκους, ὅπως μὴ δύνωνται ἔξαρνοι
6 γενέσθαι. Καὶ τὸ ἱμάτιον δὲ ἐκδοῦναι δεινός, οὐχ ὡς βέλτιστα
7 ἐργάσεται, ἀλλ᾽ ὅτ᾽ ἂν ᾖ ἄξιος ἐγγυητὴς τοῦ κναφέως. Καὶ ὅτ᾽
ἂν ἥκῃ τις αἰτησόμενος ἐκπώματα, μάλιστα μὲν μὴ δοῦναι· καὶ
τὸν παῖδα δὲ ἀκολουθοῦντα κελεύειν αὐτοῦ ὄπισθεν μὴ βαδίζειν,
ἀλλ᾽ ἔμπροσθεν, ἵνα φυλάττηται αὐτῷ μή ἐν τῇ ὁδῷ ἀποδράσῃ.

---

5. Ὅτι ὑγιὲς) Ὃν τὸ ἀνδράποδον· ἤτοι Θαυμάζω ὅτι οὕτως εὐθυνῶς ἐπώλησε τὸ ἀνδράποδον χωρὶς τινος πηρώματος ὄν.

8. Καὶ χωρὶς τούτ.) Ἐκτὸς τῶν ἀργυρίων· ὅπερ ἐστὶ καὶ ἀργύριον δοῦναι δεῖ, καὶ πρὸς τούτοις καὶ χάριν προσοφείλειν ὡς εὐηργετημένον.

ιθ'. 4. Ἐκείνη φῇ) Ὁμολογήσῃ ὅτι ταῦτα πάντα ἐγένοντο.

5. Καὶ τοὺς ὀφείλ.) Ἤτοι· Πρὸ αὐτῶν τῶν μαρτύρων, οἷς ἐχρεῖτο, δανείζων, ἀπαιτεῖ τοὺς τόκους παρὰ τῶν ὀφειλόντων· τὸ δὲ ἀπαιτῶ καὶ αἰτιατικὴ καὶ γενικῇ μετὰ τῆς παρὰ συντάσσεται· οἷον· ἀπαιτῶ σε τὸ χρέος, καὶ ἀπαιτῶ τὰ ὀφειλόμενα παρὰ σοῦ.

6. Οὐχ ὡς βέλτισ.) Ὅπερ ἐστί. Τότε δίδωσι τὸ ἱμάτιον κναφεῖ, ὅταν εὕρῃ ἐγγυητὴν ἄξιον ἔχοντα, καὶ οὐ μέλει αὐτῷ, εἰ ἐργάσαιτο ὡς βέλτιστα, ἢ μή.

7. Μάλιστα μὲν) Πάντως δεινός ἐστι μὴ δοῦναι.

— Καὶ τὸν παῖδ.) Καί, ὅταν ὁ παῖς ἀκολουθῇ αὐτῷ, δεινός ἐστι κελεύειν ἔμπροσθεν βαδίζειν, ἀπιστῶν αὐτῷ μὴ ἀποδράσῃ.

Καὶ τοῖς εἰληφόσι τι παρ' αὐτοῦ καὶ λέγουσι «πόσου, κατάθου· οὐ γὰρ σχολάζω πέμπειν».

κ'. Κεφ. ΙΘ'. Περὶ Δυσχερείας.

Ἔστι δὲ ἡ δυσχέρεια, ἀθεραπευσία σώματος, λύπης παρασκευαστική. Ὁ δὲ δυσχερὴς τοιοῦτός τις, οἷος λέπραν ἔχων καὶ ἀλ- 2
φὸν καὶ τοὺς ὄνυχας μεγάλους περιπατεῖν· καὶ φῆσαι ταῦτα εἶναι αὐτῷ συγγενῆ ἀρρωστήματα, καὶ τὸν πατέρα ἔχειν, καὶ τὸν πάππον. Ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν ἐν τοῖς ἀντικνημίοις, καὶ προσπταίσματα ἐν τοῖς δακτύλοις, καὶ ταῦτα μὴ θεραπεῦσαι, ἀλλ' ἐᾶσαι θηριωθῆναι. Καὶ τὰς μασχάλας θηριώ- 3
δεις καὶ δασείας ἔχειν ἄχρις ἐπὶ πολὺ τῶν πλευρῶν· καὶ τοὺς ὀδόντας μέλανας καὶ ἐσθιομένους, ὥστε δυσέντευκτος εἶναι καὶ ἀηδής. Καὶ τὰ τοιαῦτα· ἐσθίων ἀπομύττεσθαι· θύειν ἀρξάμενος 4
προσλαλεῖν, καὶ ἀποῤῥίπτειν ἀπὸ τοῦ στόματος· ἅμα πιεῖν, προστερυγγάνειν· ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ χρῆσθαι· ἱμάτιον κηλίδων μεστὸν ἀναβαλόμενος, εἰς ἀγορὰν ἐξελθεῖν. Καὶ εἰς ὀρ- 5
νιθοσκόπου τῆς μητρὸς ἐξελθούσης βλασφημῆσαι. Καὶ εὐχομένων καὶ σπενδόντων ἐκβαλεῖν τὸ ποτήριον, καὶ γελάσαι ὡς τεράστιόν τι πεποιηκώς. Καὶ αὐλούμενος δὲ κροτῆσαι ταῖς χερ- 6
σὶ μόνος τῶν ἄλλων, καὶ συντερετίζειν, καὶ ἐπιτιμᾶν τῇ αὐλητρίδι μὴ ταχὺ παυσαμένῃ. Καὶ ἀποπτύσαι δὲ βουλόμενος 7
ὑπὲρ τῆς τραπέζης, προσπτύσαι τῷ οἰνοχόῳ.

κά. Κεφ. Κ'. Περὶ Ἀηδίας.

Ἔστι δὲ ἀηδία, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις λύπης ποιητικὴ ἄνευ βλάβης. Ὁ δὲ ἀηδὴς τοιοῦτός τις, οἷος ἐγείρειν ἄρτι καθεύδοντα εἰσελθών, ἵν' αὐτῷ λαλῇ. Καὶ ἀνάγεσθαι δὴ μέλλον- 2
τας κωλύειν, καὶ προσελθὼν δεῖσθαι ἐπισχεῖν ἕως ἂν περιπατήσῃ. Καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος, μασώμενος 3
σιτίζειν αὐτός, καὶ ὑποκορίζεσθαι ποππύζων. Καὶ ἐσθίῳ δὲ ἅ- 4
μα διηγεῖσθαι, ὡς ἑλλέβορον πιὼν ἄνω καὶ κάτω καθαρθείη,

---

8. Καὶ τοῖς εἰληφ.) Ἤγουν. Καὶ τοῖς εἰληφόσι τι παρ' αὐτοῦ, καὶ ἐρωτῶσι πόσου πωλεῖς αὐτό; ὁρῶν ὡς οὐ καταβάλλουσιν εὐθὺς τὰ χρήματα· δεινός ἐστιν ἀποκρίνασθαι καὶ εἰπεῖν· κατάθου τοῦτο· ἢ τὰ χρήματα· οὐ γὰρ ἐστί μοι σχολὴ πέμπειν πρὸς ὑμᾶς, καὶ ἀπαιτεῖν τὸ ἀργύριον.

κ. 2. Θηριωθῆν.) Ἐναντία πάσης ἰάσεως γενέσθαι.

3. Καὶ ἐσθιομ.) Ὅπερ ἐστὶ κατασυντετριμμένους ἐκ τῆς ῥυπαρίας καὶ ἀκαθαρσίας, κατατρώγει γὰρ τούτους ὁ ῥύπος.

4. Καὶ τὰ τοιαῦτα.) Καὶ τὰ ἑξῆς δηλαδή.

— Καὶ ἀπορρίπτ.) προσλαλοῦντος γὰρ τοῦ στόματος πλήρους, ἐξέρχονται τοῦ βρώματος μερίδια, καὶ ἀπορρίπτονται ἀπ' αὐτοῦ.

5. Ἐκβαλεῖν.) Ἐᾶ τὸ ποτήριον πεσεῖν ἐκ τῶν χειρῶν αὐτοῦ.

κά. 2. Ἕως ἂν περιπατ.) Ἕως τελειώσῃ τὸν αὐτοῦ περίπατον.

3. Ποππύζ.) Ποππύζω, φησὶ Βαρῖνος, ποιὰ λέξεις παρωνομασμένη ἀπὸ τῶν ἡ μερούντων τοὺς ἵππους οὕτω καὶ τοῦ

καὶ ζωμοῦ τοῦ παρακειμένου ἐν τοῖς ὑποχωρήμασιν αὐτῷ μελαν-
5 τέρα ἡ χολή. Καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίων τῶν οἰκείων, ὡς «ποίᾳ ἡμέρᾳ με ἔτεκτες»; Καὶ ὅτι ψυχρὸν ὕδωρ ἐστὶ παρ
6 αὐτῷ λακκαῖον· καὶ ὡς κῆπος λάχανα πολλὰ ἔχων καὶ ἁπαλά.
7 Καὶ ὅτι ἡ οἰκία αὐτοῦ πανδοκείου ἐστί. Καὶ ξενίζων δὲ δεῖξαι τὸν παράσιτον αὐτοῦ ποιός τις· καὶ παρακαλῶν δὲ ἐπὶ τοῦ ποτηρίου, ὅτι «τέρψον τοὺς παρόντας».

κβ'. Κεφ. ΚΑ'. Περὶ Μικροφιλοτιμίας.

Ἡ δὲ μικροφιλοτιμία δόξειεν ἂν εἶναι ὄρεξις τιμῆς ἀνελεύ-
2 θερος. Ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις, οἷος σπουδάσαι, ἐπὶ δεῖπνον κληθείς, παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δει-
3 πνῆσαι. Καὶ τὸν υἱὸν ἀποκεῖραι ἀπαγαγὼν εἰς Δελφούς. Καὶ ἐπιμεληθῆναι δὲ ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔσται. Καὶ ἀ-
4 ποδοὺς μνᾶν ἀργυρίου, καινὸν ποιῆσαι ἀποδοῦναι. Καὶ βοῦν θύσας, τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλεῦσαι, στέμμασι μεγάλοις περιθήσας, ὅπως οἱ εἰσιόντες ἴδωσιν,
5 ὅτι βοῦν ἔθυσε. Καὶ πομπεύσας δὲ μετὰ τῶν ἱππέων, τὰ μὲν ἄλλα πάντα δοῦναι· τῷ παδὶ ἀπενεγκεῖν οἴκαδε· ἀναβαλό-
6 μενος δὲ θοιμάτιον ἐς τὴν ἀγορὰν περιπατεῖν. Καὶ κυναρίου δὲ τελευτήσαντος, αὐτῷ μνῆμα καὶ στηλίδιον ποιήσας, ἐπιγρά-ψαι· «κλάδος Μελιταῖος». Καὶ ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν τῷ
7 Ἀσκληπιείῳ, τοῦτον ἐκτρίβειν στεφανῶν. Καὶ ἀλείφεσθαι ὀση-
8 μέραι. Ἀμέλει δὲ καὶ συνοἰκήσασθαι παρὰ τῶν πρυτάνεων,

ἀηδοῦς πρὸς τὸν παῖδα οἱ ὑποκορισμοί, καθάπερ πρὸς ἀδάμαστον ἵππον γίνονται.

4. Καὶ ζωμοῦ τοῦ παρ.) καὶ ἡ χολὴ ἡ ἐξελθοῦσα αὐτοῦ· ὅτε ἐκ τοῦ στόματος καὶ ἐκ τοῦ πρωκτοῦ ἐξήρχοντο τὰ ὑποχωροῦντα μᾶλλον ἦν μέλαινα, ἢ ὁ προκείμενος ζωμός.

5 Ἐρωτῆσαι) Τὴν μητέρα δηλ.

— Ἐγὼν) Ἐννοεῖται, ἐστί.

7. Ἐπὶ τοῦ ποτηρ.) Ἐκστάζων ἐν χρῆσί τὸ ποτήριον, παρακαλεῖ τὸν παράσιτον, ἵνα τέρψῃ τοὺς παρόντας, ἀστεϊζόμενος δηλ.

κβ'. 3. Καὶ τὸν υἱόν) Ἔθος ἦν παρ' Ἀθηναίοις, ἐφήβους γενομένους τοὺς παῖδας εἰς Δελφοὺς πέμπειν καὶ κείρειν. Ἱλούταρχ. ἐν Θησεῖ· ἔξῆν δὲ καὶ ἐν οἴκῳ τοῦτο ποιῆσαι· ὁ δὲ μικροφιλότιμος αὐτὸς ἄγει τὸν παῖδα εἰς Δελφοὺς ἀποκεῖραι.

— Αἰθίοψ) Πᾶν τὸ μεσημβρινὸν τῆς Λιβύας, ἡ Ἀφρικὴ Αἰθιοπία λέγεται, διὰ τὸ εἶναι τοὺς κατοίκους μέλανας, ὡς αἰθομένους τὴν ὄψιν.

— Καινὸν ποιῆσ.) Ἤγουν, Ἐὰν ὀφείλῃ ἀποδοῦναι μνᾶν ἀργυρίου, οἷός ἐστὶν ποιῆσαι τὸ ἀργύριον καινόν· καὶ ἀποδοῦναι, ἵνα δόξῃ τοιοῦτον ἔχων.

5. Ἀναβαλόμενος) Ἐνδυόμενος δὲ τὸ τῆς πομπῆς τῆς ἱππικῆς ἱμάτιον, ἐς τὴν καὶ τλ.

6. Κλάδος Μελιτ.) Ἀντὶ ἐκ Μελίτου ἦν τὸ τελευτῆσαν κυνάριον· ἐκεῖθεν γὰρ ἦσαν τὰ ἐξαίρετα.

7. Τοῦτον ἐκτριβ.) Τὸν Ἀσκληπιόντὸ ἄγαλμα δηλαδὴ τοῦ Ἀσκληπιοῦ καθ' ἡμέραν στεφανῶν δι' ἐπίδειξιν.

8. Παρὰ τῶν πρυτάν.) Ἡ Βουλὴ τῶν Ἀθηναίων συνισταμένη ἐκ τῶν δέκα φυλῶν ἀπὸ πεντακοσίων, διῃρεῖτο εἰς δέκα μέρη, ὧν ἕκαστον ἐπρώτευε τῶν λοιπῶν ἐν τριάκοντα καὶ ἐξ μὲν ἡμέρας τὰ τέσσαρα πρῶτα, ἐν τριάκοντα καὶ πέντε δὲ, τὰ λοιπὰ μέρη· τὸ δὲ πρωτεῦον ἐκαλεῖτο Πρυτάνεις· οὗτοι δὲ συ-

ὅπως ἀπαγγείλῃ τῷ δήμῳ τὰ ἱερά· καὶ παρασκευασάμενος λαμπρὸν ἱμάτιον, καὶ ἐστεφανωμένος παρελθὼν εἰπεῖν· « ὦ ἄνδρες Ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις τὰ ἱερὰ τῇ μητρὶ τῶν θεῶν ἄ- »ξια καὶ καλά· καὶ ὑμεῖς δέχεσθαι τὰ ἀγαθά.« Καὶ ταῦ- 9
τα ἀπαγγείλας, ἀπιὼν δειπνήσασθαι οἴκαδε τῇ ἑαυτοῦ γυναικί ὡς καθ' ὑπερβολὴν εὐημερεῖ.

κγ'. Κεφ. ΚΒ'. Περὶ Ἀνελευθερίας.

Ἡ δὲ ἀνελευθερία ἔστι περιουσία τις ἀπὸ φιλοτιμίας δαπάνην ἔχουσα. Ὁ δὲ ἀνελεύθερος τοιοῦτός τις, οἷος νικήσας τραγῳδοῖς, 2
ταινίαν ἀναθεῖναι ξυλίνην τῷ Διονύσῳ, ἐπιγράψας αὐτοῦ τὸ ὄ- 3
νομα. Καὶ ἐπιδόσεων γινομένων ἐκ τοῦ δήμου, ἀναστὰς, σιω- 4
πᾷν, ἢ ἐκ τοῦ μέσου ἀπελθεῖν. Καὶ ἐκδιδοὺς αὐτοῦ θυγατέρα, τοῦ μὲν ἱερείου, πλὴν τῶν ἱερῶν, τὰ κρέα ἀποδίδοσθαι· τοὺς δὲ διακονοῦντας ἐν τοῖς γάμοις, οἰκοσίτους μισθώσασθαι. Καὶ 5
τριηραρχῶν, τὰ τοῦ κυβερνήτου στρώματα ἐπὶ τοῦ καταστρώματος ὑποστορέννυσθαι, τὰ δὲ αὐτοῦ ἀποτιθέναι. Καὶ ἐξ ἀγο- 6
ρᾶς δὲ ὀψωνήσας, τὰ κρέα αὐτὸς φέρειν καὶ τὰ λάχανα ἐν τῷ προκολπίῳ. Καὶ ἔνδον μένειν, ὅτ' ἂν ἐκδῷ θοιμάτιον ἐκπλῦναι. Καὶ φίλου ἔρανον συλλέγοντος, προειδόμενος, ἀποκάμψας 7
ἐκ τῆς ὁδοῦ οἴκαδε πορευθῆναι. Καὶ μὴ πρίασθαι θεραπαίνας,

ηθροίζοντο περὶ τῶν δημοσίων πραγμάτων ἐν τῷ καλουμένῳ Πρυτανείῳ· ὅθεν καὶ ὁ μικροφιλότιμος, οἷός ἐστι καὶ συνδιοικήσασθαι παρὰ τῶν Πρυτάνεων, οὐχ ἄλλου του, ἢ ὅπως ἐπιδείξασθαι ἀπαγγέλλων τῷ δήμῳ τὰ ἱερά.

— Ὅπως ἀπαγγ.) Ἐν ἑκάστῃ Πρυτανείᾳ τέσσαρες ἐκκλησίαι ἐγίνοντο τοῦ δήμου ἐν τῇ δεκάτῃ, εἰκοστῇ, τριακοστῇ, καὶ τριακοστῇ τρίτῃ· ὧν ἡ τετάρτη ἦν περὶ θείων καὶ ἱερῶν πράξεων· περὶ ἧς ἐνταῦθα ὁ λόγος.

— Τῇ μητρὶ τῶν θ.) Τῇ Κυβέλῃ, ἧς τὸ ἱερὸν ἦν πλησίον τοῦ βουλευτερίου· λέγεται δὲ αὕτη μήτηρ τῶν θεῶν, γυνὴ οὖσα Κρόνου· ἐκ γὰρ τοῦ Κρόνου καὶ τῆς Ῥέας, ἥτις ἐστὶν ἡ Κυβέλη, οἱ θεοὶ, Ζεὺς, Πλούτων, Ποσειδῶν· ἐξ ὧν οἱ λοιποὶ θεοί· ὅθεν ἡ Κυβέλη καὶ μήτηρ τῶν θεῶν, καὶ μεγάλη μήτηρ ἐκαλεῖτο.

κγ'. Περιουσία. . . ἔχουσα) Ἔστι δηλαδὴ ἡ ἀνελευθερία πορισμὸς χρημάτων, ὅτε δαπάνην ἔχει ἀπὸ φιλοτιμίας τινὸς γινομένην ὅπερ ἐστίν· ὅτε καιρὸς ἐστὶ δαπανᾶν διὰ φιλοτιμίαν, τότε ἐὰν μὴ κατὰ τὸ ἐκ φιλοτιμίας ἀπαιτούμενον γένηται ἡ δαπάνη, τοῦτό ἐστιν ἡ ἀνελευθερία· συλλογὴ δηλαδὴ οὐσίας, ὅτε ἡ φιλοτιμία δαπάνην ἀπαιτεῖ.

2. Ξυλίνην) Ὅτε τυλάχιστον ἔδει ἀναθεῖναι ἐκ χαλκοῦ.

3. Ἐπιδόσ.) Ὅτε δηλαδὴ ὁ δῆμος ἐκκλησίαν ποιεῖται, καὶ ἕκαστος προσφέρει χάριν πρὸς τὸ κοινὸν τὸ κατὰ δύναμιν, ὁ ἀνελεύθερος ἀναστὰς, ἢ σιωπᾷ, ἢ φεύγει· ὁπότε γὰρ ἐν ἀνάγκῃ ἦσαν οἱ Ἀθηναῖοι, ἐκκλησίας γενομένης, προσέφερον ἕκαστος κατὰ τὸ δυνατὸν αὐτοπροαιρέτως ὑπὲρ τῆς πατρίδος ἀναστάς, καὶ αἱ τοιαῦται προσφοραὶ Ἐπιδόσεις ὠνομάζοντο. Δημοσθ. κατὰ Μειδίου.

4. Πλὴν τῶν ἱερ.) Θύουσιν ἔθος ἦν τὰ μὲν καίειν, ἃ ἐκαλεῖτο ἱερὰ τοῦ θύματος, τὰ δὲ τῷ ἱερεῖ δοῦναι, τὰ δὲ λοιπὰ διαδιδόναι τοῖς φίλοις· ὁ δ' ἀνελεύθερος, τὰ ἱερὰ μόνον καὶ τὰ τῷ ἱερεῖ ἐξ ἀνάγκης ἐδίδου, τὰ δὲ λοιπὰ τοῦ θύματος κρέα ἐπώλει.

5. Καὶ τριηραρχ.) Τριήραρχοι ἐλέγοντο, ὅσοι συνετέλουν εἰς κατασκευὴν τριήρους. οἵτινες καὶ ἄρχοντες ἐγίνοντο ταύτης· ὁ δὲ ἀνελεύθερος τυχών ποτε ἄρχων τριήρους, τὰ μὲν ἑαυτοῦ στρώματα φυλάττει, κάθηται δὲ ἐπὶ τῶν τοῦ κυβερνήτου τῆς τριήρους.

7. Ἀποκάμψας) Ἵνα μὴ δῷ δηλονότι τὸν ἔρανον.

— Εἰς τὰς ἐξόδ.) Ὅταν δηλαδὴ ἐξέρχεται ἡ γυνὴ αὐτοῦ, τότε μισθοῖ θεραπαίνας.

8 ἀλλὰ μισθοῦσθαι εἰς τὰς ἐξόδους. Καὶ ἀναστὰς τὴν οἰκίαν καλλῦναι, καὶ τὰς κλίνας ἐκκορίσαι. Καὶ καθεζόμενος παραστρέψαι τὸν τρίβωνα ὃν αὐτὸς φορεῖ.

κδ'. Κεφ. ΚΓ'. Περὶ Ἀλαζονείας.

Ἀμέλει δὲ ἡ ἀλαζονεία δόξειεν ἂν εἶναι προσδοκία τινῶν ἀ-
2 γαθῶν οὐκ ὄντων. Ὁ δὲ ἀλαζὼν τοιοῦτός τις, οἷος ἐν τῷ διαζεύγματι ἑστηκὼς διηγεῖσθαι ξένοις, ὡς πολλὰ χρήματα αὐτῷ ἔστιν ἐν τῇ θαλάττῃ· καὶ περὶ τῆς ἐργασίας τῆς δανειστικῆς διε-
3 ξιέναι ἡλίκη, καὶ αὐτὸς ὅσα εἴληφε. Καὶ συνοδοιπόρου ἀπολαύσας ἐν τῇ ὁδῷ, λέγειν ὡς μετ' Ἀλεξάνδρου ἐστρατεύσατο· καὶ ὅσα λιθοκόλλητα ποτήρια ἐκόμισε· καὶ περὶ τῶν τεχνιτῶν τῶν ἐν τῇ Ἀσίᾳ, ὅτι βελτίους εἰσὶ τῶν ἐν τῇ Εὐρώπῃ, ἀμφισβη-
4 τῆσαι. Καὶ γράμματα εἰπεῖν ὡς πάρεστι παρ' Ἀντιπάτρου,
5 τρίτον δὴ λέγοντα παραγενέσθαι αὐτὸν εἰς Μακεδονίαν. Καὶ διδομένης αὐτῷ ἐξαγωγῆς ξύλων ἀτελοῦς, εἰπεῖν ὅτι ἀπείρηται,
6 ὅπως μηδ' ὑφ' ἑνὸς συκοφαντηθῇ. Καὶ ἐν τῇ σιτοδείᾳ ὡς πλείω ἢ πέντε τάλαντα γένοιτο αὐτῷ τὰ ἀναλώματα, διδόντι τοῖς ἀ-
7 πόροις τῶν πολιτῶν. Καὶ ἀγνώστων δὲ παρακαθημένων, κελεῦσαι θεῖναι τὰς ψήφους, καὶ ποσοῦν αὐτὰς, καθ' ἑξακοσίους, κατὰ μίαν· καὶ προστιθεὶς πιθανὰ ἑκάστοις τούτων ὀνόματα, καὶ ποιῆσαι δέκα τάλαντα, καὶ τοῦτο φῆσαι εἰσενηνοχέναι εἰς ἐρά-

---

8. Καὶ ἀναστάς.) Ἔωθεν δηλ.

— Παραστρέψαι.) Στρέψαι ἐκ τοῦ ἄλλου μέρους ἵνα μὴ ῥυπωθῇ.

κδ'. Ἀγαθῶν οὐκ ὄντ.) Ὅθεν καὶ Ξενοφ. Κύρ. Παιδ. Β'. β'. 5. περιγράφων τὸν ἀλαζόνα φησί. »Ὃν μὲν γὰρ ἀλαζὼν ἔμοιγε δο»κεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιουμέ»νοις καὶ· πλουσιωτέροις εἶναι, ἢ εἰσί. »καὶ ἀνδροτέροις· καὶ ποιήτειν, ἃ μὴ »ἱκανοί εἰσιν ὑπισχνουμένοις, καὶ ταῦτα »φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαθεῖν ἕ»νεκα καὶ κερδάναι ποιοῦσι.«

2. Ἐν τῷ διαζεύγματι) Ἐν τῷ στενῷ δηλονότι τόπῳ· ἔνθα ὁ Πειραιεὺς καθάπερ χερσόννησος χωρίζεται· τούτῳ γὰρ διαζευγνύεται ὁ Πειραιεὺς τῆς Ἀττικῆς· καὶ δῆλον ὅτι περὶ θαλάττης διαλέγεται τοῖς ξένοις ὁ ἀλαζών.

— Καὶ περὶ τῆς ἐργασ.) Δημοσθ. κατὰ Φορμίου, λέγει ὅτι ἐδάνειζον τοῖς ἀπὸ Πειραιῶς εἰς τὸν Κιμμερικὸν Βόσπορον πλέουσιν ἀπὸ 22 καὶ ἥμισυ μέχρι τῶν τριάκοντα τόκον ἐν ἑκάστῃ ἑκατοστύϊ· περὶ ταύτης οὖν τῆς δανειστικῆς φαίνεται ἀλαζονευόμενος ὁ ἀλαζών.

3. Συνοδοιπ.) Ἵνα δηλονότι ἐπιστρέψῃ ἀπὸ τοῦ Πειραιῶς εἰς Ἀθήν.

4. Γρίτον.) Τινὲς διορθοῦσι τριταῖον· ἤτοι ἐν τρισὶν ἡμέραις· τὸ γὰρ τρίτον αὐτὸν οὐδὲν ἀλλ' ὅτι μετὰ δυοῖν ἑτέρων παραγενέσθαι δηλοῖ· οὕτω γὰρ ἔθος παρ' Ἕλλησι λέγειν τὸν ὑπερέχοντα τῷ ἐσχάτῳ ἀριθμῷ μετὰ τοῦ αὐτὸς, καὶ δηλοῦν καὶ τὸν ἀριθμὸν τῶν σὺν αὐτῷ.

5. Καὶ διδομ.) Παρὰ Ἀντιπάτρου δηλαδή· οἱ γὰρ Ἀθηναῖοι ξύλα ἐκ Μακεδονίας εἰς Ἀθήνας ἔφερον Θουκυδ. ξυγγ. Δ'. ῥή.

6. Σιτοδεία.) Τῇ ἐνδείᾳ τοῦ σίτου, τῇ ἐλλείψει τοῦ σίτου.

7. Θεῖναι τὰς ψήφ.) Τρόπος τοῦ ἀριθμεῖν, καθάπερ νῦν ἐν τῇ Ἑλλάδι διὰ τῶν κυάμων μάλιστα αἱ γραῦς ποιοῦσι τοὺς λογισμούς· οὕτω δὴ καὶ τότε διὰ τῶν ψήφων· διαιρουμένων γὰρ ἐν διαφόροις εἴδεσι τῶν νομισμάτων· ἐτίθεντο ψήφους κατὰ τὰ εἴδη, καὶ εἴτι γένοιτο ἐκ τῶν ἐλαττόνων μεῖζον ἀφῃροῦντο καὶ προσετίθεταν τοῖς μείζουσι καὶ τοῦτον τὸν τρόπον ἀπόνως τελευτῶσιν εὑρίσκετο τὸ κεφάλαιον.

— Καθ' Ἑξακοσίους κατὰ μίαν) Εἰς

νους αὐτόν· καὶ τὰς τριηραρχίας εἰπεῖν ὅτι οὐ τίθησιν, οὐδὲ τὰς λειτουργίας ὅσας λελειτούργικε. Καὶ προσελθὼν δὲ τοῖς τοὺς ἵππους τοὺς ἀγαθοὺς πωλοῦσι, προσποιήσασθαι ὠνητιᾶν. Καὶ ἐπὶ τὰς σκηνὰς ἐλθὼν, ἱματισμὸν ζητῆσαι εἰς δύο τάλαντα· καὶ τῷ παιδὶ μάχεσθαι, ὅτι οὐκ ἔχων χρυσὸν αὐτῷ ἀκολουθεῖ. Καὶ ἐν μισθῷ τὴν οἰκίαν οἰκῶν, φῆσαι ταύτην εἶναι τὴν πατρῴαν, πρὸς τὸν μὴ εἰδότα· καὶ ὅτι μέλλει πωλεῖν αὐτὴν διὰ τὸ ἐλλάττω εἶναι πρὸς τὰς ξενοδοχίας.

κέ. Κεφ. ΚΔ'. Περὶ Ὑπερηφανίας.

Ἔστι δὲ ὑπερηφανία καταφρόνησίς τις, πλὴν αὐτοῦ τῶν ἄλλων. Ὁ δὲ ὑπερήφανος τοιός δέ τις, οἷος τῷ σπεύδοντι ἀπὸ δείπνου ἐντεύξεσθαι φάσκειν ἐν τῷ περιπατεῖν. Καὶ εὖ ποιήσας, μεμνῆσθαι φάσκειν ἐν ταῖς ὁδοῖς, καὶ βιάζειν. Καὶ προσελθεῖν πρότερος οὐθενὶ θελῆσαι. Καὶ τοὺς πωλοῦντάς τι καὶ μεμισθωμένους δεινὸς κελεῦσαι ἥκειν πρὸς αὐτὸν ἀμ' ἡμέρᾳ. Καὶ ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ λαλεῖν τοῖς ἐντυγχάνουσι, κάτω νεύων. Ὅτ' ἂν δὲ αὐτῷ δόξῃ ἑστιᾶν τοὺς φίλους, αὐτὸς μὴ συνδειπνεῖν, ἀλλὰ τῶν ὑφ' αὐτὸν τινὶ συντάξαι αὐτῶν ἐπιμελεῖσθαι. Καὶ προαποστέλλειν δὲ ἐπὰν πορεύηται τὸν ἐρῶντα ὅτι ἔρχεται. Καὶ οὔτε ἐπ' ἀλειφόμενον αὐτὸν οὔτε ἐσθίοντα ἐᾶσαι ἂν εἰσελθεῖν. Ἀμέλει δὲ καὶ λογιζόμενος πρός τινα, τῷ παιδὶ συντάξαι τὰς ψήφους διωθεῖν· καὶ κεφάλαιον ποιήσαντι γράψαι αὐτῷ εἰς λόγον. Καὶ μὴν ἐπιστέλλων, μὴ γράψαι, ὅτι «χαρίζοιο ἄν μοι» ἀλλ' ὅτι «βούλομαι γενέσθαι» καὶ «ἀπέστειλα πρὸς σὲ λιψόμενος» καὶ «ὅπως ἄλλως μὴ ἔσται,» καὶ, «τὴν ταχίστην»·

κς'. Κεφ. ΚΕ'. Περὶ Δειλίας.

Ἀμέλει δὲ ἡ δειλία δόξειεν ἂν εἶναι ὕπειξις τῆς ψυχῆς ἔμφοβος. Ὁ δὲ δειλὸς τοιοῦτός τις, οἷος πλέων τὰς ἄκρας φάσκειν ἡμιολίας εἶναι· καὶ, κλυδωνίου γενομένου, ἐρωτᾶν εἴ τις μὴ

Ἑξακοσίους κατὰ μίαν μνᾶν γενέσθαι τὰ ἀναλώματα· ὅπερ ἐστὶν ἑκάστῳ μίαν μνᾶν δέδωκε.

10. Τῷ παιδ.) Οἱ γὰρ πλούσιοι τοὺς δούλους ἀκολουθοῦντας εἶχον καὶ φέροντας ἢ χρυσίον ἢ ἀργύριον μεθ' ἑαυτῶν εἰς χρῆσιν τῶν κυρίων. Ἀθήν. βίβλ. ΙΒ' κεφ. ή.

κέ. 2. Ἐν τῷ περιπατ.) Οἱ Ἕλληνες μετὰ τὸ δεῖπνον εἴθιζον περιπατεῖν. Ξενοφ. Συμπόσ. κεφ. Δ'.

— Φάσκειν.) Καὶ εἴ τινι εὖ ἐποίησε, λέγειν ὅτι δεῖ μεμνῆσθαι, καὶ βιάζειν τοῦτο ποιῆσαι, ἐν ταῖς ὁδοῖς.

3. Οὐθενὶ θελῆσ.) Πρὸς οὐδένα ἐθέλει πρότερος προσελθεῖν.

— Ἀμ' ἡμέρᾳ) Τῇ ἐπιούσῃ δηλ.

6. Ἐπὰν πορ.) πρός τινα δηλ.

— Εἰσελθεῖν) Μηδένα δηλ. ὅτε αὐτὸς ἀλείφεται, ἢ ἐσθίει.

7. Διωθεῖν) Ἀντὶ τοῦ κελεύειν οἱ γὰρ ὑπερήφανοι ὥσπερ διωθοῦντες κελεύουσι τοὺς δούλους, εἴτι αὐτοῖς βουλομένοις, κελῶσαι.

—Ποιήσαντι . . . αὐτῷ) Καὶ λέγει αὐτῷ ποιήσαντι τὸ κεφάλαιον γράψαι εἰς λόγον.

κς'. 2. Ἡμιλίας) Πλοῖα μικρὰ χρήσιμα ἐν τῷ πολεμεῖν· οἷς δὴ καὶ πειράται ἐχρῶντο.

— Εἴτις μὴ μεμύητ.) Ἦγοντο γὰρ ἐν Σαμοθράκῃ μυστήρια τρικυμιῶν καὶ ναυαγιῶν κωλυτήρια· περὶ τούτων δοκεῖ λέγειν ὁ δειλὸς ὅτι· εἴ τις μὴ μεμ. κτλ.

μεμύηται τῶν πλεόντων· καὶ τοῦ κυβερνήτου ἀνακόπτοντος πυνθάνεσθαι εἰ μεσοπορεῖ, καὶ τί δοκεῖ αὐτῷ τὰ τοῦ Θεοῦ;
3 Καὶ πρὸς τὸν παρακαθήμενον λέγειν, ὅτι φοβεῖται ἀπὸ ἐνυπνίου τινός· καὶ ἐκδὺς διδόναι τῷ παιδὶ τὸν χιτωνίσκον· καὶ δεῖσθαι
4 πρὸς τὴν γῆν προσάγειν αὐτόν. Καὶ στρατευόμενος δὲ προσκαλεῖν πάντας πρὸς αὐτόν, καὶ στάντας πρῶτον περιϊδεῖν, καὶ λέγειν ὡς ἔργον διαγνῶναί ἐστι πότερόν εἰσιν οἱ πολέμιοι.
5 Καὶ ἀκούων κραυγῆς, ὁρῶν πίπτοντας, εἰπεῖν πρὸς τοὺς παρεστηκότας, ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ τῆς σπολάδος ἐπελάθετο· καὶ τρέχειν ὑπὸ τὴν σκηνήν, τὸν παῖδα ἐκπέμψας, κελεύειν προσκοπεῖσθαι ποῦ εἰσιν οἱ πολέμιοι, καὶ ἀποκρύψας αὐτὴν
6 ὑπὸ τὸ προσκεφάλαιον, εἶτα διατρίβειν πολὺν χρόνον. Καὶ ἐν τῇ σκηνῇ ὁρῶν τραυματίαν προσφερόμενον τῶν φίλων, προσδραμεῖν, καὶ θαρρεῖν κελεύειν, καὶ τοῦτον θεραπεύειν, καὶ περισπογγίζειν, καὶ μυίας σοβεῖν· καὶ πᾶν μᾶλλον ἢ μάχεσθαι τοῖς πολεμίοις· καὶ τοῦ σαλπιστοῦ πολεμικὸν σημήναντος, καθήμενος ἐν σκηνῇ, «ἄπαγ' ἐς κόρακας· οὐκ ἐάσεις τὸν ἄνθρωπον, ὕπνου λαβεῖν, πυκνὰ σημαίνων»; καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος, ἐντυγχάνειν τοῖς ἐκ τῆς μάχης ἐπανιοῦσι, καὶ διηγεῖσθαι ὡς κινδυνεύσας σέσωκε τὸν φίλον· καὶ εἰσάγειν πρὸς τὸν κατακείμενον σκεψομένους τοὺς φυλέτας, τὸν δῆμον· καὶ τούτων ἅμα ἑκάστῳ διηγεῖσθαι ὡς αὐτὸς αὐτὸν ταῖς αὐτοῦ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν.

κζ'. Κεφ. Κς'. Περὶ Ὀλιγαρχίας.

Δόξειεν ἂν εἶναι ἡ ὀλιγαρχία φιλαρχία τις ἰσχυροῦ κέρδους
2 γλιχομένους. Ὁ δὲ ὀλίγαρχος τοιοῦτος, οἷος τοῦ δήμου βουλομένου τινὰς τῷ ἄρχοντι ἐπιμελησόμενος πομπῆς, παρελθὼν
3 ἀποφήνας ἔχει. Καὶ τῶν Ὁμήρου ἐπῶν τοῦτο ἓν μόνον κατέ-

— Καὶ τοῦ κυβερν.) Καὶ τοῦ κυβερνήτου ἀσχολουμένου περὶ τὸ κυβερνᾶν, ὁ δειλὸς ἐρωτᾷ, εἰ ἐν πελάγει πλέοι.

— Τὰ τοῦ Θεοῦ) Εἰ βρέξει, εἰ τρικυμία γενήσεται· καὶ τὰ τοιαῦτα.

4. Ὡς ἔργον) Δυσχερέστατόν ἐστι διαγνῶναι, εἰ οἱ ἐρχόμενοί εἰσιν οἱ πολέμιοι.

5. Κραυγῆς) Τῆς ἐν τῇ μάχῃ.

6. Ἄπαγ' ἐς κόρ.) Παροιμία τοῦτο, ἀντὶ εἰς ὄλεθρον· ἦν δὲ τόπος ἐν Ἀθήναις Κόραξ καλούμενος, ἔνθα οἱ ῥιπτόμενοι εἰς ἀπώλειαν ἤρχοντο· τοιοῦτο δὲ καὶ τὸ παρ' ἡμῖν· ὕπαγε εἰς τὸ ἀνάθεμα.

— Τοὺς φυλέτας] Τοὺς ἐκ τῆς αὐτῆς φυλῆς δηλαδή· δέκα γὰρ αἱ τῶν Ἀθηναίων φυλαί· καὶ ἐκ τοῦ αὐτοῦ δήμου· εἶτ' οὖν χωρίου· ἦσαν δὲ δῆμοι περὶ τοὺς ἑκατὸν ἑβδομήκοντα τέσσαρας.

2. Ἕνα] Δηλονότι δεῖ αἱρεῖσθαι, ἢ ἐπιμελεῖσθαι τῆς πομπῆς. Σημειούσθω· ὅτι ἐννέα ἦσαν οἱ ἄρχοντες παρ' Ἀθηναίοις· ὧν ὁ πρῶτος ἐκαλεῖτο Ἐπώνυμος· ἀπ' αὐτοῦ γὰρ τὸ ἔτος ἐδηλοῦτο· οἷον· ἐπὶ ἄρχοντος Πεισοδώρου τό δε ἐγένετο· ὁ δεύτερος Βασιλεύς· ὁ τρίτος, Πολέμαρχος· οἱ δὲ λοιποί, Θεσμοθέται· ἔργον δὲ τοῦ ἄρχοντος καὶ τὰς πομπὰς μετὰ τῶν ἐπιμελητῶν διατιθέναι, Πολυδ. Η'. πθ. τούτῳ ὁ ὀλίγαρχος οὐ βούλεται τοὺς συνάρχοντας εἶναι.

χειν, ὅτι «οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω,» τῶν δὲ
ἄλλων μηδὲν ἐπίστασθαι. Ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις τῶν 4
λόγων χρήσασθαι, ὅτι «δεῖ ἡμᾶς συνελθόντας βουλεύσασθαι,
»καὶ ἐκ τοῦ ὄχλου καὶ τῆς ἀγορᾶς ἀπαλλαγῆναι, καὶ παύσα-
»σθαι ἀρχαῖς πλησιάζειν»· καὶ ὅτι ὑπό τινων ὑβριζόμενος εἰπεῖν,
δεῖ αὐτοὺς κἀμὲ τὴν πόλιν οἰκεῖν». Καὶ μέσον δὲ τῆς ἡμέρας 5
ἐξιών, καὶ μέσην κομρὰν κεκαρμένος, καὶ ἀκριβῶς ἀπωνυχι-
σμένος σοβεῖν τοὺς τοιούτους λόγους, « οὐκοικητέον ἐστὶ τὴν πό-
λιν », καὶ ὡς ἐν τοῖς δικαστηρίοις δεινὰ πάσχειν ὑπὸ τῶν δι-
καζομένων, καὶ ὡς αἰσχύνεται ἐν τῇ ἐκκλησίᾳ, ὅτ' ἄν τις πα-
ρακάθηται αὐτῷ λεπτὸς καὶ αὐχμῶν· καὶ ὡς μιστὸν τὸ τῶν
δημαγωγῶν γένος, τὸν Θησέα πρῶτον φήσας τῶν κακῶν τῇ πό-
λει γεγονέναι. Καὶ τοιαῦτα ἕτερα πρὸς τοὺς ξένους καὶ τῶν 6
πολιτῶν τοὺς ὁμοτρόπους.

κή. Κεφ. ΚΖ'. Περὶ Ὀψιμαθίας.

Ἡ δὲ ὀψιμαθία, φιλοπονία δόξειεν ἂν εἶναι ὑπὲρ τὴν ἡλικί-
αν. Ὁ δὲ ὀψιμαθὴς τοιοῦτός τις, οἷος ῥήσεις μανθάνειν ἐξή- 2
κοντα ἔτη γεγονώς. Καὶ ταῦτα λέγων παρὰ πότον ἐπιλανθάνε-
σθαι. Καὶ παρὰ τοῦ υἱοῦ μανθάνειν ἐπὶ τὸ δόρυ καὶ ἐπὶ ἀ- 3
σπίδα. Καὶ εἰς ἀγρὸν, ἐφ' ἵππου ἀλλοτρίου ὀχούμενος, ἅμα με-
λετᾶν ἀσπάζεσθαι, καὶ πεσὼν τὴν κεφαλὴν καταισχῦναι. Καὶ 4
μακρὸν ἀνδριάντα παίζειν. Καὶ πρὸς τὸν ἑαυτοῦ ἀκόλουθον διατο-
ξεύεσθαι, καὶ διακοντίζεσθαι· καὶ ἅμα μανθάνειν παρ' αὐτοῦ,
ὡς ἂν καὶ ἐκείνου μὴ ἐπισταμένου. Καὶ παλαίων ἐν τῷ βαλα 5
νείῳ πυκνὰ τὴν ἕδραν στρέφειν.

κθ'. Κεφ. ΚΗ'. Περὶ Κακολογίας.

Ἔστι δὲ ἡ κακολογία ἀγὼν τῆς ψυχῆς εἰς τὸ χεῖρον ἐν λό-
γοις. Ὁ δὲ κακολόγος τοιός δέ τίς ἐστιν, οἷος ἐρωτηθείς, ὁ δεῖ- 2
να τί ἐστι; καθάπερ οἱ γενεαλογοῦντες, πρῶτον ἀπὸ τοῦ γένους

---

3. Οὐκ ἀγ.) Ὁμηρ. Ἰλ. Β. 204.

5. Σοβεῖν) Πεπαρρησιασμένως χωρεῖν.

—Τὸν Θης.) Βασιλευομένης γὰρ τῆς Ἀττικῆς, πρῶτος Θησεὺς, βασιλεὺς ὤν, μετέβαλε τὴν διοίκησιν εἰς δημοκρατίαν· διὰ ταῦτα δὴ καὶ ὁ ὀλιγαρχικὸς μέμφεται αὐτῷ.

6 Καὶ τοιαῦτ.) Λέγειν καὶ ποιεῖν ἐννοεῖται.

κή. 2. Καὶ ταῦτα) Ἀ μανθάνει· δηλ. τὰς ῥήσεις.

3. Ἐπὶ δόρυ καὶ ἐπὶ ἀσπ.) Ἐκφράσεις εἰθισμέναι ἐν τῇ τῶν Ἑλλήνων τακτικῇ· καὶ ἐπειδὴ τὸ μὲν δόρυ τῇ δεξιᾷ· τῇ ἀριστερᾷ δὲ τὴν ἀσπίδα ἔφερον, ἔστι ταὐτό, ὃ νῦν λέγουσιν ἐπὶ δεξιάν, ἐπ' ἀριστεράν.

κθ'. Ἀγὼν τῆς) Ὁ γὰρ κακολογῶν ἀγωνίζεται ἵν' εὕρῃ λόγους εἰπεῖν κατά τινος.

3 αὐτοῦ ἄρξασθαι· «ὁ μὲν πατὴρ Σωσίας ἐξ ἀρχῆς ἐκαλεῖτο, »ἐγένετο δ' ἐν τοῖς στρατιώταις Σωσίστρατος, ἐπειδὴ δ' ἐς τοὺς »δημότας ἐνεγράφη· ἡ μέν τοι μήτηρ εὐγενὴς Θρᾷττά ἐστι· τὰς »δὲ τοιαύτας ἐν τῇ πατρίδι εὐγενεῖς εἶναι φασίν· αὐτὸς δὲ οὗτος »ὡς ἐκ τούτων γεγονὼς κακὸς μαστιγίας»· καὶ τούτοις διεξιών, »αὗται αἱ γυναῖκες ἐκ τῆς ὁδοῦ τοὺς παριόντας ἁρπάζουσι».
4 »Καὶ κακῶς λεγόντων ἑτέρων συνεπιλαμβάνεσθαι καὶ αὐτός, »λέγων, «καὶ ἐγὼ τοῦτον τὸν ἄνθρωπον πάντων μεμίσηκα, καὶ »γὰρ εἰδεχθής τις ἀπὸ τοῦ προσώπου ἐστίν· ἡ δὲ πονηρία, οὐ»δὲν ὅμοιον· σημεῖον δέ, τῇ γὰρ ἑαυτοῦ γυναικὶ τρεῖς χαλκοὺς εἰς »ὄψον δίδωσι, καὶ τῷ ψυχρῷ λούεσθαι ἀναγκάζει τοῦ Ποσει-
5 δῶνος ἡμέρα». Καὶ συγκαθήμενος, δεινὸς περὶ τοῦ ἀναστάντος εἰπεῖν· καὶ ἄλλα πλεῖστα περὶ τῶν φίλων καὶ οἰκείων κακὰ εἰπεῖν· καὶ περὶ τῶν τετελευτηκότων κακῶς λέγειν.

λ'. Κεφ. ΚΘ'. Περὶ Φιλοπονηρίας.

Ἔστι δὲ ἡ φιλοπονηρία ἐπιθυμία κακίας. Ὁ δὲ φιλοπόνηρός ἐστι τοιὸς δέ τις, οἷος ἐντυγχάνειν τοῖς ἡττημένοις, καὶ δημοσίους ἀγῶνας ὠφληκόσι, καὶ ὑπολαμβάνειν, ἐὰν τούτοις
2 χρῆται, ἐμπειρότερος γενήσεσθαι καὶ φοβερώτερος. Καὶ ἐπὶ τοῖς χρηστοῖς εἰπεῖν, ὡς γίνεται, καὶ φησιν, ὡς οὐθείς ἐστι χρηστός, καὶ ὁμοίους πάντας εἶναι. Καὶ ἐπισκῆψαι δὲ, ὡς
3 χρηστός ἐστι. Καὶ τὸν πονηρὸν δὲ εἰπεῖν ἐλεύθερον. Ἐὰν βούληταί τις εἰς πονηρόν, καὶ τὰ μὲν ἄλλα ὁμολογεῖν ἀληθῆ ὑπὲρ αὐτοῦ λέγεσθαι ὑπὸ τῶν ἀνθρώπων, ἕνια δὲ ἀγνοεῖν· φῆσαι μὲν ἂν τὸν εὐφυῆ καὶ φιλέταιρον, καὶ ἐπίδοξον· καὶ διατείνεσθαι δὲ ὑπὲρ αὐτοῦ, ὡς οὐκ ἐντετύχηκεν ἀνθρώπῳ ἱκα-
4 νωτέρῳ. Καὶ εὔνους δὲ εἶναι τῷ ἐν ἐκκλησίᾳ λέγοντι, ἢ ἐπὶ δικαστηρίῳ κρινομένῳ· καὶ προσκαθήμενος δὲ εἰπεῖν δεινός, ὡς οὐ δεῖ τὸν ἄνδρα, ἀλλὰ τὸ πρᾶγμα κρίνεσθαι· καὶ φῆσαι αὐτὸν κύνα εἶναι τοῦ δήμου· φυλάττειν γὰρ αὐτὸν τοὺς ἀδικοῦν-

---

3. Τὰς δὲ τοιαύτας) Ἐν εἰρωνείας σχήματι κακολογεῖ.

— Καὶ τούτοις διεξ.) Προστιθεὶς δὲ τούτοις λέγει· πρὸς τὴν μητέρα ἀναφέρων τὸν λόγον, αὗται αἱ γ. κτλ.

4. Τρεῖς χαλ.) Τρία χαλκία, ἵνα τὰ πρὸς τράπεζαν ἀναγκαῖα ὠνήσηται.

— Ποσειδῶν) Ἦγετο ἑορτὴ Ποσειδῶνι διὰ θερμῶν λουτρῶν κατὰ τὴν πρώτην Ποσειδῶνος μηνός, κατὰ μέρος πρὸς Ἰανουάριον ἀντεξεταζομένου. Ἐνταῦθα δὲ ὁ κακολόγος φέγει τὸν ἄνδρα κακῶς χρώμενον τῇ γυναικὶ κατὰ δούλους· οὗτοι γὰρ ὕδατι ψυχροῖς ἐλούοντο. Ξενοφ. Ἀπομν. Γ. ιγ'. 3.

Λ'. Δημοσίους ἀγ. ὠφλ.) Τοῖς καταδικασθεῖσι δηλαδὴ ἐν δημοσίοις ἔργοις ἐντυγχάνων, ὑπολαμβ. καὶ τλ.

2. Ὡς γίνεται) Ἕκαστος δηλ. χρηστός· ὅτε τὸν τόπον αὐτοῦ ἐπέχει.

— Καὶ ἐπισκῆψ.) Καὶ μεμφθῆναι δηλονότι τοῦ χρηστοῦ τὴν χρηστότητα, εὐήθειαν ἴσως καλῶν.

4. Κύνα εἶναι) Ὡς φύλακ̓ δηλαδὴ αὐτοῦ ἀπὸ τῶν ἀδικούντων.

ταξ· καὶ εἰπεῖν, ὡς οὐχ ἕξομεν τοὺς ὑπὲρ τῶν κοινῶν συναχθεσθησομένους, ἂν τοὺς τοιούτους προώμεθα. Δεινὸς δὲ καὶ προστατῆσαι φαύλων, καὶ συνεδρεῦσαι ἐν δικαστηρίοις ἐπὶ πονηροῖς πράγμασι, καὶ κρίσιν κρίνων ἐκδέχεσθαι τὰ ὑπὸ τῶν ἀντιδίκων λεγόμενα ἐπὶ τὸ χεῖρον. Καὶ τὸ ὅλον, φιλοπονηρία ἀδελφή ἐστι τῆς πονηρίας· καὶ ἀληθές ἐστι τὸ τῆς παροιμίας, «τὸ ὅμοιον πρὸς τὸ ὅμοιον πορεύεσθαι».

λά. Κεφ. Λ΄. Περὶ Αἰσχροκερδείας. (*)

Ἡ δὲ αἰσχροκέρδειά ἐστι περιουσία κέρδους αἰσχροῦ. Ἔστι δὲ τοιοῦτος ὁ αἰσχροκερδὴς, οἷος ἐσθίων, ἄρτους ἱκανοὺς μὴ παραθεῖναι. Καὶ δανείσασθαι παρὰ ξένου παρ' αὐτῷ καταλύοντος. Καὶ διανέμων μερίδας φῆσαι δίκαιον εἶναι δίμοιρον τῷ διανέμοντι δίδοσθαι, καὶ εὐθὺς αὐτῷ νεῖμαι. [Καὶ οἰνοπωλῶν, κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι. Καὶ ἐπὶ θέαν τηνικαῦτα πορεύεσθαι, ἄγων τοὺς υἱεῖς, ἡνίκα προῖκα ἀφιᾶσιν οἱ θεατρῶναι. Καὶ ἀποδημῶν δημοσίᾳ, τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμπρεσβευόντων δανείσασθαι· καὶ τῷ ἀκολούθῳ μεῖζον φορτίον ἐπιθεῖναι, ἢ δύναται φέρειν, καὶ ἐλάχιστα ἐπιτήδεια ἄλλων παρέχειν· καὶ ξενίων δὲ μέρος τὸ αὐτοῦ ἀπαιτήσας ἀποδόσθαι. Καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ καὶ εἰπών, σαπρόν γε τὸ ἔλαιον, τῷ παιδαρίῳ, τῷ ἀλλοτρίῳ ἀλείφεσθαι. Καὶ τῶν εὑρισκομένων χαλκῶν ὑπὸ τῶν οἰκείων ἐν ταῖς ὁδοῖς δεινὸς ἀπατῆσαι τὸ μέρος, κοινὸν εἶναι φήσας τὸν Ἑρμῆν.] Καὶ ἱμάτιον ἐκδοῦναι πλῦναι, καὶ χρησάμενος παρὰ γνωρίμου, ἐφελκῦσαι πλείους ἡμέρας, ἕως ἂν ἀπαιτηθῇ. [Καὶ τὰ τοιαῦτα· φειδομένῳ μέτρῳ, τὸν πύνδακα ἐγκρουσμένῳ, μετρεῖν αὐτὸς τοῖς ἔνδον σφόδρα ἀποψῶν τὰ ἐπιτήδεια. Ὑποπρίασθαι φίλου δοκοῦντος πρὸς τρόπου πωλεῖσθαι. Καὶ χρέος δὲ ἀποδιδοὺς τριάκοντα μνῶν, ἔλαττον τέτταρσι δραχμαῖς ἀποδοῦναι.] Καὶ τῶν υἱῶν δὲ μὴ πορευομένων εἰς τὸ διδασκαλεῖον τὸν μῆνα ὅλον διὰ τὴν ἀῤῥωστίαν, ἀφαιρεῖν τοῦ μισθοῦ κατὰ λόγον. Καὶ τὸν Ἀν-

---

5. Ὑπὸ τῶν ἀντιδ.) Τῶν ἐναντίων δηλαδὴ τοῖς πονηροῖς.

(*) Σημειοῦτθω ὅτι τὸ κεφάλαιον τοῦτο ταὐτὰ σχεδὸν περιέχει τοῖς τοῦ ἐνδελεάτου κεφαλαίου περὶ βδελυρίας ῥηθεῖσι, ὀλίγα δέ τινα ἰδιαίτερα· ἃ δὲ ἐξ ἐκείνου εἰσὶ τοῦ κεφαλαίου, ταῦτα κέκλεισται τῷ τῆς παρενθέσεως σημείῳ.

4. Καὶ ξενίων) Καὶ τῶν ὁδίων, ὅσα αἱ πόλεις ὡς ἐπὶ τὸ πλεῖστον φέρουσι τοῖς πρέσβεσιν, αὐτὸς λαβὼν τὸ μέρος τὸ ἑαυτοῦ πωλεῖ.

7. Καὶ τὰ τοιαῦτα) Καὶ πρὸς τούτοις δὲ ἐν τοῖς τοιούτοις πράγμασιν· αὐτὸς μετρεῖ τοῖς ἔνδον τὰ ἐπιτήδεια φειδομένῳ μέτρῳ τὸν πιθμένα ἔχοντι ἐγκρουσμένον· καὶ ἄνωθεν δὲ περισπογγίζων μή τι περιττὸν ᾖ, ἀλλὰ καὶ ἔλαττον ποιῶν.

8. Ὑποπρίασθ.) Τιμῇ τινι ταπεινῇ παρὰ φίλου δοκοῦντος πρίασθαι, καὶ πωλεῖν ἐπὶ κέρδει ἰδίῳ· ὅρα καὶ κεφ. ΙΑ΄. ἐν Σημειώσ.

10. Ἀνθεστηριῶν.) Τῷ μέρος μὲν τῷ

θεστηριῶνα μῆνα μὴ πέμπειν αὐτοὺς εἰς μαθήματα, διὰ τὸ Θέας
11 εἶναι πολλάς, ἵνα μὴ τὸν μισθὸν ἐκτίνῃ. Καὶ παρὰ παιδὸς κο-
μιζόμενος ἀποφοράν, τοῦ χαλκοῦ τὴν ἐπικαταλλαγὴν προσα-
12 παιτεῖν, καὶ λογισμὸν δὲ λαμβάνων παρὰ τοῦ χειρίζοντος. [Φρά-
τορας ἑστιῶν, αἰτεῖν τοὺς ἑαυτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον· τὰ
δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης ῥαφανίδων ἡμίσεα ἀπο-
13 γράφεσθαι, ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάβωσι.] Συναποδη-
μῶν δὲ μετὰ γνωρίμων, χρήσασθαι τοῖς ἐκείνων παισί, τὸν δὲ
ἑαυτοῦ ἔξω μισθῶσαι, καὶ μὴ ἀναφέρειν εἰς τὸ κοινὸν τὸν μι-
14 σθόν. Ἀμέλει δὲ καὶ συναγόντων παρ' ἑαυτῷ ὑποθεῖναι τῶν παρ'
ἑαυτῷ διδομένων ξύλων, καὶ φακῶν, καὶ ὄξους, καὶ ἁλῶν, καὶ
15 ἐλαίου τοῦ εἰς τὸν λύχνον. Καὶ γαμοῦντος τινὸς τῶν φίλων, καὶ
ἐκδιδομένου θυγατρός, πρὸ χρόνου τινὸς ἀποδημῆσαι, ἵνα μὴ
16 προπέμψῃ προσφοράν. Καὶ παρὰ τῶν γνωρίμων τοιαῦτα κιχρᾶ-
σθαι, ἃ μήτ' ἂν ἀπαιτῆσαι, μήτ' ἂν ἀποδιδόντων ταχέως ἀντι-
κομίσαι.

Φευρουαρίῳ, μέρος δὲ τῷ Μαρτίῳ ἀντεξεταζομένῳ καθ' ὃν τῷ Διονύσῳ ἡ Βάκχῳ ἀνθεστήρια ἤγοντο ἐν ἡμέραις τρισίν, ὧν ἡ μὲν ἐνδεκάτη, πρώτη οὖσα, ἐκαλεῖτο Πιθοιγία, ἀπὸ τοῦ πίθους οἴγειν· ἡ δὲ δευτέρα, ἡ δυοκαιδεκάτη, Χόες, ἀπὸ τῶν χωρῶν, ὅτε καὶ οἱ σοφισταὶ δῶρα παρὰ πᾶσιν ἐδέχοντο· ἡ δὲ δεκάτη τρίτη, τρίτη οὖσα, Χύτροι ἢ Χύτρα ἐκαλεῖτο, ἃ τῷ χθονίῳ Ἑρμῇ προσεφέροντο· ἀλλ' ὁ αἰσχροκερδὴς διὰ τὴν δευτέραν ἡμέραν, ἵνα μὴ δῶρα δῷ τῷ διδασκάλῳ τοῦτον τὸν μῆνα οὐκ ἔπεμπεν· καὶ διὰ τὸ Θέας εἶναι πολλὰς ἐν τούτῳ τῷ μηνί.

11. Καὶ παρὰ παιδ.) Ἐν γὰρ Ἀθήναις οἱ πολλοὺς ἔχοντες δούλους, πλείους δηλαδὴ τῶν, ὅσοι ἐν οἰκείᾳ ἱκανοί, ἐμίσθουν αὐτοὺς ἢ ἐχρῶντο ἐν διαφόροις τῆς πόλεως ἔργοις· ἢ γοῦν ἐλευθέρως εἰργάζοντο, ὅ,τι ἐβούλετο ἕκαστος, καὶ ἐδίδω τῷ δεσπότῃ κατὰ χρόνον ὡρισμένον τι ὅπερ ἐκαλεῖτο ἀποφορά. Ὁ οὖν αἰσχροκερδὴς λαμβάνων τὴν ἀποφορὰν ταύτην, ἀπαιτεῖ καὶ τὴν διαφορὰν ἣν ἔχει ἀργύριον πρὸς χαλκόν.

— Παρὰ τοῦ χειρίζ.) Πᾶσαν τὴν τῆς οἰκίας ἐπιστασίαν διεχείριζον ἑνὶ τῶν δούλων οἱ Ἀθηναῖοι, καὶ ἐλάμβανον παρ' αὐτῶν τοὺς λογισμούς· ὁ δὲ αἰσχροκερδής· καὶ τοῦτον ἐν τοῖς λογισμοῖς τὰ αὐτὰ διετίθει, ὅσα κατιὼν τὴν ἀποφορὰν διδόντα.

14. Συναγόντ.) Ὁπότε δηλονότι συνέρχονταί τινες εἰς τὸν οἶκον αὐτοῦ δι' ἐράνου δειπνήσοντες· οὗτος εἰς τὸν λογισμὸν προστίθησι καὶ ὅσα αὐτὸς δέδωκε, ξύλα, φακάς, κτλ.

15. Καὶ ἐκδιδ.) Τινὸς δηλ. τῶν φίλων· ἀπὸ κοινοῦ.

—Προσφορὰν) Δῶρον προπεμπόμενον εἰς τὴν νύμφην πρὸ τῶν γάμων· ὃ καὶ ἄλλως ἐκαλεῖτο ἐπαύλια.

16. Κιχρᾶσθαι) Δανείζεται δηλ. παρὰ τῶν γνωρίμων τοιαῦτά τινα, ἅπερ οὐ δύναταί τις ἀπατῆσαι, μήτ' αὖ δεχθῆναι· ἐὰν ἀποδίδωσιν ὁ λαβών, οἷον· μέλαν, κάλαμον, ἢ γραφίδα, καὶ ὅσα τοιουτότροπα.

— Ἀπαιτῆσ.) Ἐννοεῖται τό, εἴη δυνατόν, εἰς ἀπόδοσιν τῶν ἀπαρεμφάτων· ἢ γοῦν τὰ ῥήματα ταῦτα εὐκτικὰ ἂν εἴη, καὶ οὐκ ἀπαρέμφατα.

ΕΚ ΤΩΝ ΞΕΝΟΦΩΝΤΟΣ.

Α΄. ΕΚ ΤΗΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ.

ά. Γένος Κύρου, Παιδεία Περσῶν. Α΄, β΄.

Πατρὸς μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως· ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κλῃΐζονται· μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων γενομένου βασιλέως. Φῦναι δὲ ὁ Κῦρος 2
λέγεται, καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα. §. 2. Φύσιν μὲν δὴ τῆς 3
ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις. Οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι οὐκ ἔνθεν, ὅθενπερ ταῖς πλείσταις πόλεσιν ἄρχονται. Αἱ μὲν γὰρ πλεῖσται πόλεις, 4
ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλοι, τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους, ὅπως ἐθέλουσι, διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὲν κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν, ὃν μὴ δίκαιον, μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως· ἢν δέ τις τούτων τι παραβαίνῃ, ζημίας αὐτοῖς ἐπέθεσαν. §. 3. Οἱ δὲ Περσικοὶ νόμοι 5

ά. Λέγεται Κῦρ.) Κατ' ὀνομαστικὴν ἐξηνέχθη διὰ τὸ ταὐτοπροσωπεῖν τῷ λέγεται.

— Ἀπὸ Περσέως) Ἡρόδ. Πολύμν. ξά. φησὶν ὅτι οἱ Πέρσαι τὸ πάλαι παρὰ μὲν Ἑλλήνων ἐκαλοῦντο Κηφῆνες, ἀφ' ἑαυτῶν δὲ καὶ τῶν περιοίκων, Ἀρταῖοι. Περσεῖ δὲ τῷ Δανάης καὶ Διὸς ἀφικομένῳ εἰς Κηφέα τὸν Βήλου καὶ σχόντι τὴν αὐτοῦ θυγατέρα Ἀνδρομέδαν, γίνεται παῖς Πέρσης, τοῦτον αὐτοῦ κατέλιπε, μὴ ὄντος Κηφεῖ ἄῤῥενος· κἀκ τούτου τὴν ἐπωνυμίαν ἔσχον οἱ Πέρσαι. Καὶ ρν'. Ἀπογένους Ἀργείων Πέρσας φησίν· ἀπὸ Πέρσου τοῦ Περσέως, καὶ Ἀνδρομέδας τῆς Κηφέως τὸ γένος ἕλκοντας. Ταὐτὰ δὲ λέγει καὶ Ἀπολόδ. Β΄. δ΄. 5. Σημειούσθω δὲ ὅτι πάντες οἱ παλαιοὶ συγγραφεῖς, οὓς εἰς ἔπαινον προὐβάλλοντο· τὸ γένος αὐτῶν ἐπαινοῦντες ἐκ θεῶν εἶναι ἔλεγον. Τοῦτον δὴ τὸν τρόπον καὶ Ξενοφ. ἐκ Περσέως τοῦ Διὸς λέγει Καμβύσην ἵνα Κῦρον ἐκ θεῶν τὸ γένος ἕλκοντα δείξῃ.

2. Λέγεται καὶ ᾄδεται) Ἐκ παραλλήλου ὀρθεῖ. Ἔστι δὲ τὸ μὲν λέγεται ἱστορικώτερον· τὸ δὲ ᾄδεται, ἤτοι ἐκ φήμης, ἢ τὸ διὰ στίχων ψάλλεσθαι δηλοῖ· ἢ, ὑπὸ τῶν ποιητῶν ᾄδεται.

§. 2. Γε μὴν) Ἀντὶ τοῦ Δέ.

— Ἄρχεσθαι . . . ἐπιμελ.) Ἀντὶ τοῦ, ἀπὸ τοῦ ἐπιμελεῖσθαι κατ' ἐναλλαγήν· ἵν' ᾖ. Οἱ Περσῶν νόμοι δοκοῦσιν ὅτι ἐν πρώτοις ἄρχονται ἀπὸ τοῦ ἐπιμελεῖσθαι τοῦ κοινοῦ ἀγαθοῦ.

4. Οὐ μὴ δίκαιον) Ἐννοεῖται, ἐστὶ παίειν· τὸ μὲν Ἐστὶν ὡς σύνηθες ἀπὸ κοινοῦ δὲ τό, Παίειν.

προλαβόντες ἐπιμέλονται, ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πονηροῦ τινος ἔργου ἢ αἰσχροῦ ἐφίεσθαι.
6 Ἐπιμέλονται δὲ ὧδε. Ἔστιν αὐτοῖς Ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τἆλλα ἀρχεῖα πεποίηται. Ἐντεῦθεν τὰ μὲν ὤνια καὶ οἱ ἀγοραῖοι καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται
7 ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. §. 4. Διῄρηται δὲ αὕτη ἡ ἀγορὰ ἡ περὶ τὰ ἀρχεῖα εἰς τέτταρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν παισίν, ἓν δὲ ἐφήβοις, ἄλλο τελείοις ἀνδράσιν,
8 ἄλλο τῆς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. Νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες ἅμα τῇ ἡμέρᾳ καὶ οἱ τέλειοι ἄνδρες· οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς δεῖ αὐτοὺς παρεῖ-
9 ναι. Οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνητικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἢν
10 μὴ προρρηθῇ παρεῖναι· οὔτε πολλάκις ἀπεῖναι καλόν. §. 5. Ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων τῶν μερῶν εἰσι δώδεκα· (δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ διῄρηνται) καὶ ἐπὶ μὲν τοῖς παισὶ ἐκ τῶν γεραιτέρων ἡρημένοι εἰσίν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἂν ἀποδεικνύναι· ἐπὶ δὲ τοῖς ἐφήβοις, ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσι παρέχειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ τῶν γεραιτέρων προστάται ἡρημένοι, οἳ προστατεύουσιν, ὅπως
11 καὶ αὐτοὶ τὰ καθήκοντα ἀποτελῶσιν. Ἃ δὲ ἑκάστῃ τῇ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται,
12 ἢ ἐπιμέλονται, ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται. §. 6. Οἱ μὲν δὴ παῖδες, εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγουσι μανθάνοντες

---

§. 3. Τὴν ἀρχήν) Ἤτοι ὅπως μηδὲ κατὰ τὴν ἀρχὴν τοιοῦτοι ἔσονται· ὅπερ ἔστιν. Οὐδαμῶς τοιοῦτοι ἔσονται· καὶ κατὰ τὸν δὲ τὸν λόγον τό, τὴν ἀρχήν, λαμβάνεται ἀντὶ τοῦ μηδαμῶς, παντάπασιν.

6. Ἔστιν) Τὸ Ἔστιν ἐν ἀρχῇ τιθέμενον λόγου εἰς διήγησίν τινος· ἀναβιβάζει τὸν τόνον.

— Ἐλευθέρα) Ὄνομα ἀγορᾶς.

— Πεποίηται.) Ἐνικῶς· κατ' ἔθος Ἀττικ.

§. 4. Τοῖς ὑπὲρ τὰ στρατεύσιμα) Ἐκείνοις δηλ. ὅσοι οὐκ εἰσὶν ἱκανοὶ στρατεύειν, ἤδη γέροντες ὄντες.

8. Ἅμα τῇ ἡμέρᾳ) Οἱ παῖδες καὶ οἱ τέλειοι ἄνδρες πάρεισιν ἅμα τῇ ἡμέρᾳ· οἱ δὲ γεραίτεροι τότε, ἡνίκα· καὶ τλ.

9. Ἀπεῖναι καλόν) Οὐ καλὸν ἐστὶ τὸ ἀπεῖναι πολλάκις. Ἐννοεῖται δὲ διὰ τοῦτο, ὅτι οὐ νόμῳ ἐποίουν τοῦτο οἱ γεγαμηκότες, ἀλλ' ἔθει· καὶ τῆς παιδείας αἰδοῖ.

§. 5. Διῄρηνται) Οἱ γὰρ Πέρσαι εἰς δώδεκα φυλὰς διῄρηνται.

— Ἡρημένοι εἰσὶν) Ἀντὶ Ἥρηνται. Ἐξηνέχθη δὲ κατὰ τὰ μὴ ποιοῦντα τρίτον πρόσωπον πληθυντικόν.

— Ἐκ τῶν τελείων ἀνδρῶν) Ἐννοεῖται. ἡρημένοι εἰσίν, ὥσπερ, καὶ μετὰ μικρόν.

11. Ἢ ἐπιμέλονται) Ὃν τρόπον, ὅπως ἐπιμελοῦνται.

§ 6. Διάγουσι μανθάνοντες) Τὸ καθ' ἡμᾶς, Περσῶσι τὸν καιρὸν μανθάνοντες· τὸ γὰρ διάγω διάρκειαν χρόνου σημαίνει· ἤτοι διατρίβουσι τὸν χρόνον μανθάνοντες· καὶ τλ.

δικαιοσύνην· καὶ λέγουσιν, ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες αὐτῶν διατελοῦσι τὸ πλεῖστον μέρος τῆς ἡμέρας δικάζοντες αὐτοῖς. Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥσπερ ἀνδράσιν, ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας καὶ ἄλλων, οἷον δὴ εἰκός. Οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. §. 7. Κολάζουσι δὲ καί, οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. Δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα ἀχαριστίας· καὶ ὃν ἂν γνῶσιν δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δέ, καλάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γάρ, τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. §. 8. Διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτούς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι καὶ ὁρῶσι τοὺς πρεσβυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἅπτοντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες· καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μέν, ἄρτον, ὄψον δέ, κάρδαμον· πιεῖν δέ, ἢν τις διψῇ, κώθωνα, ὡς

— Καὶ λέγουσιν) Οἱ Πέρσαι δηλ. οὐχ οἱ παῖδες· οἱ γὰρ παῖδες αὐτῶν ἔρχονται.

13. Διατελοῦσι δικάζοντες) Τὸ διατελῶ ἐνταῦθα ὁμοίως λαμβάνεται τῷ, Διάγω.

— Οἷον δὴ εἰκὸς) Τὸ Οἷον ἀντίπτωσίς ἐστιν ἀντὶ τοῦ οἷα, κατὰ τὴν πρὸς ὃ ἀναφέρεται πτῶσιν ἐξενεχθὲν ἔθει ἀττικῷ· ἐννοεῖται δὲ τὸ Ἐστὶ γίγνεσθαι, ἵν' ᾖ· οἷα ἁμαρτήματά ἐστιν εἰκὸς καὶ ἑτόμενον γίγνεσθαι καὶ παισί.

— Οὓς δ' ἂν) Παῖδας δηλ. ὁ δὲ Ἂν δυνητικὸς ὢν, πρὸς εὐκτικὸν ἂν ἐφέρετο, εἰμὴ καὶ ὑποτακτικὸν ἐν ἑαυτῷ εἶχε.

§ 7. 15. Δικάζουσι δὲ) Ὁ νοῦς. Δικάζουσι δὲ καὶ ἐγκλήματος ἀχαριστίας, οὗ ἕνεκα ἄνθρωποι μάλιστα μὲν μισοῦσιν ἀλλήλους, οὐδέποτε δὲ δικάζονται. Τὸ δὲ Ἄνθρωποι ἀνάρθρως διὰ τὸ ἀόριστον· καὶ τοι γὰρ τῆς ἐννοίας κοινῆς οὔσης. Οὐ δοκεῖ ὅμως κοινῶς περὶ πάντων ἀνθρώπων λέγειν.

16. Ἀμελῶς ἂν ἔχειν) Μὴ φροντίζειν, ἀμελεῖν· ὁ δὲ Ἂν δυνητικός· ἤτοι· ὅτι δύναται μὴ φροντίζειν καὶ περὶ θεοὺς, καὶ τλ.

— Καὶ γὰρ αὕτη) Ἡ ἀναισχυντία.

§. 8. Ὅτι καὶ τλ.) Τὸ Ὅτι ἀνάλυτις ὀνοματικοῦ ἀπαρεμφάτου· ἤτοι τὸ ὁρᾶν συμβάλλεται μέγα· τοιοῦτο δὲ καὶ ἐν τοῖς ἑξῆς τὸ Ὅτι.

19. Πρὶν ἂν ἀφῶσιν) Αὐτοὺς δηλ.

— Ὅταν οἱ ἄρχοντες . . . σημήνωσι) Τότε δηλονότι σιτοῦνται.

20. Κώθωνα) Φέρεται δηλ. οἴκοθεν τὸ δὲ Ὡς ἀντὶ τοῦ ὥστε.

ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Πρὸς δὲ τούτοις μανθάνουσι το-
21 ξεύειν καὶ ἀκοντίζειν. Μέχρι μὲν δὴ ἓξ ἢ ἑπταικαίδεκα ἐτῶν
ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν· ἐκ τούτου δὲ εἰς τοὺς
22 ἐφήβους ἐξέρχονται. §. 9. Οὗτοι δ' αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε.
Δέκα ἔτη, ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ
ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ
σωφροσύνης· (δοκεῖ γὰρ αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖ-
σθαι) παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς
23 ἄρχουσι χρῆσθαι, ἤν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ· καὶ ὅταν μὲν
δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα· ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ
θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλά-
24 κις τοῦ μηνός· ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα καὶ παρὰ τὴν
φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν· ἔτι δὲ γέρρον, καὶ παλτὰ
δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δ', ἂν δέῃ, ἐκ χειρὸς χρῆσθαι. §. 10.
25 Διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θήρᾳν ἐπιμέλονται, καὶ βασιλεύς,
ὥσπερ καὶ ἐν πολέμῳ, ἡγεμὼν αὐτοῖς ἐστι, καὶ αὐτός τε θη-
ρᾷ, καὶ τῶν ἄλλων ἐπιμελεῖται, ὅπως ἂν θηρῶεν, ὅτι ἀληθε-
στάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον
26 εἶναι. Καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει καὶ ψύχῃ καὶ θάλπῃ ἀ-
νέχεσθαι· γυμνάζει καὶ ὁδοιπορίαις καὶ δρόμοις· ἀνάγκη δὲ καὶ
27 τοξεῦσαι θηρίον καὶ ἀκοντίσαι, ὅπου ἂν παραπίπτῃ. Καὶ τὴν
ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι
τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ
ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴ-
διον εὑρεῖν ἐν τῇ θήρᾳ τί ἄπεστι τῶν ἐν πολέμῳ παρόντων.
28 §. 11. Ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν, ἄριστον ἔχοντες πλεῖον μέν,
ὡς εἰκός, τῶν παίδων, τἆλλα δὲ ὅμοιον. Καὶ θηρῶντες μὲν

---

§. 9. Ὥσπερ προείρηται) Ἰδε ἐν τῷ 9.

—Καὶ σωφροσύνης) Διὰ τὸ τὴν ἡλικίαν ταύτην μάλιστα δεῖσθαι ἐπιμελείας· ἀδελφὰ δὲ τούτοις καὶ Ἀριστ. περὶ ζώων Ζ'. ά. φησί· »Μάλιστα δὲ καὶ φυλακῆς »δέονται περὶ τὸν χρόνον τοῦτον· μά»λιστα γὰρ ὁρμῶσι πρὸς τὴν τῶν ἀ»φροδισίων χρῆσιν.«

23. Ὅταν δέῃ) Ὅταν δηλ. ἀνάγκη ᾖ, ἡ χρεία τις κατεπείγουσα.

— Τῆς φυλακῆς) Ἀντὶ τῶν φυλάκων· τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεχριμένου· οἷον· ἐξάγει μὲν τοὺς ἡμίσεις τῶν φυλάκων, τοὺς δὲ ἡμίσεις καταλείπει.

24. Κοπίδα ἢ σάγαριν) Κοπὶς μὲν, φασὶν, ἐστὶ μικρὸν βαρβαρικὸν ξίφος, σάγαρις δέ, εἶδος πελέκεος, βαρβαρικὸν καὶ τοῦτο.

— Ἐκ χειρὸς χρῆσθαι) Κρατοῦντα ἐν τῇ χειρί, καὶ μὴ ἀφέντα, χρῆσθαι.

25. Τῶν πρὸς τὸν πόλεμον) Τῶν ἄλλων ἁπασῶν μελετῶν, ὅσαι γίνονται περὶ τὰ πολεμικά.

§ 10. 26. Ἐθίζει) Ἡ μελέτη αὕτη.

— Ὁδοιπορίαις καὶ . .) Ἐλλειπτικῶς τῆς Ἐν.

27. Τὴν ψυχὴν θήγεσθαι) Ἀγωνιῶσι γὰρ ἐν τῇ θήρᾳ, ὁπότε τι τῶν ἀλκίμων ἀνθιστῆται, καὶ οἱονεὶ ἀκονῶσι τὴν ψυχὴν πρὸς τὸ καταπαλέσαι, καὶ καταβαλεῖν τὸ θηρίον.

—Τὸ ὁμόσε γιγν.) Τὸ ἐπ' αὐτὸν ὁρμοῦν.

— Τὸ ἐπιφερόμενον) Εἴτι ὄπισθεν ἐπ' αὐτὸν φέρεται.

§. 11. Τἆλλα δὲ) Ἐλλείπει ἡ Κατά· Κατὰ τὰ ἄλλα δηλ. ἄρτον καὶ κάρδαμον.

οὐκ ἂν ἀριστήσαιεν· ἢν δέ τι δέῃ θηρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρίψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες, τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου· καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δα-
πανῶσι. Τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καί, ἐάν29
τι ἐν πολέμῳ δέῃσῃ, δύνωνται τοῦτο ποιεῖν. Καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι, ὅτι ἂν θηράσωσιν· εἰ δὲ μή, τὸ κάρ-
δαμον. Εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἁπλῶς, ὅταν κάρδα-30
μον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἁπλῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς μὲν ἡδὺ μάζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ διψῶντι πιεῖν. §. 12. Αἱ δ' αὖ μέναυσαι31
φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες ἔμαθον, καὶ τοξεύειν καὶ ἀκοντίζειν· καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες,32
καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν φυλῶν πλεῖστοι ὦσι δαη-
μονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται, καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσαι. Χρῶνται δὲ τοῖς33
μένουσι τῶν ἐφήβων αἱ ἀρχαί, ἤν τι ἢ φρουρῆσαι δέῃσῃ, ἢ κα-
κούργους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλο τι, ὅσα ἰσχύος τε καὶ τάχους ἔργα ἐστί. Ταῦτα μὲν δὴ οἱ ἔφηβοι πρά-34
τουσιν. Ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. §. 13. Ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐ-35
φήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε. Πρῶτον μέν, ὥσπερ οἱ ἔφηβοι, παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἤν τι δέῃ περὶ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. Ἢν δέ που δεήσῃ στρατεύεσθαι, τόξα μὲν36

— Οὐκ ἀριστ.) Εὐτικῶς ἐξήνεκται διὰ τὸν δυνητικὸν Ἄν.

— Ἢ ἄλλως) Τέρψεως καὶ διαχύσεως ψυχῆς ἕνεκα, ἢ ἀσκήσεως σώματος ἢ ὅπως ἂν ἄλλως.

29. Εἰ δὲ μή) Ἐλλείπει, θηρεύσωνταί τι, ἔχουσιν ὄψον τὸ κάρδαμον.

30. Ἡδὺ μὲν) Ἐλλείπει, Ἐστίν· ὁ δὲ νοῦς. Ἀναμνησθήτω ἕκαστος πῶς ἐστιν ἡδὺ ἄρτος καὶ μάζα τῷ πεινῶντι, εἴτις πεινᾷ, φαγεῖν· καὶ τλ.

§. 12. Αἱ δ' αὖ μέν.) Ὅσοι δηλ. οὐκ εἰς θήραν ἐξέρχονται.

— Τά τε ἄλλα, καὶ . .) Καὶ ὅσα ἄλλα ἔμαθον παῖδες ὄντες, ἔτι δὲ τὸ τοξεύειν· καὶ τλ.

— Διατελοῦσι) Διάγουσι τὸν καιρόν.

32. Καὶ ἆθλα) Ἆθλα μέν, τὰ διδόμενα δῶρα τῷ νικήσαντι ἐν τῷ ἀγῶνι. Ἆθλοι δέ, οἱ ἀγῶνες.

— Ἀλλὰ καὶ) Ἐνοεῖται· ἐκεῖνον ἐπαινοῦσιν, ὅστις καὶ τλ.

33. Τοῖς μένουσιν) Ἐκείνοις, ὅσοι οὐκ ἐξέρχονται εἰς θήραν· ἡ δὲ γενικὴ, τῶν ἐφήβων διαιρετική· ὁπότε γὰρ τὰ ὀνόματα ὅλον τι σημαίνοντα σημαίνονταί τινι τὸ μέρος αὐτῶν δηλοῦντι, τότε τὸ μὲν μέρος τίθεται καθ' ἣν ἀπαιτεῖ ἡ σύνταξις πτῶσιν· τὸ ὅλον κατὰ γενικήν, ἥτις καλεῖται Διαιρετική.

§. 13. Χρῆσθαι, ὅσα) Χρῆσθαι αὐτοῖς κατ' ἐκεῖνα, ὅσα εἰσὶν ἔργα ἀνθρώπων φρόνημα ἐχόντων, καὶ ἐχόντων δυνάμεις.

36. Ἢν δέ που) Τὸ Που οὕτω λεγόμενον τόπον σημαίνει ἀορίστως· καὶ οὐκ ἔστι παραπληρωματικόν, ᾧ λέγεται.

οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύονται, τὰ δ' ἀγχέμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, (οἷόν περ γράφονται οἱ Πέρσαι ἔχοντες,) ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ κοπίδα. Καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων
37 διδάσκαλοι. Ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι πλεῖόν τι ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας
38 τε καὶ καλουμένους. §. 14. Οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς ἑαυτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε
39 κοινὰ πάντα καὶ τὰ ἴδια. Καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον, καὶ τῶν ἄλλων ὁ βουλόμενος· οἱ δὲ γεραίτεροι ἀκούσαντες, ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς ἄτιμος τὸν λοιπὸν βίον διατελεῖ.

40 §. 15. Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη διὰ τὰ προ-
41 ειρημένα. Λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ
42 τῆς δικαιοσύνης διδασκαλεῖα. Ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας, πέμπουσιν· οἱ δὲ μὴ δυνάμενοι, οὐ πέμ-
43 πουσιν. Οἱ δ' ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις,

---

— Οὐκ ἔτι ἔχοντες στρατ.) Ἤτοι οὐκ ἔτι στρατεύονται, ἔχοντες· καὶ τλ.

— Οἷόν περ γράφ.) Ἢ γοῦν ζωγραφίζονται σημαίνει τό, γράφονται· ἢ ἁπλοῖς ἱστοροῦνται· ἐμοὶ δὲ δοκεῖ τὸ πρῶτον.

— Ἔχοντες) Ἀπὸ κοινοῦ τὸ Στρατεύονται.

— Ἐν δὲ τῇ δεξ.) Ἔχοντες στρατεύονται.

— Πλὴν οἱ) Οἱ διδάσκαλοι δηλονότι τῶν παίδων οὐ καθίστανται ἐκ τούτων.

37. Εἴησαν μὲν ἄν) Ἐκκαίδεκα γὰρ ἢ ἑπτακαίδεκα ἔτη εἰσὶν εἰς παῖδας, ἕκκα δ' εἰς ἐφήβους, καὶ πέντε καὶ εἴκοσι δὲ εἰς ἄνδρας· ταῦτα δὲ συγκεφαλαιούμενα γίνονται πλείω ἢ πεντήκοντα· ἐξερχόμενοι ἄρα ἀπὸ τὸν ἀνδρῶν εἰσὶν ἀτὸ γεννήτεως μείζους ἢ πεντηκονταετεῖς.

§. 14 Οὐκ ἔτι ἔξω τῆς ἑαυτῶν) Ἐννοεῖται· πατρίδος.

39. Οὗτοι) Οἱ ὄντες καὶ καλούμενοι γεραίτεροι.

— Καὶ τῶν ἄλλων ὁ βουλόμενος) Οὐ μόνον οἱ φύλαρχοι φαίνουσιν, ἀλλὰ καὶ ὅστις τῶν ἄλλων βούλεται δηλῶσαι τὸν ἐλλείποντα εἴς τι τῶν νομίμων, ἔξεστιν αὐτῷ ἀναγγεῖλαι τοῖς γεραιτέροις.

— Ἐκκρίνουσι) Χωρίζουσιν αὐτὸν ἀπὸ τῶν ἄλλων.

§. 15. 41. Τούτων δ' οὐδεὶς) Ἕκαστος δηλ. τῶν ἐκ τῶν δώδεκα μυριάδων Περσῶν νόμῳ μετέχειν οὐναται τῶν ἀρχῶν καὶ τιμῶν.

42. Ἀργοῦντας) Σχολάζοντας ἀπὸ τῶν, ὅσα ἀνήκει εἰς τὴν οἰκίαν ἔργων.

43. Οἱ δ' ἂν παιδ. καὶ τλ.) Ἀνάλυσις τὸ τοιοῦτο σχῆμα τοῦ λόγου λέγεται, εἴη γὰρ ἂν συνεπτυγμένως. Ἔξεστι δὲ τοῖς μὲν παιδευθεῖσι καὶ τλ. τοῖς δὲ μὴ· κτλ. καὶ ἐφεξῆς ὁμοίως.

ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανιεύεσθαι· τοῖς δὲ μὴ παι-
θευθῶσιν οὕτως οὐκ ἔξεστιν. Οἱ δ' ἂν αὖ ἐν τοῖς ἐφήβοις διά- 44
τελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους
ἄνδρας συναυλίζεσθαι, καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν· οἱ δ' ἂν
μὴ διαγενῶνται ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχονται εἰς τοὺς τελείους.
Οἱ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν
γεραιτέρων γίνονται. Οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν 45
καλῶν ἐλευθέρως καθίστανται· καὶ ἡ πολιτεία ἐστὶν ἡ Περσῶν,
καὶ ἡ ἐπιμέλεια αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι.
§. 16. Καὶ νῦν δὲ ἔτι ἐμμένει μαρτυρία καὶ τῆς μετρίας διαίτης αὐ 46
τῶν, καὶ τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. Αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν
ἐστὶ Πέρσαις καὶ τὸ ἀποπτύειν, καὶ τὸ ἀπομύττεσθαι, καὶ τὸ
φύσης μεστοὺς φαίνεσθαι· αἰσχρὸν δὲ ἔτι καὶ τὸ ἰόντα που φα-
νερὸν γενέσθαι, ἢ τοῦ οὐρῆσαι ἕνεκα, ἢ καὶ ἄλλου τινὸς τοιούτου.
Ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐ- 47
χρῶντο, καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλιστον, ὥστε ἄλλῃ που
ἀποχωρεῖν. Ταῦτα μὲν δὴ κατὰ πάντων Περσῶν ἔχομεν λέ- 48
γειν· οὗ δὲ ἕνεκα ὅδε ὁ λόγος ὡρμήθη, νῦν λέξομεν τὰς Κύρου
πράξεις, ἀρξάμενοι ἀπὸ παιδός.

β'. Κύρου ἀγωγή, καὶ εἰς Μήδους μετὰ τῆς μητρὸς ἄφιξις. Α'. γ'.

Κῦρος μὲν γὰρ μέχρι δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλεῖον ταύτῃ
τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαι-
νετο, καὶ εἰς τὸ ταχὺ μανθάνειν, ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ
ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο Ἀ- 2
στυάγης τὴν ἑαυτοῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ
ἐπεθύμει, ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται δ' αὐτὴ

— Ἔξεστιν αὐτοῖς . . . ἔξεστι τούτοις) Ἐὰν μὲν κατὰ ἐπαναφορὰν ἡ ἀνταπόδοσις γίγνηται, ἡ Αὐτὸς ἐπάγεται ἀντωνυμία· ἐὰν δὲ κατὰ θεῖξιν ἡ Οὗτος. Τοῦτ' ἔστιν· ἐὰν ἀναπολεῖν ἁπλῶς τὸ ἀναφερόμενον χρεών, Ἀντωνυμίᾳ τῇ Αὐτὸς ἐν τῇ ἀποδότει χρώμεθα· ἐὰν δὲ μετὰ θείξεως τῇ Οὗτος.

44. Οὐκ εἰσέρχονται) Οὗτοι, ἢ Αὐτοί, κατὰ τὸ δοκοῦν· ἐννοεῖται δὲ ἔξωθεν Καὶ ἔστιν ἄρα τὸν ἑπόμενον ἀποδοῦναι λόγον καὶ ἄνευ Ἀντωνυμίας ἀνταποδοτικῆς.

45. Ἐλευθέρ.) Ἀντὶ Διὰ πάντων τῶν καλῶν διέρχονται.

— Ἢ οἴονται χρώμενοι) Ἢ χρώμενοι οἴονται κτλ.

§. 16. Καὶ τοῦ ἐκπονεῖσθ.) Καὶ ὅτι χρῶνται διαίτῃ οὐκ ἀνέτῳ, ἀλλὰ μετὰ τινος συστολῆς, πόνου δεομένης.

— Αἰσχρὸν δὲ καὶ τὸ) Καὶ τὸ φανερὸν γίγνεσθαι ὅτι προεῖται πῃ ἡ ἕνεκα τοῦ οὐρῆσαι, ἢ καὶ τλ.

48. Νῦν λέξομεν τὰς) Ἤγουν· Νῦν δὲ διηγησόμεθα τὰς Κύρου πράξεις· οὗ ἕνεκα καὶ τὸν περὶ νόμων τῶν Περσῶν λόγον ἐποιησάμεθα.

β'. §. 2. Ὡς δὲ ἀφίκετο τάχιστ.) Τὸ Τάχιστα ἐνταῦθα ἑτοιμότητα δηλοῖ τοῦ πράγματος· ἀντὶ τοῦ, Εὐθὺς καὶ δὴ ἀφικόμενος· καὶ μαθὼν ὅτι Ἀστυάγης ἦν πατὴρ τῆς μητρός, ἀπᾴξετο αὐτὸν ἑτοίμως.

τε ἡ Μανδάνη πρὸς τὸν πατέρα καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα.
3 §. 2. Ὡς δὲ ἀφίκετο τάχιστα, καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλόστοργος ὢν φύσε., ἠσπάζετό τε αὐτὸν ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ
4 πάλαι φιλῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ ὀφθαλμῶν ὑπογραφῇ καὶ χρώματος ἐντρίψει καὶ κόμαις προσθέτοις, ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις· ταῦτα γὰρ πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες, καὶ οἱ κάνδυες, καὶ οἱ στρεπτοὶ οἱ περὶ τῇ δέρῃ, καὶ τὰ ψέλλια περὶ ταῖν χεροῖν· ἐν Πέρσαις δὲ τοῖς οἴκοι καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φυλότεραι, καὶ δίαιται εὐτελέστεραι· ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων
5 αὐτῷ, ἔλεγεν, Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος. Ἐρωτώσης δὲ τῆς μητρὸς αὐτόν, πότερος δοκεῖ καλλίων αὐτῷ εἶναι, ὁ πατήρ, ἢ οὗτος· ἀπεκρίνατο ἄρα ὁ Κῦρος, Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατήρ, Μήδων μέντοι, ὅσων ἑώρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ θύραις, πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλ-
6 λιστος. §. 3. Ἀνταισπαζόμενος δὲ αὐτὸν ὁ Ἀστυάγης καὶ στολὴν καλὴν ἐνέδυσε, καὶ στρεπτοῖς καὶ ψελλίοις ἐτίμα καὶ ἐκόσμει· καὶ εἴ που ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ
7 αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ Κῦρος, ἅτε παῖς ὢν καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ στολῇ· καὶ ἱππεύειν μανθάνων ὑπερέχαιρεν· ἐν Πέρσαις γάρ, διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ, καὶ ἰδεῖν ἵππον
8 πάνυ σπάνιον ἦν. §. 4. Δειπνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧσσον

---

4. Καὶ ὀφθαλ. ὑπογρ.) Μέλανι γάρ τινι χρώματι ἔτι καὶ νῦν κατὰ τὴν Ἀσίαν αἱ γυναῖκες χρωματίζουσι τὰ περὶ τοὺς ὀφθαλμοὺς βλέφαρα· πανταχόσε δέ, οὐχ ἅπασαι μέντοι, ἐντρίβουτι ψυμμίθιον περὶ τὸ πρόσωπον, ἢ ἐρυθροῦν χρῶμα· προσθέτους δὲ κόμας πολλοὶ μάλιστα καὶ ἄνδρες κατὰ τὴν Εὐρώπην φέρουσιν ἐπὶ κεφαλῆς· ὧν τε αἱ τρίχες ἄπεισι, καὶ οἷς τὸ λευκὸν τῶν τριχῶν εἰς μέλαν μεταβάλλειν ἐπιμελές· ἔστι δὲ οἷς καὶ κατ' ἔθος τι γίγνεται ταῦτα δὴ καὶ Μῆδοι ἐποίουν τρυφῆς ἕνεκα· πορφυρούς τε χιτῶνας ἐνδυόμενοι· καὶ κάνδυας, Περσικὸν δὲ τοῦτο· καὶ περιδέραια μὲν περὶ τὸν τράχηλον, ψέλλια δὲ περὶ τὰς χεῖρας· ἅπερ δὴ νῦν γυναικεῖος ἐστι κόσμος.

5. Ἀπεκρίνατο ἄρα) Ὁ Ἄρα εἰκασμὸν σημαίνει, ὡς εἰ ἔλεγεν· ὁ δὲ Κῦρος, ὡς ἐστιν εἰκάσαι, οὕτως ἀπεκρίνατό.

— Ὅσων ἑώρ.) Ἀττικὴ ἡ σύνταξις ἀντί, ὅσους· τὰ γὰρ ὁράσεως σημαντικὰ ῥήματα αἰτιατικῇ συντάσσονται. Ἀττικῶς μέντοι ἴδιον τὸ μιμεῖσθαι τὴν πτῶσιν τῶν, πρὸς ἃ ἀναφέρεται, τὰ ἀναφορικά· ὁπόταν κατ' αἰτιατικὴν ὦσι.

— Ἐπὶ θύραις) Ταῖς βασιλικαῖς δηλ. Οὗ τόπου καὶ Μαρδοχαῖον ποτὲ κατέχειν ἡ θεῖα παραδίδωσιν ἱστορία. Ἐσθήρ. β'. 19. πρὸς γὰρ τὴν θύραν ἐχρῆν περιφέρεσθαι τοὺς αὐλικούς, ἵν' ὦσι παρόντες, ἢν βασιλεὺς αὐτοὺς ζητήσῃ περί τινος τῶν ἔργων.

§. 3 Ὥσπερ αὐτὸς) Ὁ Ἀστυάγης.

7. Ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ) Οἷον χαλεπὸν ἐστι τρέφειν ἵππους καὶ ἱππεύειν ἐν τῇ τῶν Περσῶν χώρᾳ, ἥτις ἐστὶν ὀρεινή· ἔνθα φανερὸν ὅτι οὐκ ἔστιν ἀντὶ ἀπολύτου γενικῆς τὸ προθετόπτωτον τοῦτο, ὥς τινες μὴ ἀκριβοῦντες τὰ τῆς ἐννοίας ὠήθησαν.

τὰ οἴκαδε ποθοίη, προσήγαγεν αὐτῷ καὶ παροψίδας, καὶ παν-
τοδαπὰ ἐμβάμματα καὶ βρώματα. Τὸν δὲ Κῦρον ἔφασαν λέ- 9
γειν, Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη
σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας, καὶ ἀπο-
γεύσασθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. Τί δέ; φάναι τὸν 10
Ἀστυάγην, Οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι
τοῦ ἐν Πέρσαις; Τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγε-
ται, Οὐχί, ὦ πάππε· ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ'
ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ παρ' ὑμῖν. Ἡμᾶς μὲν 11
ἄρτος καὶ κρέας εἰς τοῦτο ἄγει· ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν
σπεύδετε, πολλοὺς δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι
μόλις ἀφικνεῖσθαι, ὅποι ἡμεῖς πάλαι ἥκομεν. §. 5. Ἀλλ', ὦ παῖ, φά- 12
ναι τὸν Ἀστυάγην, οὐκ ἀχθόμενοι ταῦτα περιπλανώμεθα· γευ-
όμενος δ', ἔφη, καὶ σὺ γνώσῃ, ὅτι ἡδέα ταῦτά ἐστιν. Ἀλλὰ καὶ
σε, φάναι τὸν Κῦρον, ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώ-
ματα ὁρῶ. Καὶ τὸν Ἀστυάγην ἐπερέσθαι· Καὶ τίνι δὴ σὺ τεκ- 13
μαιρόμενος, ὦ παῖ, ταῦτα λέγεις; Ὅτι σέ, φάναι, ὁρῶ, ὅταν μὲν
τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον· ὅταν δὲ τούτων
τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρῃς τὴν χεῖρα εἰς τὰ χειρόμακτρα,
ὡς πάνυ ἀχθόμενος, ὅτι καταπλέα σοι ἀπ' αὐτῶν ἐγένετο. §. 6. Πρὸς 14
ταῦτα δὴ τὸν Ἀστυάγην εἰπεῖν· Εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ
παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας οἴκαδε ἀπέλθῃς. Ἅμα δὲ
ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν καὶ θήρεια καὶ τῶν ἡ-
μέρων. Καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν· Ἦ 15
καὶ δίδως, φάναι, μοι, ὦ πάππε, ταῦτα πάντα τὰ κρέα, ὅτι ἂν

---

§. 4. Παροψίδας) Παροψὶς λέγεται καὶ τὸ τριβλίον τὸ ἔμπροσθεν ἑκάστου τῶν ἐν τῇ τραπέζῃ τιθέμενον· ἵν' ἐντιθῆναι τὰ βρώματα· λέγεται δὲ καὶ τι εἶδος βρώματος· ἐνταῦθα δὲ δοκεῖ τὸ πρῶτον σημαίνειν· ὁ δέ τι Φρύνιχος φησὶν Παροψὶς τὸ ὄψον, οὐχὶ δὲ τὸ ἀγγεῖον, ὥς τινες· ὁ δέ γε Πολυδεύκης ἐν τῇ λέξει Παροψὶς λέγει· ἔστι δὲ καὶ τοῦτο ζωμοῦ εἶδός τι, ἢ ὡς τινες μάζης, ἢ τὶς παρενθήκη ὄψου· ὃ οἱ νῦν ἂν εἴποιεν παροψιμάτιον.

9. Εἰ ἀνάγκη) Εἰπέ μοι, ἐὰν ἀνάγκη σοὶ ᾖ· ἢ, ἄραγε ἀνάγκη σοί ἐστί· κτλ. καθ' ἑκάτερον γὰρ τὸν τρόπον ὁ αὐτὸς προκύπτει νοῦς.

10. Φάναι τὸν Ἀστυάγ.) Ἐννοεῖται ἐν τούτῳ καὶ ἐν τοῖς ἑξῆς ἀπαρεμφάτοις τὸ λέγεται.

— Τοῦ ἐν Πέρσ.) Δείπνου ὁηλ. τὸ δὲ δεῖπνον γενικῶς λαμβάνεται. Εἰδικῶς δὲ Δεῖπνον μὲν λέγεται τὸ πρωϊνὸν ὃ καὶ Ἀκρατισμὸς καλεῖται, εἶτα Ἄριστον παρὰ τὸ εἰς ἀριστείαν προέρχεσθαι, καὶ Δεῖπνος μεθ' ὃν δεῖ πονεῖν. Δόρπος δὲ τὸ ἑσπερινόν· παρὰ τὸ δόρυ παύειν. Σουίδ. ἐν τῇ λέξει· Δεῖπνος.

§. 5. Γευόμενος δ', ἔφη, καὶ σὺ) Ἀνώρθωσεν ἐνταῦθα τό, ἔφη· ἀντὶ τοῦ φάναι τιθείς. Ἔστι δὲ μάλιστα παρέλκον, ὡς ἐν πολλοῖς ἐστιν εὑρεῖν τοῦτο παρὰ Ξενοφῶντι.

13. Ἀποψώμεν.) Ὁρῶ σε ἀποψώμενον. Σημείωσαι δὲ ὅτι τὸ μὲν ἀποψώμενον πρὸς τὸ Ὁρῶ ἀπέδωκεν ἐν εἰδικῇ μετοχῇ. τὸ δὲ Ἀποκαθαίρεις, ὡς ἐπιλαθόμενος τὸ Ὁρῶ, ὀρθῶς ἐποίγαγε.

§. 6. Εἰ οὕτω γινώσκεις) Ἐὰν ἔχῃς τοιαύτην ἰδέαν περὶ τούτων.

— Ἵνα νεανίας οἴκαδε) Ἵνα ἐπιστρέψῃς γενναῖος καὶ μετὰ νεανικοῦ φρονήματος

βούλωμαι, αὐτοῖς χρῆσθαι; Νὴ Δία, φάναι, ἐγώ γε σοι, ὦ παῖ.
16 §. 7. Ἐνταῦθα δὴ τὸν Κῦρον λαβόντα τῶν κρεῶν διδόναι τοῖς ἀμφὶ
τὸν πάππον θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ· Σοὶ μὲν τοῦτο,
ὅτι προθύμως με ἱππεύειν διδάσκεις· Σοὶ δέ, ὅτι μοι παλτὸν ἔδω-
κας· (τοῦτο γὰρ νῦν ἔχω·) Σοὶ δέ, ὅτι μου τὴν μητέρα τιμᾷς·
17 τοιαῦτα ἐπιπεῖν, ἕως διέδω πάντα, ἃ ἔλαβε, κρέα. §. 8. Σάκα δὲ
φάναι τὸν Ἀστυάγην, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ οὐδὲν
δίδως; Ὁ δὲ Σάκας ἄρα καλός τε ὢν ἐτύγχανε, καὶ τιμὴν ἔχων
προσάγειν τοὺς δεομένους Ἀστυάγους, καὶ ἀποκωλύειν, οὓς μὴ
18 καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. Καὶ τὸν Κῦρον ἐπερέσθαι
προπετῶς, ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων, Διά τι δή, ὦ πάππε,
τοῦτον οὕτω τιμᾷς; Καὶ τὸν Ἀστυάγην σκώψαντα εἰπεῖν, Οὐχ
19 ὁρᾷς, φάναι, ὡς καλῶς οἰνοχρεῖ καὶ εὐσχημόνως; Οἱ δὲ τῶν
βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι, καὶ καθαρίως
ἐγχέουσι, καὶ διδόασι, τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην,
καὶ προσφέρουσιν, ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ
20 μέλλοντι πίνειν. §. 9. Κέλευσον δή, φάναι, ὦ πάππε, τῷ Σάκᾳ καὶ
ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι πιεῖν ἐγχέας ἀνα-
21 κτήσωμαί σε, ἣν δύνωμαι. Καὶ τὸν κελεῦσαι δοῦναι. Λαβόντα δὲ
δὲ τὸν Κῦρον, οὕτω μὲν εὖ κλύσαι τὸ ἔκπωμα, ὥσπερ τὸν Σάκαν
ἑώρα, οὕτω δὲ στήσαντα τὸ πρόσωπον σπουδαίως καὶ εὐσχημό-
νως προσενεγκεῖν καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ
22 μητρὶ καὶ τῷ Ἀστυάγῃ πολὺν γέλωτα παρασχεῖν. Καὶ αὐτὸν
δὲ τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον, καὶ
φιλοῦντα ἅμα εἰπεῖν, Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε τῆς τιμῆς·
τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίο-
23 μαι αὐτὸς τὸν οἶνον. (Οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐν-
διδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀρι-
στερὰν χεῖρα ἐγχεάμενοι καταῤῥοφοῦσι· τοῦ δή, εἰ φάρμακα ἐγ-
24 χέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς.) §. 10. Ἐκ τούτων δὴ ὁ Ἀστυάγης ἐπι-

---

15 Ἢ καὶ δίδως, φάναι μοι) Τὸ φάναι παρέλκει· ἀρκοῦντος τὸ εἰπεῖν· τὸ δὲ Ἢ ἀντὶ τοῦ Ἀρά γε.

— Ἐγώ σοι) Ἐννοεῖται, δίδωμι ταῦτα.

§. 7. Σοὶ μὲν τοῦτ.) Ἐννοεῖται, δίδωμι· οὕτω δὲ καὶ ἐν τοῖς ἑξῆς.

§. 8. Ὁ δὲ Σάκας ἄρα) Ὁ Ἄρα παραπληροῖ ἔμφασίν τινα δεικνύων ἐν τῷ λόγῳ.

§. 9. 21. Καὶ τὸν κελεῦσαι δοῦναι) Ἄρθρῳ ἀντὶ δεικτικῆς ἀντωνυμίας ἐχρήσατο· οἷον· καὶ τὸν Ἀστυάγην, φασί, κελεῦσαι τῷ Σάκᾳ ἵνα δῷ τῷ Κύρῳ τὸ ἔκπωμα.

22. Τῆς τιμῆς) Ἡ γενικὴ διὰ τὴν ἐνοῦσαν τῷ ῥήματι πρόσθεσιν Ἐκ· ἤτοι βαλῶ σε ἐκ τῆς τιμῆς· ἔνθα χωρισμὸν ἢ πρόσθεσιν σημαίνει.

23. Τῷ κυάθ.) Μικρὸν δὲ ποτήριον ὁ κύαθος.

— Τοῦ δή . . . μὴ λυσιτελ.) Ἵν' ἀνωφελὲς ᾖ αὐτοῖς τὸ ἐγχεῖν φάρμακα· ὁ δὲ Δὴ ἐμφαντικός ἐστι· Τοιοῦτον γὰρ ἐμφαίνει τὸν λόγον. Τούτου δὴ ἕνεκα καταῤῥοφοῦσι τοῦ μή· καὶ τλ. εἴρηται δὲ τὸ λυσιτελεῖν κατ' εὐφημισμόν· ἀντὶ τοῦ, μηδὲν ὀλέθριον γένηται.

§. 10. Ὁ Ἀστυάγ.) Ἀνώρθωτε τὸν λόγον, ἐκ τοῦ διηγηματικοῦ εἰς τὸ ἀποφαντικὸν μεταβαλών. Καὶ Διηγηματικὸν μὲν λέγω

σκώπτων, Καί τί δή, ἔφη, ὦ Κῦρε, τὰ ἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἀπερρόφησας τοῦ οἴνου; Ὅτι, νὴ Δί', ἔφη, ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Καὶ γάρ, ὅτε εἰστίας σὺ 25
τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα. Καὶ πῶς δή, ἔφη, σύ, ὦ παῖ, τοῦτο κατέγνως; Ὅτι, νὴ Δί', ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γάρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖ- 26
δας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲ ἓν ἀλλήλων· ᾄδετε δὲ καὶ μάλα γελοίως· οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμύετε ᾄδειν ἄριστα. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνιστάμενοι ὀρχήσεσθε, μὴ ἄπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. Ἐπελέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς ἦ- 27
σθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρα ἦν ἡ ἰσηγορία, ἃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε. §11. Καὶ ὁ Ἀστυάγης εἶπεν, Ὁ δὲ σὸς πα- 28
τήρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γάρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν· Ἀλλὰ τί ποτε σύ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς; Τὸν δὲ Κῦρον 29
εἰπεῖν, Ὅτι, νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με, πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσθραμεῖν, οὗτος ὁ μιαρώτατος ἀπεκώλυει. Ἀλλὰ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡ- 30
μέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι, Στὰς ἄν, ὥσπερ οὗτος, 31

τὸ δι' ἀγραμματικοῦ ῥήματος καὶ ἀπαρεμφάτου ἐκφραζόμενον. Ἀποφαντικὸν δὲ τὸ ὀρθῶς κατ' ὀνομαστικὴν καὶ ῥῆμα.

26. Ἐμανθάνετε δ' οὐδὲ ἕν) Τὸ μὲν δὴ μανθάνω ἀντὶ τοῦ ἀκούω ἢ συνίημι· τὸ δὲ Οὐδὲ Ἀττικῶς ἀντὶ τοῦ Οὐδέν· τὸ δ' ἀλλήλων συντακτικὴ τοῦ μανθάνω· κατ' εἰσπομπὴν γὰρ ἐνταῦθα λαμβάνεται κατὰ τὸ Ἀκούω.

— Λέγων δὲ ἕκαστ) Τὸ Λέγειν πρὸς τὸ Ἕκαστος συνεφώνησε κατὰ ἀριθμὸν, δέον πληθυντικῶς, ἐπειδὴ τὸ ἕκαστος διὰ τὸ Ὑμῶν πρὸς πληθυντικὸν φέρεται ῥῆμα, ἐξενεχθῆναι· ἀλλὰ τοιαῦτα πολλά ἐστι παρὰ τοῖς Ἕλλησιν.

— Ἐπεὶ ἀναστα.) Ὁ ἐπεὶ χρονικὸς ὢν καὶ πρὸς ὁριστικὸν καὶ εὐκτικὸν φέρεται ῥῆμα, εἰ περὶ παρῳχημένου ὁ λόγος.

27. Ἐπιλέλησθ) Τὸ σχῆμα κατὰ ζεῦγμα ἐπιξευκτικὸν, προκειμένου τοῦ ῥήματος πληθυντικῶς· ἐν δευτέρῳ δὲ προσώπῳ διὰ τὸ πρὸς ὃν διαλέγεται τὸ πλεῖστον ἀναφέρεσθαι· τὸ Ἦσθα· κατ' ἐπέκτασιν τῆς Θα συλλαβῆς· ἦν, ἦς, καὶ ἦσθα· ἀπὸ τοῦ Εἰμί.

— Τοῦτο ἄρα) Ὁ ἄρα ἐνταῦθα ἤτοι βεβαιωτικὸς, ἢ ἀντὶ τοῦ ἔοικε· καθ' ἑκάτερα γὰρ ὁ νοῦς ἔρρωται.

— Οὐδέποτε γοῦν) Ὁ Γοῦν ἀντὶ τοῦ δέ· ἤγουν, καὶ ἀεὶ ἐλέγετε, μηδέποτε σιωπῶντες.

§.11. Διψῶν παύετ.) Ὁ νοῦς· Ὁπόταν διψῇ, πίνει, ἵνα παύσηται διψῶν· κἀντεῦθεν οὐδὲν ἄλλο πάσχει, ἢ παύεται διψῶν.

29. Τίποτε) Ἀντὶ διὰ τίποτε· κατ' ἔλλειψιν δηλονότι τῆς Διά· τὸ δέ ποτε παραπληρωματικὸν δι' ἔμφασιν τιθέμενον· σημαίνει δέ τινα διασαφῶν ἢ ἀπορίαν ὑπεμφαῖνον μικρόν τι καὶ τοῦ χρονικοῦ αὐτοῦ ἰδιώματος.

— Τὸν δὲ Κῦρ. εἰπ.) Πάλιν μετέβαλε τὸ ὕφος εἰς διηγηματικόν.

ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα, ὁπότε βούλοιτο εἰσιέναι ἐπ᾽ ἄριστον, λέγοιμ᾽ ἄν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν, σπουδάζει γάρ πρός τινας. Εἶθ᾽ ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ᾽ ἄν, ὅτι λοῦ-
32ται. Εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ᾽ ἄν, ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι τοῦτον, ὥσπερ οὗτος ἐμὲ παρα-
33τείνει ἀπὸ σοῦ κωλύων. §. 12. Τοιαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δὲ ἡμέρας, εἴτινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον ἢ τὸν τῆς μητρὸς ἀδελφόν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσοντα· ὅ,τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

34 §. 13. Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης, καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χα-
ρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν νομίζειν εἶναι κα-
35ταλιπεῖν. §. 14. Ἔνθα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ᾽ ἐμοί, πρῶτον μὲν τῆς παρ᾽ ἐμὲ εἰσόδου σοὶ οὐ Σάκας ἄρξει, ἀλλ᾽, ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμέ, ἐ-
36πὶ σοὶ ἔσται· καὶ χάριν σοι, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεο-νάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δέ, ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλλοις, ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς, ἔχων ἄπει, οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ ἐν τῷ δείπνῳ ἐπὶ τὸ μετρίως σοι δο-
37κοῦν ἔχειν ὁποίαν βούλει ὁδὸν πορεύσῃ. Ἔπειτα τά τε νῦν ὄν-τα ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σύ, ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξῃ, καὶ τοξεύων καὶ ἀκοντίζων καταβλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαιστορας παρέξω· καὶ ἄλλα, ὅσα
38ἂν βούλῃ, λέγων πρὸς ἐμὲ οὐκ ἀτυχήσεις. §. 15. Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον, πότερα βού-λοιτο μένει, ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶ-

---

31. Σπουδάζει γὰρ) Τὸ Ἄριστον τὸ Δεῖπνον, καὶ τὸ Φαγεῖν· προσωποποιεῖ αὐτὰ χαριέντως χρώμενος ἐν ἑκάστῳ μίαν τῶν τοῦ Σάκα ἐκφράσεων, αἷς ἐχρῆτο ἐκεῖνος πρὸς αὐτὸν, ἀπὸ τοῦ πάππου κωλύων· λέγων ὅτι ὁ πάππος σπουδάζει πρός τινας, λούεται, ἢ παρὰ ταῖς γυναιξίν ἐστιν· οὕτω καὶ ὁ Κῦρος ἐθέλει λέγειν πρὸς αὐτόν, ὅτι τὸ Ἄριστον σπουδάζει πρός τινας τὸ Δεῖπνον λούεται τὸ Φαγεῖν ἐστὶ παρὰ ταῖς γυναιξί.

§. 12. Φθάσαι ποιήσ.) Προλαβεῖν δηλ. καὶ ποιῆσαι τοῦτο.

— Ὅ,τι γὰρ) Ἐλλείπει ἡ Κατὰ· καθ᾽ ὅ, τι γάρ· κτλ.

§. 14. 36. Ἔχων ἄπει) Μετάθεσις οἷον ἄπει ἔχων οὓς ἂν αὐτὸς ἐθέλῃς ἵππους ὅταν βουληθῇς εἰς τὴν πατρίδα ἀπιέναι.

— Ἐπὶ τὸ δοκ.) Ἐπ᾽ ἐκεῖνο, ὅπερ σοὶ δοκεῖ ἔχειν μετρίως, ἐπὶ τοῦτο πορεύσῃ ὁποίαν βούλει ὁδόν· ὡς ἐν τῷ 10, 11.

37. Ἐπειδὰν τάχιστ.) Τὸ Τάχιστα ἐνταῦθα ἑτοιμότητα δηλοῖ, ἄλλως γὰρ παρέλκει.

— Διώξῃ) Ὁ μέλλων καὶ ἀόριστος τῶν μέσων ὡς ἐπὶ τὸ πλεῖστον ἐνεργητικὴν ἔχει σημασίαν· οὐκ ἀπολειπόμενοι παντάπασι τοῦ μέσου αὐτῶν ἰδιώματος· καὶ γάρ, τὸ διώξῃ καί τοι ἀντὶ τοῦ διώξεις κείμενον ὅμως ἔχει μετότητα τὴν διὰ τοῦ ἵππου

πεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μη- 39
τρός, διὰ τί, εἰπεῖν λέγεται· Ὅτι οἶκοι μὲν τῶν ἡλίκων καὶ
εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ τοξεύων καὶ ἀ-
κοντίζων· ἐνταῦθα δὲ εὖ οἶδα, ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡ-
λίκων· καὶ τοῦτο, εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ.
Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν, μὲν 40
ἐν Πέρσαις ὦ, εἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥα-
δίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω, ἐνθάδε πειράσομαι
τῷ πάππῳ, ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεύς, συμμαχεῖν
αὐτῷ. §. 16. Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, 41
πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοὶ τῶν διδασκάλων; Καὶ τὸν Κῦ-
ρον φάναι, Ἀλλ', ὦ μῆτερ, ἀκριβῶς ταύτην γε οἶδα. Πῶς σὺ 42
οἶσθα; εἰπεῖν τὴν Μανδάνην. Ὅτι, φάναι, ὁ διδάσκαλός με, ὡς
ἥδη ἀκριβοῦντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καθίστη δικάζειν.
Καὶ τοίνυν, φάναι, ἐπί μιᾷ δή ποτε δίκῃ πληγὰς ἔλαβον, ὡς
οὐκ ὀρθῶς δικάσας. §. 17. Ἦν δὲ ἡ δίκη τοιάδε· Παῖς μέγας, μι- 43
κρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρόν, μέγαν ἔχοντα χιτῶνα,
ἐκδύσας αὐτόν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνου
αὐτὸς ἐνέδυ. Ἐγὼ γοῦν τούτοις δικάζων, ἔγνων, βέλτιον εἶναι
ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. Ἐν δὲ τού- 44
τῳ με ἔπαισεν ὁ διδάσκαλος, λέγων, ὅτι ὁπότε μὲν καταστα-
θείην τοῦ ἁρμόττοντος κριτής, οὕτω δέοι ποιεῖν· ὁπότε δὲ κρῖ-
ναι δέοι, ὁποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς
κτῆσις δικαία ἐστί· πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν
ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι. Ἔπειτα δὲ ἔφη, τὸ μὲν 45
νόμιμον δίκαιον εἶναι· τὸ δὲ ἄνομον, βίαιον. Σὺν τῷ νόμῳ οὖν
ἐκέλευεν ἀεὶ τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. Οὕτως ἐγώ σοι,

---

40. Συμμαχεῖν αὐτῷ) Τὸ Αὐτῷ περιττόν, ἱκανὸν γὰρ ἦν συμμαχεῖν τῷ πάππῳ, ἀλλ' ἐπειδὴ καθ' Ὑπερβιβασμὸν παρενέβυσε τὸ ἀγαθῶν ἱππέων κράτιστος ἱππεύς, ἀνέφερε πάλιν ὡς εἰς προλεχθὲν κατ' ἄλλην τινὰ πτῶσιν ἢ δοτικήν, ἣν ἀπαιτεῖ τὸ συμμαχεῖν.

§. 16. 42. Καὶ ἄλλοις καθίστη δικ.) Τὸ Δικάζειν δοτικῇ. Ἀπολλώνιος γάρ, Δίκας λαοῖσι δικάζειν φησί· καὶ Αἰσχίνης, δικάζω ἑκάστῳ ὥσπερ καὶ Δημοσθένης, δικάζω τῷ ἀδικεῖσθαι φάσκοντι.

§. 17. 43. Ἐκδύσας αὐτ.) Κατὰ τά, ἐν τῷ 44 συμμαχεῖν, εἰρημένα.

44. Ὁπότε κατασταθείην) Πρὸς εὐκτικὸν κατ' ἔλλειψιν τοῦ δυνητικοῦ Ἂν καὶ διὰ τὸ ἀμφίβολον.

— Σκεπτέον εἶναι) Τὸ Εἶναι παρέλκει· ἔθος γὰρ ἐν τοῖς θετικοῖς ἐπιρρήμασι τιθέναι τὸ Ἐστὶ περιττῶς, ἀττικὸν δὲ τὸ ἔθος· ἔστι δὲ ἀντὶ τοῦ Δεῖ σκέπτεσθαι.

— Ἔχειν ἢ κεκτῆσθ.) Ἐννοεῖται τὸ Δεῖ ὡς ἀπὸ κοινοῦ, ἀπὸ τοῦ ἐνόντος ἐν τῷ σκεπτέον.

45. Σὺν τῷ νόμῳ) Συμφώνως δηλ. τῷ νόμῳ· καθάπερ ὁ νόμος λέγει.

— Τὴν ψῆφον τίθεσθ.) Ἔθος ἦν παρὰ τοῖς παλαιοῖς δικάζουσι τιθέναι ἔν τινι κιβωτίῳ πετρίδι ἄττα ψήφους καλούμενα· ἦσαν δὲ αὗται λευκὴ μὲν ἐπὶ σωτηρίᾳ, μέλαινα δὲ ἐπὶ καταδίκῃ· ἐν ὁποτέρῳ οὖν τῶν μερῶν αἱ ψῆφοι πλείους ἐγίγνοντο, κατεδικάζετο, ἢ ἀφίετο ὁ κρινόμενος· καὶ τοῦτο ἐστι τὸ ψῆφον τιθέναι

ἔφη, ὦ μῆτερ, τάγε δίκαια πανταπασιν οἶδα ἀκριβῶ· ἦν δέ τι
46 ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει. §. 18.
Ἀλλ' οὐ ταῦτα, ἔφη, ὦ παῖ, παρά τε τῷ πάππῳ δίκαια καὶ ἐν
Πέρσαις ὁμολογεῖται. Οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων
δεσπότην ἑαυτὸν πεποίηκεν· ἐν Πέρσαις δὲ τὸ ἴσον ἔχειν δί-
47 καιον νομίζεται. Καὶ ὁ σὸς πρῶτος πατὴρ τεταγμένα μὲν ποιεῖ,
ἃ ποιεῖ τῇ πόλει· τεταγμένα δὲ λαμβάνει· μέτρον δὲ αὐτῷ οὐχ
ἡ ψυχή, ἀλλ' ὁ νόμος ἐστίν. Ὅπως οὖν μὴ ἀπολῇ μαστιγού-
48 μενος, ἐπειδὰν οἴκοι εἴῃς, ἂν παρὰ τούτου μαθὼν ἥκῃς ἀντὶ
τοῦ βασιλικοῦ τὸ τυραννικόν, ἐν ᾧ ἐστι τὸ πλέον οἴεσθαι χρῆ-
49 ναι ἁπάντων ἔχειν. Ἀλλ' ὅγε σὸς πατήρ, εἶπεν ὁ Κῦρος, δει-
νότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν, μεῖον ἢ πλεῖον ἔχειν. Ἢ
οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ Μήδους ἅπαντας δεδίδαχεν ἑαυτοῦ
50 μεῖον ἔχειν; Ὥστε θάρσει, ὡς ὁ σός γε πατὴρ οὔτε ἄλλον οὐ-
δένα οὔτ' ἐμὲ διδάξας πλεονεκτεῖν ἀποπέμψεται.

γ'. Ὅ,τι Κῦρος ἐποίει ληφθεὶς ἐν Μήδοις. Α'. δ'.

Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δέ, ἡ μὲν
2 μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ ἐτρέφετο. Καὶ
ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκραστο, ὥστε οἰκείως διακεῖ-
σθαι· ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρτητο, προσιών, καὶ
ἔνδηλος ὢν, ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς· ὥστε καὶ, εἴ τι τοῦ
βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον Κύρου δεῖσθαι, δια-
3 πράξασθαι σφίσιν. Ὁ δὲ Κῦρος, ὅ,τι δέοιντο αὐτοῦ οἱ παῖδες,
διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν περὶ παντὸς ἐποιεῖτο δια-
4 πράττεσθαι. §. 2. Καὶ ὁ Ἀστυάγης δέ, ὅ,τι δέοιτο αὐτοῦ ὁ Κῦ-
ρος, οὐδὲν ἐδύνατο ἀντιλέγειν μὴ οὐ χαρίζεσθαι. Καὶ γάρ, ἀσθε-

---

§. 18. Τὸ ἴσον ἔχ.) Ἡ ἰσοτιμία· τὸ μὴ πλέον ἔχειν τὸν βασιλέα τοῖς ἰδιώταις.

47. Καὶ ὁ σὸς πρῶτος πατ.) Καὶ ὁ πατήρ σου ὁ πρῶτος ὢν ἐν Πέρσαις.

— Οὐχ ἡ ψυχ. ἀλλ' ὁ νόμ.) Οὐ γὰρ ὅσα βούλεται λαμβάνει, οὐδὲ ποιεῖ ὅσα θέλει, ἀλλ' ὅσα ἐστὶν ἐν τῷ νόμῳ γεγραμμένα. Σημείωσαι δὲ ὅτι ἐνταῦθα ὁ Ξενοφῶν τὴν ἰδίαν δόξαν περὶ βασιλέως ἐκτίθησι.

48. Ὅπως οὖν) Ἐννοεῖται ἐνταῦθα Πρόσχες, ἢ Ὅρα· ἤ τι τοιοῦτον· οἷον· Πρόσχες οὖν ὅπως μὴ ἀπολῇ μαστιγούμενος, οἴκαδε ἐλθών.

— Ἐν ᾧ.) Τυραννικῷ δηλ. οἱ γὰρ Τύραννοι λέγονται ὅτι χρὴ ἁπάντων πλέον ἔχειν· οὐ μὴν δὲ οἱ ἀγαθοὶ βασιλεῖς, οἱ κατ' ἀγαθὸν πατέρα ποιούμενοι.

49. Μεῖον ἢ πλέον ἔχ.) Ἐμὲ δηλ. περὶ οὗ δέοιτο μὴ τὸ πλεονεκτεῖν μαθὼν ἀπολωμαι, ἐν Πέρσαις γενόμενος.

— Ἢ οὐχ ὁρ.) Ὁ Ἢ ἀποφηματικὸς ἀντὶ τοῦ Ἀράγε.

50. Ὡς) Αἰτιολογικὸν ἀντὶ Ἐπειδή.

γ'. Τέλος δὲ) Ὅπερ ἡμεῖς νῦν λέγομεν, Τέλος δὲ πάντων.

— Αὐτοῦ ἐτρ.) Ἐν τῇ Μ.,δείᾳ δηλ. παρὰ τῷ πάππῳ.

2. Ἀνήρτητο) Εἵλκυσεν εἰς εὔνοιαν καὶ ἀγάπην.

— Διαπράξασθαι σφίσ.) Ἵνα κατορθώσῃ τὸ ζητούμενον χαριζόμενος αὐτοῖς.

3. Περὶ παντὸς ἐποιεῖτ.) Ὑπὲρ πᾶν ἄλλο προετίμα. Σημείωσαι ὅτι τὸ περὶ παντὸς ποιοῦμαι ὡράσις ἐστὶν Ἑλληνισμοῦ ἀντὶ τοῦ, προτιμῶ τοῦτο ὑπὲρ πᾶν ἄλλο τι.

§. 2. Μὴ οὐ χαρίζ.) Ὅτι οὐ χαρίζεται· τὸ γὰρ Μὴ οὐ ἀντὶ μιᾶς ἀρνήσεως κεῖται ἔθει ἀττικῷ.

— Καὶ γὰρ ἀσθενήσ. καὶ τλ.) Ἀφελὴς ὁ λόγος καὶ χυδαϊκός· ἔοικε γὰρ εἰπεῖν. Καὶ

νήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλειπε τὸν πάππον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο· δῆλός τε ἦν πᾶσιν, ὅτι ὑπερεφοβεῖτο, μὴ οἱ ὁ πάππος ἀποθάνοι. Καὶ γὰρ ἐκ νυκτός εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ἠσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων, ὅ,τι εἴοιτο χαριεῖσθαι· ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην. 5

3. Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα μὲν διὰ 6
τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγων, ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι· ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι· καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνατο· ὡς τε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. Ἀλλ' ὥσπερ γὰρ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι νεαρὸν αὐτοῖς, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν· οὕτω 7
καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσως διεφαίνετο, ἀλλ' ἁπλότης τις καὶ φιλοστοργία· ὥστ' ἐπεθύμει ἄν τις ἔτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι.

ζ. 4. Ὡς δὲ προῆγεν ὁ χρόνος αὐτὸν σὺν τῷ μεγέθει εἰς ὥραν τοῦ 8
πρόσθεν γενέσθαι, ἐν τούτῳ δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ· αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις· καὶ τὸ σκυλακώδες, τὸ πᾶσιν ὁμοίως προσπίπτειν, οὐκέθ' ὁμοίως προπετῶς εἶχεν. Οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες 9
πρὸς ἀλλήλους, οὐχ, ἃ κρείττων ἤδει ὤν, ταῦτα προὐκαλεῖτο τοὺς συνόντας, ἀλλ', ἅπερ εὖ ἤδει ἑαυτὸν ἧττονα ὄντα, ταῦτα ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν· καὶ κατῆρχεν

γὰρ ἀσθενήσαντα οὐδέποτε ἀπέλιπε τὸν πάππον, Ἀλλὰ τοῦτο ἐσκεμμένου· τὸ δὲ τοῦ Ξενοφῶντος, κατὰ τὸ ἐπελθὼν αὐτῷ, ἐξήνεκται.

— Μὴ οἱ ὁ π.) Τὸ Μὴ πρὸς εὐκτικὸν ἀπὸ παρωχημένου φέρεται, ὥσπερ καὶ πολλὰ τῶν μορίων τοιαῦτα, ἄλλοις ἑπόμενα· τὸ δὲ Οἱ πρωτότυπος ἀντωνυμία προσώπου τρίτου, πτώσεως ὀπτικῆς, περιποιητικῶς δὲ ἀντὶ κτητικῆς γενικῆς· ὁπότε γάρ τι πάθος ἐμφαίνεται τότε ἡ γενικὴ εἰς ὀπτικὴν μεταβάλλεται.

5. Καὶ γὰρ ἐκ νυκτ.) Ἐκ τούτου φανερὸν ὅτι ἡ Ἐκ ἐννοεῖται ὅτε ὁ ὡρισμένος χρόνος διὰ γενικῆς ἄνευ προθέσεως ἐκφέρεται.

3. Πολυλογ.) Ἐννοεῖται, ἢ ὅσον ἀπήτει ἡ ἡλικία αὐτοῦ.

— Ὧν ἐποίει) Ἐκείνων, ἃ ἐποίει.

4. Παρεῖναι.) Τῷ Κύρῳ σιωπῶντι.

8. Βραχυτέρ.) Ἢ πρότερον ὀηλ.

— Σκυλακώδες) Ὥσπερ ποιοῦσιν οἱ σκύλακες ὀηλ. ἐννοεῖται δὲ ἐν ταῖς συνουσίαις· τὸ δὲ, Τὸ πᾶσιν ὁμοίως προσπίπτειν, ἐπεξήγησίς ἐστι τοῦ, Σκυλακώδες· ὡς εἰ ἔλεγε. Καὶ τὸ σκυλακώδες δὲ, ᾧ ἐν ταῖς συνουσίαις ἐχρῆτο, τὸ πᾶσι ὀηλ. ὁμοίως προσπίπτειν.

9. Οὐχ ἃ κρείττων ἤδει ὤν, ταῦτα καὶ τλ.) Οὐ προκαλεῖτο τοὺς συνόντας πρὸς ταῦτα, καθ' ἃ ἐγίνωσκεν ἑαυτὸν, ὅτι ἦν κρείσσων τῶν ἄλλων· ἀλλ' ἐκεί-

10 ἢ διαναπηδῶν ἐπὶ τοὺς ἵππους ἢ διακοντιούμενος ἢ διατοξευ-
σόμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἔποχος ὤν· ἡττώμε-
νος δέ, αὐτὸς ἐφ' ἑαυτοῦ μάλιστα ἐγέλα.

11 §. 5. Ὡς δ' οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι εἰς τὸ μὴ ποιεῖν, ἃ
ἡττῶτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν,
ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἡλικιώταις· ταχὺ δὲ
παρῆει, διὰ τὸ ἐρᾶν τοῦ ἔργου· ταχὺ δὲ καὶ τὰ ἐν τῷ παραδεί-
σῳ θηρία ἀνηλώκει, διώκων καὶ βάλλων καὶ καταικαίνων· ὥ-
12 στε Ἀστυάγης οὐκέτ' εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦ-
ρος, αἰσθόμενος, ὅτι βουλόμενος οὐ δύναιτο οἱ ζῶντα παρέχειν,
πολλάκις ἔλεγε πρὸς αὐτὸν, Ὦ πάππε· τί σε δεῖ θηρία ζη-
τοῦντα πράγματα ἔχειν; Ἀλλ' ἢν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν
13 σὺν τῷ θείῳ, νομιῶ, ὅσα ἂν ἴδω θηρία, ἐμοὶ ταῦτα τρέφεσθαι.
§. 6. Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκέθ' ὁ-
μοίως λιπαρεῖν ἐδύνατο, ὥσπερ παῖς ὤν, ἀλλ' ὀκνηρότερον
14 προσῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, ὅτι οὐ παρίει
αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ
γὰρ προσῄει, εἰ μὴ προϊδοι, εἰ καιρὸς εἴη· καὶ τοῦ Σάκα ἐ-
δεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐν καιρῷ εἴη εἰσιέναι,
καὶ ὁπότε οὐκ ἐν καιρῷ· ὥστε ὁ Σάκας ἤδη ὑπερεφίλει αὐτὸν,
ὥσπερ καὶ οἱ ἄλλοι πάντες.

15 §. 7. Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα
τῆς ἔξω θήρας, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας
συμπέμπει ἐφ ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωριῶν
φυλάττοιεν αὐτὸν, καὶ εἴ τῶν ἀγρίων τί φανείη θηρίων. Ὁ οὖν
Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ὁποίοις οὐ χρὴ
16 θηρίοις πελάζειν, καὶ ὁποῖα χρὴ θαῤῥοῦντα διώκειν. Οἱ δ' ἔ-
λεγον, ὅτι ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντες διέφθειραν
17 καὶ λέοντες καὶ κάπροι καὶ παρδάλεις· αἱ δὲ ἔλαφοι, καὶ
δορκάδες καὶ οἱ ἄγριοι ὄϊες καὶ οἱ ὄνοι οἱ ἄγριοι ἀσινεῖς εἰσιν.
18 Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας ὅτι δέοι φυλάττεσθαι
οὐδὲν ἧττον, ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη αὐτοῖς τοῖς ἵπποις

ναι ἐξῆρχε πράττειν, καθ' ἃ εὖ ἐγίνωσκεν ὅτι ἦν ἐλάτσων.

10. Οὔπω πάνυ ἔποχ. ὤν) Οὐκ ὢν ἐπιτήδειος πάνυ τοῦ ἱππεύειν.

§. 5. Ὡς δὲ οὐκ ἀπεδίδρ. κτλ.) Ἐπειδὴ δὲ ἡττώμενος οὐ ἀπέφευγεν, οὐδ' ἄτολμος ἦν εἰς τὸ μὴ ποιεῖν ἃ ἡττῶτο, ἀλλ' ἐκαλινδεῖτο, ταχὺ μὲν καὶ τλ.

12. Οὐ δύναιτο οἱπαρ) Τὸ Οἱ ἀντὶ αὐτῷ.

—Νομιῶ) Νομίσω, καὶ ἀττικῶς νομιῶ.

§. 6. 14. Καὶ τοῦ Σάκα ἐμ..) Πάντα τόπαν, ἀληθῶς καὶ μετὰ βεβαίου φρονήματος.

§. 7. 15. Καὶ Εἰ τῶν ἀγρ.) Ἐννοεῖται ἀπὸκοινοῦ τὸ Φιλάττοιεν αὐτόν.

17. Ἀσινεῖς) Οὐ φέρουσί τινα, βλάβην.

18. Τὰς δυσχωρίας ὅτι δέοι) Τὸ Ὅτι, ἀνάλυσις ὀνοματικοῦ ἀπαρεφμάτου, ἀντὶ τὸ δεῖν φυλάττεσθαι τὰς δυσχωρίας.

— Πολλοὺς γὰρ ἤδ.) Ἐννοεῖται ἀπὸ

κατακρημνισθῆναι. §. 8. Καὶ ὁ Κῦρος ταῦτα πάντα ἐμάνθανε19
προθύμως· ὡς δὲ εἶδεν ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος ὧν ἤκουσεν, ἐθήρευεν, οὐδὲν ἄλλο ὁρῶν, ἢ ὅποι ἔφευγε. Καί πως διαπηδῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ κἀκεῖνον ἐξετραχήλισεν· οὐ μὴν ἀλλ' ἐπέμεινεν ὁ Κῦρος μόλις πως, καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δὲ εἰς τὸ πεδίον ἦλ-21
θεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα καὶ μέγα. Καὶ ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προσελάσαντες, ἐλοιδόρουν αὐτόν, καὶ ἔλεγον, εἰς οἷον κίνδυνον ἔλθοι, καὶ ἔφασαν, κατερεῖν αὐτοῦ τῷ πάππῳ. Ὁ οὖν Κῦρος εἱστήκει κατα-
βεβηκώς, καὶ ἀκούων ταῦτα ἡσθάνετο. Ὡς δ' ἤσθετο κραυγῆς,22
ἀνεπήδησεν ἐπὶ τὸν ἵππον, ὥσπερ ἐνθουσιῶν· καὶ ὡς εἶδον ἐκ τοῦ ἐναντίου κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει· καὶ διατεινάμενος εὐστόχως βάλλει εἰς τὸ μέτωπον, καὶ κατέσχε τὸν κάπρον. §. 9. Ἐνταῦθα μέντοι ἤδη καὶ ὁ Θεῖος αὐτῷ ἐλοιδορεῖτο,23
τὴν θρασύτητα ὁρῶν. Ὁ δ' αὐτοῦ λοιδουμένου ὅμως ἐθεῖτο, ὅσα αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι αὐτὸν δοῦναι εἰσκομίσαντα τῷ πάππῳ. Τὸν δὲ Θεῖον εἰπεῖν φασίν, Ἀλλ' ἴσθι αἴσθηται, ὅτι ἐ-24
θέλοντες, οὐ σοί μόνον λοιδορήσεται, ἀλλὰ καὶ ἐμοί, ὅτι σε εἴων. Κἂν βούληται, φάναι αὐτὸν, μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ. Καὶ σύ γε, εἰ βούλει, ἔφη, ὦ Θεῖε, τιμωρησάμενος, ὅ, τι βούλει, τοῦτο ὅμως χάρισαί μοι. Καὶ ὁ Κυαξάρης μέντοι τελευτῶν εἶπε, Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν γε ἡμῶν ἔοικας βασιλεὺς εἶναι. §. 10. Οὕτω δὴ ὁ Κῦρος25

κοινοῦ τὸ ἔλεγον ὅτι πολλοὶ ἤδη κατεχρημνίσθησαν σὺν αὐτοῖς τοῖς ἵπποις.

§. 8. 19. Ἐμάνθανεν.) Ἴσχυεν· οὕτω καὶ ἐν Ε΄. 26.

— Οὐδὲν ἄλλο) Μήτε δυσχωρίας ὁπλ. μήτε ἄλλο τοιοῦτό τι ὁρῶν, ἢ ὅπου ἔφυγεν ἡ ἔλαφος.

20. Οὐ μὴν ἀλλ' ἐπέμ.) Οὐκ ἔπεσε δέ τοι, ἀλλ' ἐπέμεινεν.

21. Καλόν τι χρῆμα καὶ μέγ.) Ἐννοεῖται οὖσαν.

— Ἐλοιδόρουν αὐτὸν) Λοιδορῶ καὶ λοιδοροῦμαι ἐνεργητικῶς λεγόμενα διαφόρως συντάσσονται· τὸ μὲν γὰρ λοιδορῶ αἰτιατικῇ, ὀστικὴ δὲ τὸ λοιδοροῦμαι· ἐν γὰρ τῷ 23. ὁ Θεῖος ἐλοιδορεῖτο αὐτῷ λέγει.

— Εἰς οἷον κίνδυνον ἔλθοι.) Ἀντὶ τοῦ ἦλθεν· πάντα γὰρ σχεδὸν τὰ ἀπὸ παρῳχημένου ἐξαρτώμενα πρὸς εὐκτικὸν ἐστιν εὑρεῖν.

— Κατερεῖν αὐτοῦ τῷ π.) Ἡ μὲν ὀστικὴ τοῦ ῥήματος, ἡ δὲ γενικὴ τῆς προθέσεως· οἷον ἐρεῖν τῷ πάππῳ κατ' αὐτοῦ.

22. Βάλλει καὶ κατέσχ.) Τὸ Βάλλει ἀντιχρονισμός· ἀντὶ τοῦ Ἔβαλεν· εἴληπται δ' ὁ ἐνεστὼς, ἑτοιμότητα καὶ βεβαίωσιν σημαίνων τοῦ γιγνομένου.

§. 9. Ἐλοιδορεῖτο.) Μέσως· περιποιούμενος ὁπλ. αὐτῷ· ὑπὲρ αὐτοῦ ἐποιεῖτο τὴν λοιδορίαν· ὅθεν καὶ ὀστικῇ· ὅρα καὶ 21. Ἐλοιδόρουν.

— Ὁ δ', αὐτοῦ λοιδορουμένου, ὅμως ἐθ.) Ὁ δὲ Κῦρος ἐθεῖτο αὐτοῦ καίτοι λοιδορουμένου αὐτῷ· οὐ γὰρ ἀπόλυτος ἡ γενικὴ, ἀλλὰ συντακτικὴ τοῦ Ἐθεῖτο· τὸ δ' Ὅμως παρέλκει διὰ τὸ ὑπερβατὸν σχῆμα, προτεθείσης γὰρ τῆς μετοχῆς ἐνδοτικῶς, ἐπέφερε τὸν ὅμως. Ἴν' ᾖ καί τοι, ὅμως· ἔστι δὲ εἰπεῖν τὸν ὅμως καὶ ἐκ παραλλήλου κείμενον τῷ Δέ· οἷον· ὁ δ' ὅμως ἐθεῖτο αὐτοῦ λοιδ.

24. Φάναι αὐτ.) Τὸν Κῦρον ὁπλ.

— Καὶ ὁ Κυαξάρης μέντοι.) Καὶ μέντοι ἀντὶ τοῦ Δέ.

— Σὺ γὰρ νῦν γε . . . . βασιλεύς.)

εἰσκομίσας τὰ θηρία, ἐδίδου τε τῷ πάππῳ, καὶ ἔλεγεν, ὅτι αὐτὸς ταῦτα θηράσειεν ἐκείνῳ. Καὶ τὰ ἀκόντια ἐδείκνυε μὲν οὔ, κατέθηκε δὲ ἠματωμένα, ὅπου ὥετο τὸν πάππον ἅψεσθαι.
26 Ὁ δὲ Ἀστυάγης ἄρα εἶπεν, Ἀλλ', ὦ παῖ, δέχομαι μὲν ἔγω-
γε ἡδέως, ὅσα δίδως· οὐ μέντοι δέομαί γε τούτων οὐδενός,
ὥστε σὲ κινδυνεύειν. Καὶ ὁ Κῦρος ἔφη· Εἰ τοίνυν μή σὺ δέῃ,
ἱκετεύω, ὦ πάππε, ἐμοί δὸς αὐτά, ὅπως ἐγὼ διαθῶ τοῖς ἡ-
27 λικιώταις. Ἀλλ', ὦ παῖ, ἔφη ὁ Ἀστυάγης, καὶ ταῦτα λαβὼν
διαδίδου, ὅτῳ σὺ βούλει, καὶ τῶν ἄλλων ὁπόσα ἐθέλεις. §. 11.
28 Καὶ ὁ Κῦρος λαβὼν, ἐδίδου τε ἄρα τοῖς παισὶ, καὶ ἅμα ἔλεγεν·
Ὦ παῖδες, ὡς ἄρα ἐφλυαροῦμεν, ὅτε τὰ ἐν τῷ παραδείσῳ
θηρία ἐθηρῶμεν· ὅμοιον γὰρ ἔμοιγε δοκεῖ εἶναι, οἷόνπερ εἴ τις
29 δεδεμένα ζῶα θηρῴη. Πρῶτον μὲν γὰρ ἐν μικρῷ χωρίῳ ἦν·
ἔπειτα καὶ μικρὰ καὶ λεπτὰ καὶ ψωραλέα· καὶ τὸ μὲν αὐτῶν,
χωλὸν ἦν, τὸ δὲ, κολοβόν· τὰ δ' ἐν τοῖς ὄρεσι καὶ λειμῶσι θηρία
30 ὡς μὲν καλὰ, ὡς δὲ μεγάλα, ὡς δε λιπαρὰ ἐφαίνετο! Καὶ αἱ
μὲν ἔλαφοι, ὥσπερ πτηναί, ἤλλοντο πρὸς τὸν οὐρανόν· οἱ δὲ κά-
προι, ὥσπερ τοὺς ἄνδρας φασὶ τοὺς ἀνδρείους, ὁμόσε ἐφέροντο·
ὑπὸ δὲ τῆς πλατύτητος οὐδὲ ἁμαρτεῖν οἷόν τε ἦν αὐτῶν. Καλλίῳ
31 δή, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα ταῦτα εἶναι, ἢ ζῶντα ἐκεῖ-
να τὰ περιῳκοδομημένα. Ἀλλὰ ἆρα ἄν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς
32 οἱ πατέρες ἐπὶ τὴν θήραν. §. 12. Καὶ ῥᾳδίως γ' ἄν, ἔφασαν, εἰ
Ἀστυάγης κελεύοι. Καὶ ὁ Κῦρος εἶπε· Τίς ἂν οὖν ὑμῶν πρὸς Ἀ-
στυάγην μνησθείη; Τίς γὰρ ἄν, ἔφασαν, σοῦ γε ἱκανώτερος πεῖσαι;
Ἀλλὰ μὰ τὴν Ἥραν, ἔφη, ἐγὼ μὲν οὐκ οἶδα ὅστις ἄνθρωπος γε-

Κατ' εἰρωνείαν μὲν ἀπὸ θυμοῦ εἰρῆσθαι τοῦτο δοκεῖ· σημαίνειν δέ τι καὶ προφητικὸν περὶ τοῦ μέλλοντος· οὕτως ἐπεπιδεύσκετο τὸν λόγον Ξενοφ.

§. 10. Θηράσειεν ἐκεῖν.) Περιποιητικῶς ἡ δοτική· ἀλλ' οὐκ ἂν προστεθείη ἐνταῦθα τὸ χαριζόμενος ἢ τοιοῦτό τι. Ἀλλ' οὕτω κεῖται ἡ δοτικὴ αὕτη, ὡς οὐκ ἂν ἄλλως ἀναπτυχθείη, ἢ οὕτως. Καὶ ἔστι τοῦτο ἰδίωμα Ἑλληνισμοῦ, ᾧ καὶ ἡ κοινὴ ὁμιλία πολλάκις χρῆται, λέγουσα, σοὶ ἔκαμα ἓν κυνήγιον· καὶ τὰ τοιαῦτα οὐ γὰρ διὰ σὲ, ὥσπερ οὐδὲ διὰ τὸν πάππον ὁ Κῦρος ἐθηράστο.

26. Ἆρα.) Ὁ Ἆρα ἀντὶ τοῦ Οὖν· οἷον· Ὁ δ' οὖν Ἀστυάγης εἶπεν· ἐμφαντικώτερος δὲ ὁ ἆρα.

— Ὥστε κινδυνεύειν) Ἑλληνισμοῦ ἰδίωμα τοῦτο, κατὰ τὸ Αἰσώπειον ἐκεῖνο Τόμ. Α'. Μύθ. ξς'. Οἴει γάρ με ἀναστῆναι ἐντεῦθεν, ἵν' οἱ θεοὶ ταῦτα μὲ ἀπαιτήσωσιν οὕτω καὶ τὸ, ὥστε κινδυνεύειν, ἀντὶ ἵνα κινδυνεύσῃς.

§. 11. Ἐδίδου τε ἄρα) Τὸ Ἄρα ἐνταῦθα ἔμφασιν ἔχει λόγου παρεμπλοκῆς κείμενον, ἢ γοῦν ἀντὶ τοῦ ἔοικε κεῖται ἴσως ἡ· ὁ Κῦρος λαβὼν, διεδίδου, ὡς ἔοικε, κτλ.

— Ὡς ἄρα ἐφλ.) Ἐνταῦθα βεβαιωτικὸς ὁ Ἄρα· ὁ δὲ νοῦς. Πάντως, ὦ Παῖδες, ἐματαιοπονοῦμεν· ὅτε καὶ τλ. Σημείωσαι δέ μοι ἐνταῦθα τοῦ λόγου τὸ ὕψος μέχρι τοῦ περιῳκοδομημένα, τό, τε ἐμβριθὲς τῆς ἐννοίας, τῶν μερῶν τὴν εὐρυθμίαν, τὴν βραχύτητα τῶν ῥημάτων, καὶ τῶν σημαινομένων τὴν λαμπρότητα.

30. Οὐδὲ ἁμαρτ.) Οὐκ ἦν δυνατὸν ἁμαρτεῖν τῶν θηρίων διὰ τὸ τοῦ τόπου πλάτος.

§. 12. Καὶ ῥᾳδίως γ' ἄν.) Ἐννοεῖται ἀπὸ κοινοῦ τὸ, Ἀρεῖεν, ἔφασαν οἱ παῖδες.

— Μὰ τὴν Ἥραν.) Ὁ ὅρκος οὗτος

γένημαι· οὐδὲ γὰρ οἷός τ' εἰμὶ λέγειν ἔγωγε, οὐδ' ἀναβλέπειν πρὸς τὸν πάππον ἐκ τοῦ ἴσου ἔτι δύναμαι. Ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέ-33 δοικα, ἔφη, μὴ πανταπασι βλάξ τις καὶ ἠλίθιος γένωμαι. Παιδάριον δὲ ὢν, δεινότατον λαλεῖν ἐδόκουν εἶναι. Καὶ οἱ παῖδες 34 εἶπον, Πονηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδὲ ὑπὲρ ἡμῶν, ἄν τι δέῃ, δυνήσῃ πράττειν, ἀλλ' ἄλλου τινὸς ἡμᾶς τὸ ἐπί σοι ἀνάγκη ἔσται δεῖσθαι. §. 13. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, ἐδήχθη· καὶ σιγῇ ἀ-35 πελθών, διακελευσάμενος ἑαυτῷ τολμᾶν, εἰσῆλθεν, ἐπιβουλεύσας, ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον, καὶ διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισίν, ὧν ἐδέοντο. Ἤρξατο οὖν ὧδε·

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδράσῃ τῶν οἰκετῶν σε, 36 καὶ λάβῃς αὐτὸν, τί αὐτῷ χρῇ; Τί δὴ ἄλλο, ἔφη, ἢ δήσας αὐτὸν ἐργάζεσθαι ἀναγκάζω; Ἢν δὲ αὐτόματός σοι πάλιν ἐπέλθῃ, πῶς ποιεῖς; Τί δὲ, ἔφη, ἢ μαστιγώσας αὐτόν γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἔπειτα ἐξαρχῆς πάλιν αὐτῷ χρῶμαι; Ὥρα ἂν, 37 ἔφη ὁ Κῦρος, παρασκευάζεσθαί σοι εἶπῃ, ὅτῳ μαστιγώσεις με, ὡς βουλεύομαί γε, ὅπως σὲ ἀποδρῶ λαβὼν τοὺς ἐμοὺς ἡλικιώτας ἐπὶ Θήραν. Καὶ ὁ Ἀστυάγης, Καλῶς, ἔφη, ἐποίησας προειπών· 38 ἔνθεν γὰρ ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χαρίεν γάρ, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ Θυγατρὶ τὸν παῖδα ἀποδυσκολήσαιμι. §. 14. Ἀ- 39 κούσας ταῦτα ὁ Κῦρος, ἐπείθετο μὲν καὶ ἔμενεν· ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὢν, σιωπῇ διῆγεν. Ὁ μέντοι Ἀστυάγης, ἐπεὶ ἔγνω 40 αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίσασθαι, ἐξάγει ἐπὶ Θήραν· καὶ πέζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας, καὶ τοὺς παῖδας, καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία, ἐποίησε μεγάλην Θήραν. Καὶ βασιλικῶς δὲ αὐτὸς παρὼν, ἀπη- 41

συνήθης τῷ Σωκράτει· οὕτω γὰρ καὶ ἐν Ἀπομνημον. Α', ε. 5 Νὴ τὴν Ἥραν ψηπί· καὶ Γ'. ιά. 5. Καὶ Πλάτων δὲ ἐν τῇ Ἀπολογ. ιδ'. 8. Οὐ γυναικεῖόν φασιν ὄρκον παρ' Ἀθηναίοις· ἐχρήσατο δὲ κἀνταῦθα Ξενοφῶν ἐξ ἔθους.

33. Ἢν δὲ τοσοῦτον ἐπιδ.) Ἐὰν εἰς τὸ θεῖλος εἶναι ἐπὶ πολὺ προκόψω, δέδοικα καὶ τλ.

34. Πονηρὸν λέγεις τὸ πρᾶγμα.) Ἰδίωμα δὲ καὶ τοῦτο ἀντὶ τοῦ, Ὃ λέγεις πονηρὸν πρᾶγμα ἔστιν· οὐκ ἔστιν ἀγαθὸν, ὃ λέγεις.

— Εἰ μηδέ.) Ἀναλυτικῶς ὀνοματικοῦ ἀπαρεμφάτου· τὸ μὴ δυνηθῆναι καὶ τλ.

— Τὸ ἐπί σοί.) Τὸ ἀνῆκον εἰς σὲ, ὅπερ σὲ ἔδει ποιεῖν.

§. 13. Ἐδήχθη.) Ἐλυπήθη· ἀπὸ τοῦ δάκνω· σύνηθες δὲ τοῦτο τοῖς Ἕλλησιν· ὅθεν καὶ Πλούταρχ. Τόμ. Γ'. ς'. μή. »Πάντες ἐπὶ τῷ κυνὶ δάκνονται.«

— Ἐπιβουλεύσ.) Τὸ ἐπιβουλεύω σημαίνει τὸ μετά τι βουλεύομαι· ἤτοι μετὰ τοὺς λόγους τῶν παίδων ἐβουλεύσατο. Τοιοῦτο καὶ τὸ τοῦ Θουκυδ. Γ'. κ'. »Ἐπει»δὴ οὐδ' ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβου»λεύσαντιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμ»πολιορκούμενοι ἐξελθεῖν καὶ ὑπερβῆναι »τὰ τείχη.«

37. Ὥρα οὖν.) Ἐννοεῖται. Ἔστιν.

— Οὕτω) Ἐννοεῖται. Τρόπω.

§ 14. 40. Καὶ τοὺς παῖδας.) Ὁ Καὶ προσθετικός, ἀντὶ πρὸς τούτοις δὲ καὶ τοὺς παῖδας.

41. Βασιλικῶς.) Ἀντὶ τοῦ Καθάπερ βασιλεὺς ἐν δυνάμει· ἀπηγόρευε γὰρ μηδένα βάλλειν.

42 γόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη βάλλων. Ὁ δὲ
Κῦρος οὐκ εἴα κωλύειν. Ἀλλ', εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως
με θηρᾶν, ἄφες πάντας τοὺς κατ' ἐμὲ διώκειν καὶ διαγωνίζε-
43 σθαι, ὅπως ἕκαστος κράτιστα δύναιτο. §. 15. Ἐνταῦθα δὴ ὁ Αστυ-
άγης ἀφίησι· καὶ στὰς ἐθεᾶτο τοὺς ἀμιλλωμένους ἐπὶ τὰ θηρία, καὶ
44 φιλονεικοῦντας, καὶ διώκοντας, καὶ ἀκοντίζοντας. Καὶ τῷ Κύρῳ
ἥδετο, οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥσπερ σκύλακι
γενναίῳ ἀνακλάζοντι, ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦν-
45 τι ὀνομαστὶ ἕκαστον. Καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν εὐ-
φραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ἡσθάνετο οὐδ' ὁπωσ-
49 τιοῦν φθονερῶς. Τέλος δ' οὖν, πολλὰ θηρία ἔχων ὁ Αστυάγης,
ἀπῆει. Καὶ τὸ λοιπὸν οὕτως ἤσθη τῇ τότε θήρᾳ, ὥστε ἀεί, ὁπό-
τε οἷόν τε εἴη, συνεξῄει τῷ Κύρῳ, καὶ ἄλλους τε πολλοὺς παρε-
47 λάμβανε, καὶ τοὺς παῖδας, Κύρου ἕνεκα. Τὸν μὲν δὴ πλεῖστον
χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τι-
νος συναίτιος ὤν, κακοῦ δὲ οὐδενί.

§. 16. Ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη αὐτοῦ γενομένου, ὁ υἱὸς
τοῦ τῶν Ἀσσυρίων βασιλέως, γαμεῖν μέλλων, ἐπεθύμησε καὶ αὐ-
49 τὸς θηρᾶσαι εἰς τοῦτον τὸν χρόνον. Ἀκούων οὖν, ἐν τοῖς μεθο-
ρίοις τοῖς τε αὐτῶν καὶ τοῖς Μήδων πολλὰ θηρία εἶναι, ἅτε ἀθή-
50 ρευτα ὄντα διὰ τὸν πόλεμον, ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν. Ὅπως
οὖν ἀσφαλῶς θηρῴη, ἱππέας τε προσέλαβε πολλοὺς καὶ πελτα-
στὰς, οἵτινες ἔμελλον αὐτῷ ἐκ τῶν λασίων τὰ θηρία ἐξελᾶν εἰς
51 τὰ ἐργάσιμά τε καὶ εὐήλατα. Ἀφικόμενος δὲ, ὅπου ἦν αὐτῷ τὰ
φρούρια καὶ ἡ φυλακή, ἐνταῦθ' ἐδείπνοποιεῖτο, ὡς πρωῒ τῇ ὑστε-
52 ραίᾳ θηράσων. §. 17. Ἤδη δὲ ἑσπέρας γενομένης, ἡ διαδοχὴ τῇ
53 πρόσθεν φυλακῇ ἔρχεται ἐκ πόλεως, καὶ πεζοὶ καὶ ἱππεῖς. Ἔδοξεν
οὖν αὐτῷ πολλὴ στρατιὰ παρεῖναι· δύο γὰρ ὁμοῦ ἦσαν φυλακαὶ
54 καὶ πολλοὺς αὐτὸς ἔχων ἦκεν ἱππέας καὶ πεζούς. Ἐβουλεύσατο

— Μηδένα βάλ.) Τὸ Μὴ ἐν τοῖς ἀποτρεπτικοῖς Ἀπαγορεύω, Κωλύω, περιττεύει ἐπιφερόμενον· πολλάκις δὲ μηδὲ κεῖται.

§. 15. Καὶ τῷ Κύρῳ ἥδ.) Ἐπὶ τῷ Κύρῳ οὐ δυναμένῳ σιγᾶν, ἀλλ' ἀναλάζοντι, καὶ παρακαλοῦντι ἕκαστον τῶν παίδων.

— Ὥσπερ σκύλακ. γενναίῳ) Τὸ Ὥσπερ ἀρθοῖ τὸν λόγον· ὅθεν ἐννοητέον ἐνταῦθα τὸ ἤδεταί τις· ἵν' ᾖ· ὥσπερ ἥδεταί τις σκύλακι γενναίῳ.

45. Καὶ τοῦ μέν.) Ἀντὶ τοῦ, Τινὸς μέν· τῶν παίδων ὁλ.

§ 16. 51. Τῇ ὑστεραίᾳ) Ἐλλείπει ἡ Ἐν.

§. 17. Ἡ διαδοχ. καὶ τλ.) Ἀντὶ οἱ διαδεξόμενοι τοὺς πρόσθεν φύλακας ἔρχονται· ἐχρήσατο ὁηλ. τῷ ἀφιορημένῳ ἀντὶ τοῦ συγκεχριμένου.

53. Δύο μὲν φυλακαὶ ὁμοῦ οὖσαι, πολλοὶ δέ.) Αἱ ὀνομαστικαὶ αὗται πρὸς τὸ σημαινόμενον τῆς ὀνομαστικῆς Στρατιᾶ, συμφωνήσασαι πρὸς τὸ Ἔδοξεν ἀναφαίρονται· ἵν' ᾖ· δύο μὲν φυλακαὶ ὁμοῦ οὖσαι, πολλοὶ δὲ ἱππεῖς τε καὶ πεζοὶ συνελθόντες, οὓς αὐτὸς ἔχων ἦκεν, ἔδοξαν ὅτι εἰσὶ πολλὴ στρατιά· τὸ δ' ἱππέας καὶ πεζοὺς πρὸς τὸ ἀναφορικὸν συνεφώνησεν ἀττικῶς· τοῦτο δὲ γίνεται, ὁπότε μετὰ τὸ ἀναφορικὸν τίθεται· τὸ πρὸς ὃ ἀναφέρεται.

οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ τῆς Μηδικῆς· καὶ λαμπρότερόν τε ἂν φανῆναι τὸ ἔργον τῆς Δήμας, καὶ ἱερείων πολλὴν ἀφθονίαν ἐνόμιζε γενήσεσθαι. Οὕτω δὴ πρωὶ ἀναστὰς, ἦγε τὸν 55
στρατόν· καὶ τοὺς μὲν πεζοὺς καταλείπει ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ' ἑαυτοῦ, ἐνταῦθα κατέμεινεν, ὡς μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας· τοὺς δ' ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς ἄλλους ἄλλοτε καταθεῖν· καὶ ἐκέλευε, περιβαλλομένους ὅτῳ τις ἐντυγχάνοι, ἐλαύνειν πρὸς ἑαυτόν. Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

§. 18. Σημανθέντων δὲ τῷ Ἀστυάγει, ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐξεβοήθει καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτὸν, καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις, καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. Ὡς δὲ εἶδον πολλοὺς ἀνθρώ- 57
πους τῶν Ἀσσυρίων συντεταγμένους, καὶ τοὺς ἱππέας ἡσυχίαν ἄγοντας, ἔστησαν καὶ οἱ Μῆδοι. Ὁ δὲ Κῦρος ὁρῶν ἐκβοη- 58
θοῦντας καὶ τοὺς ἄλλους πασσυδεῖ, ἐκβοηθεῖ καὶ αὐτὸς, πρῶτον τότε ὅπλα ἐνδὺς, οὔποτε οἰόμενος· οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι. Καὶ γὰρ μάλα καλὰ ἦν, καὶ εὖ ἁρμόττοντα αὐτῷ, ἃ οἱ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο. Οὕτω δὴ ἐξοπλισάμενος, προσήλασε τῷ ἵππῳ. Καὶ ὁ Ἀστυάγης ἰδὼν, ἐθαύμασε μὲν, 59
τίνος κελεύσαντος ἥκοι· ὅμως δ' εἶπεν αὐτῷ μένειν παρ' ἑαυτῷ.

§. 19. Ὁ δὲ Κῦρος, ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο, Ἦ οὐ- 60
τοι, ἔφη, ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις, ἡρέμα; Πολέμιοι μέντοι, ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ ἐλαύνοντες; Καὶ ἐκεῖνοι μέντοι. Νὴ τὸν Δί', ἔφη, ὦ πάππε, ἀλλ' οὖν πονη- 61
ροί γε φαινόμενοι καὶ ἐπὶ πονηρῶν ἱππαρίων, ἄγουσιν ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν τινὰς ἡμῶν ἐπ' αὐτούς. Ἀλλ' 62

---

54. Καὶ ἱερείων) Σημειούσθω δὲ, ὅτι παρ' Ἕλλησιν ἱερεῖα λέγονται οὐ μόνον ἃ πρὸς θυσίαν πρόκειται, ἀλλὰ καὶ πάντα, ὅσα σφάζουσι ζῶα· διὰ τὸ, μέρος αὐτῶν σφαγέντων ἀνατίθεσθαι τῷ θεῷ· οὕτω καὶ Κύρ. Ἀναβ. Δ'. δ'. 5. »Ἐνταῦθα εἶχον πάντα τὰ ἐπιτήδεια, ὅσα ἐστὶν ἀγαθὰ, ἱερεῖα, σῖτον, οἶνον «καὶ Ε'. ξ'. 8. «ὅθεν κατιόντες τινὲς καὶ ἱερεῖα »ἐπώλουν ἡμῖν, καὶ ἄλλα, ὧν εἶχον.»

55. Ὡς μὴ βοηθοῖεν.) Τὸ Ὡς ἀντὶ τοῦ Ἵνα· πρὸς εὐκτικὴν δὲ ἐπὶ παρωχημένου.

— Ἐλαύνειν πρὸς ἑαυτ.) Ἡ σύνθετος ἀντωνυμία κατὰ ἀντιμετάθεσιν ἐστί· τὸ γὰρ πρόσωπον ἀφ' ἑαυτοῦ ἐπὶ τοὺς ἐλαύνοντας πρὸς ἑαυτὸ ἐπιστρέφει.

§. 18. Σημανθέντων δέ.) Ἀντὶ Σημανθέν-

ἀπροσώπως γὰρ λαμβάνεται τὸ σημανθέντων· τὰ δ' ἀπρόσωπα ἀπολύτως κατ' αἰτιατικὴν ἢ ὀνοματικὴν ἐκφέρονται.

58. Οὔ ποτε οἰόμ.) Ἀντὶ τοῦ Οὔπω οἰόμενος ἐνδύσῃναι· ἦ, ἡ μεγάλη ἐπιθυμία ἐποίει αὐτὸν νομίζειν ὅτι οὐδέποτε ἐνδύσεται ὅπλα.

59. Τίνος κελεύσαντος ἥκ.) Ἐθαύμασεν ὅτι ἥκοι χωρὶς τοῦ κελεῦσαί τινα αὐτὸν ἐλθεῖν.

§. 19. Ἦ οὗτοι, ἔφη.) Τὸ μὲν Ἦ βεβαιωτικὸν, τὸ δὲ Ἔφη περιττόν. Ἀλλὰ σύνηθες τοῦτο παρὰ Ξενοφῶντι τὴν κοινὴν χρῆσιν τοῦ λόγου μιμουμένῳ.

— Πολέμιοι μέντοι.) Τὸ Μέντοι βεβαιωτικὸν ἀντὶ τοῦ, Ναὶ πολέμιοι εἰσί.

61. Ἀλλ' οὖν.) Ὁ Ἀλλ' οὖν βεβαιωτι-

οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον τὸ στίφος τῶν ἱππέων ἔστηκε συν-
τεταγμένον; οἱ, ἣν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται
63 πάλιν ἡμᾶς ἐκεῖνοι· ἡμῖν δὲ οὔπω ἰσχὺς πάρεστιν. Ἀλλ' ἢν σὺ
μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς τοὺς προσβοηθοῦντας,
φοβήσονται οὗτοι, καὶ οὐ κινήσονται· οἱ δ' ἄγοντες ἀφήσουσιν
εὐθὺς τὴν λείαν, ἐπειδάν ἴδωσί τινας ἐπ' αὐτοὺς ἐλαύνοντας.

§. 20. Ταῦτ' εἰπών, ἔδοξέ τι λέγειν τῷ Ἀστυάγει. Καὶ ἅμα
θαυμάζων, ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει, κελεύει τὸν υἱόν, λαβόντα
τάξιν ἱππέων ἐλάσαι ἐπὶ τοὺς ἄγοντας τὴν λείαν. Ἐγὼ δὲ, ἔφη,
ἐπὶ τούς δε, ἢν ἐπὶ σὲ κινῶνται, ἐλῶ· ὥστε ἀναγκασθήσονται
65 ἡμῖν προσέχειν τὸν νοῦν. Οὕτω δὴ ὁ Κυαξάρης, λαβὼν τῶν ἐρ-
ρωμένων ἵππων τε καὶ ἀνδρῶν, προσελαύνει. Καὶ ὁ Κῦρος, ὡς
εἶδεν ὁρμωμένους, συνεξορμᾷ εὐθὺς, καὶ αὐτὸς πρῶτος ἡγεῖτο
ταχέως, καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο, καὶ οἱ ἄλλοι δὲ οὐκ
ἀπελείποντο. Ὡς δὲ εἶδον αὐτοὺς πελάζοντας οἱ λῃλατοῦντες, εὐθὺς
66 ἀφέντες τὰ χρήματα ἔφυγον. §. 21. Οἱ δ' ἀμφὶ τὸν Κῦρον ὑπε-
τέμνοντο, καὶ οὓς μὲν κατελάμβανον, εὐθὺς ἔπαιον, πρῶτος δὲ
ὁ Κῦρος· ὅσοι δὲ παραλλάξαντες αὐτῶν ἔφθασαν, κατόπιν τού-
67 τους ἐδίωκον, καὶ οὐκ ἀνίεσαν, ἀλλ' ἤρουν τινὰς αὐτῶν. Ὥσπερ δὲ
κύων γενναῖος, ἄπειρος, ἀπρονοήτως φέρεται πρὸς κάπρον, οὕτω
καὶ ὁ Κῦρος ἐφέρετο, μόνον ὁρῶν τὸ παίειν τὸν ἁλισκόμενον, ἄλλο
68 δ' οὐδὲν προνοῶν. Οἱ δὲ πολέμιοι, ὡς ἑώρων πονοῦντας τοὺς σφε-
τέρους, προὐκίνησαν τὸ στίφος, ὡς παυσομένους τοῦ διωγμοῦ,
69 ἐπεὶ σφᾶς ἴδοιεν προσορμήσαντας. §. 22. Ὁ δὲ Κῦρος οὐδὲν μᾶλλον
ἀνίει, ἀλλ' ὑπὸ τῆς χαρμονῆς ἀνακαλῶν τὸν Θεῖον, ἐδίωκε· καὶ
70 ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις κατέχων ἐποίει. Καὶ ὁ Κυα-
ξάρης μέντοι ἐφείπετο, ἴσως μὲν καὶ αἰσχυνόμενος τὸν πατέρα·
καὶ οἱ ἄλλοι δὲ εἵποντο, προθυμότεροι ὄντες ἐν τῷ τοιούτῳ εἰς

σημαίνει μετ' ἑτοιμότητος· οἷον· Καὶ αὐτοὶ πάντως οἱ πονηροὶ φαινόμ. καὶ τλ.

63. Οἱ δ' ἄγοντ.) Οἱ δὲ λεηλατοῦντες.

§. 20. Ἔδοξέ τι λέγ.) Τὸ Τί ἐνταῦθα σημαίνει, Μέγα τι· Οὐκ εὐκαταφρόνητόν τι.

65. Καὶ ὁ Κυαξάρης μέντοι.) Ὁ Μέντοι ἀντὶ τοῦ Δὲ, προσθετικός.

§. 21. Ὑπετέμνοντο.) Ἔσπευδον, ὑπετέμνοντο τὴν ὁδόν.

— Ὁ Κῦρος.) Ἐννοεῖται Ἔπαιεν.

— Ὅσοι δὲ παραλλάξαντες ἔφθ.) Ὅσοι προέφθασαν καὶ ἀπεμακρύνθησαν πλαγίως φερόμενοι.

68. Προὐκίνησαν.) Προεκίνησαν.

— Ὡς παυσομ.) Τὸ Ὡς ἐστὶ βεβαιωτικὸν κατὰ τὸ Ὅτι, τῆς μετοχῆς ἀπὸ εἰδικοῦ ἀπαρεμφάτου μετειλημμένης· καὶ τοῦ ὡς περιττῶς προσκειμένου. Σύνηθες δὲ τοῦτο· καὶ γὰρ καὶ Ἰσοκράτ. πρὸς Νικοκλ. φησίν. »Ἀλλ' ὡς καὶ τῆς παιδεύ»σεώς καὶ τῆς ἐπιμελείας δυναμένης τὴν »ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διά»κεισο τὴν γνώμην.«

§. 22. Κατέχων.) Φθάνων καὶ καταλαμβάνων.

70. Καὶ ὁ Κυαξάρης μέντοι.) Μέντοι προσθετικὸς μέν, ἀλλ' ἀργίαν καί πως τὸ ἀκούσιον τοῦ Κυαξάρους ἐπεντιθέμενος παρίστησιν.

— Ἴσως μέν.) Ὁ Μὲν παρέλκειν δοκεῖ, κεῖται δὲ βεβαιωτικὸς τοῦ Ἴσως τὸ ἀμφίβολον ὑποστέλλων.

— Ἐν τῷ τοιούτ.) Χρόνῳ ἢ συμβεβη-

τὸ διώκειν καὶ οἱ μὴ πάνυ πρὸς τοὺς ἐναντίους ἄλκιμοι ὄντες. 71
Ὁ δὲ Ἀστυάγης, ὡς ἑώρα τοὺς μὲν ἀπρονοήτους διώκοντας, τοὺς
δὲ πολεμίους ἀθρόους τε καὶ τεταγμένους ἀπαντῶντας, δείσας
περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύρου, μὴ εἰς παρασκευασμένους ἀ-
τάκτως ἐμπεσόντες πάθοιέν τι, ἦγειτο εὐθὺς πρὸς τοὺς πολεμίους. 72
§. 23. Οἱ δ' αὖ πολέμιοι, ὡς εἶδον τοὺς Μήδους προκινηθέντας, δια-
τεινάμενοι οἱ μὲν τὰ πάλτὰ οἱ δὲ τὰ τόξα ἔστησαν, ὡς ἂν, ἐπει-
δὴ εἰς τόξευμά γε ἀφίκοιντο, στησομένους, ὥσπερ τὰ πλεῖστα
εἰώθεσαν ποιεῖν. Μέχρι γὰρ τοσούτου, ὁπότε ἐγγύτατα γίγνοιν- 73
το, προσήλαυνον ἀλλήλοις, καὶ ἠκροβολίζοντο πολλάκις μέχρις
ἑσπέρας. Ἐπεὶ δὲ ἑώρων τοὺς μὲν σφετέρους φυγῇ εἰς αὐτοὺς 74
φερομένους, τοὺς δ' ἀμφὶ Κῦρον ὁμοῦ ἐπ' αὐτοὺς ἑπομένους, τὸν
δὲ Ἀστυάγην σὺν τοῖς ἵπποις ἐντὸς γιγνόμενον ἤδη τοξεύματος,
ἐκκλίνουσι καὶ φεύγουσιν. Οἱ δὲ, ἅτε ὁμόθεν διώκοντες, ἦρουν 75
πολλοὺς ἀνὰ κράτος· καὶ τοὺς μὲν ἁλισκομένους ἔπαιον, καὶ ἵπ-
πους καὶ ἄνδρας, τοὺς δὲ πίπτοντας κατέκαινον· καὶ οὐ πρό-
σθεν ἔστησαν, πρὶν ἢ πρὸς τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένοντο.
Ἐνταῦθα μέντοι δείσαντες, μὴ καὶ ἐνέδρα τις μείζων ὑπείη, ἐπέ-
σχον. §. 24. Ἐκ τούτου δὴ ἀνήγαγεν ὁ Ἀστυάγης, μάλα χαίρων τῇ 76
ἱπποκρατίᾳ, καὶ τὸν Κῦρον οὐκ ἔχων ὅ,τι χρὴ λέγειν· αἴτιον μὲν
εἰδὼς ὄντα τοῦ ἔργου, μαινόμενον δὲ γιγνώσκων τῇ τόλμῃ. Καὶ 77
γὰρ τότε ἀπιόντων οἴκαδε, μόνος τῶν ἄλλων ἐκεῖνος οὐδὲν ἄλ-
λο ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο· καὶ μόλις αὐτὸν ἀφελ-
κύσαντες οἱ ἐπὶ τοῦτο ταχθέντες, προσήγαγον τῷ Ἀστυάγει,
μάλα ἐπίπροσθεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ

γέτι· ἐν τῇ τοιαύτῃ δηλ. περιστάσει· ὅ-
περ ἔστιν αἰσχυνόμενοι τὸν Κῦρον, ὁρῶν-
τες διώκοντα, προθυμότεροι γενόμενοι εἰς
τὸ διώκειν, εἵποντο. Τὸ δὲ προθυμότεροι
ὄντες .. καὶ οἱ μὴ πάνυ ... ἄλκιμοι ὄντες·
ἔστιν ὀνομαστικὴ ἀπόλυτος ἀντὶ γενικῆς·
οὐ γὰρ μετὰ τοῦ ἄλλοι συμφωνεῖ, ὡς μὴ
πάντων τῶν ἄλλων τοιούτων ὄντων. Ἀλ-
λ' ἔστι τοιούτας ἀπολύτους ὀνομαστικὰς
καὶ ἐν ἄλλοις εὑρεῖν κατὰ τὴν ῥύμην τοῦ
λόγου, καὶ ἡ χρῆσις προτιμητέα τοῦ κα-
νόνος.

§. 23. Ὡς ἂν .. στησομένους.) Τοιού-
την δηλονότι γνώμην ἔχοντες· ὅτι ἴσως
στήσονται καὶ οἱ Μῆδοι ἀφικόμενοι εἰς
τόξου βολήν, μέχρις οὗ τόξευμα ἀφίκε-
ται. Καὶ ἔστιν ἡ αἰτιατικὴ αὕτη ἀπόλυ-
τος· εἰλαστικοῦ ἡγουμένου τοῦ Ὡς.

73. Μέχρι γὰρ τοσούτ.) Ὁπότε γὰρ
ἐγγύτατα ἀλλήλων ἐγίγνοντο μέχρι το-
ξεύματος βολῆς, προσήλαυνον· καὶ τὰ.

74. Ἐντὸς τοξεύμ.) Ἤτοι πλησιέστε-
ρον ἢ ὅσον τόξευμα ἀφικνεῖται.

75. Οἱ δέ) Μῆδοι δηλ.

— Ἀνὰ κράτ.) Μετὰ πάσης σπουδῆς,
ὅσον ἦν αὐτοῖς δυνατόν.

— Ἐπέσχον.) Ἔστησαν παυτάμενοι τῆς
διώξεως.

§. 24. Ἀνήγαγεν.) Ἐπέστρεψεν.

— Ὅ,τι χρὴ λέγειν.) Τὸ λέγειν ἀντὶ τοῦ
ἐπαινεῖν, ἢ γοῦν ὀνομάζειν· ὅθεν καὶ αἰ-
τιατικὴ οἷον· Καὶ μὴ δυνάμενος ἐπαινέ-
σαι τὸν Κῦρον· καθ' ὅ,τι χρὴ ἐπαινεῖν·
ἤτοι· ἠπόρει ὅπως ἀναξίως ἐπαινέσειε
τὸν Κῦρον· ἢ ὅπως ὀνομάσειεν αὐτόν.

77. Οὐδὲν ἄλλο.) Ἐννοεῖται Ἐποίει.

— Μάλα ἐπίπροσθεν ποιούμενον.) Ὡς
τις ἔβαλεν ἔμπροσθεν ἑαυτοῦ τοὺς προ-
σάγοντας· ἑώρα γὰρ τὸ πρόσωπον τοῦ
πάππου ἠρυθριῶντος, διότι ἐθεᾶτο τοὺς
πεπτωκότας. Καὶ σημείωσαί μοι ὅτι ἄν τι

78 πρόσωπον τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ. §. 25. Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένετο· καὶ οἵ τε ἄλλοι πάντες τὸν Κῦρον διὰ στόματος εἶχον καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς· ὅ,τε Ἀστυάγης, καὶ πρόσθεν τιμῶν αὐτόν, τότε ὑπερεξεπέπληκτο ἐπ᾽ αὐτῷ.

79 Καμβύσης δὲ, ὁ τοῦ Κύρου πατὴρ, ἤδετο μὲν πυνθανόμενος ταῦτα· ἐπεὶ δ᾽ ἤκουσεν ἀνδρὸς ἤδη ἔργα διαχειριζόμενον τὸν Κῦρον, ἀπεκάλει δὴ, ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἀποτελοίη. Καὶ τὸν Κῦρον δὴ ἐνταῦθα λέγεται εἰπεῖν, ὅτι ἀπιέναι βούλοι-

80 το, μὴ ὁ πατήρ τι ἄχθοιτο, καὶ ἡ πόλις μέμφοιτο αὐτῷ. Τῷ οὖν Ἀστυάγει ἐδόκει ἀναγκαῖον εἶναι ἀποπέμπειν αὐτόν. Ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς, οὓς αὐτὸς ἐπεθύμει λαβεῖν, καὶ ἄλλα συσκευάσας παντοδαπά, ἀπέπεμπε, καὶ διὰ τὸ φιλεῖν αὐτόν, καὶ ἅμα ἐλπίδας μεγάλας ἔχων ἐν αὐτῷ, ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ

81 φίλους ὠφελεῖν, καὶ ἐχθροὺς ἀνιᾶν. Ἀπιόντα δὲ τὸν Κῦρον προὔπεμπον ἅπαντες, καὶ παῖδες, καὶ ἥλικες, καὶ ἄνδρες, καὶ γέ-

ροντες, ἐφ᾽ ἵππων, καὶ Ἀστυάγης αὐτός· καὶ οὐδένα ἔφασαν ὃν-

82 τιν᾽ οὐ δακρύοντ᾽ ἀποστρέφεσθαι. §. 26. Καὶ Κῦρον δὲ αὐτὸν σὺν πολλοῖς δακρύοις λέγεται ἀποχωρῆσαι. Πολλὰ δὲ δῶρα διαδοῦναι φασὶν αὐτὸν τοῖς ἡλικιώταις, ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει· τέλος δὲ, καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐνδύντα δοῦναί τινι, δηλο-

83 νότι τούτῳ, ὃν μάλιστα ἠσπάζετο. Τοὺς μέντοι λαβόντας καὶ δεξαμένους τὰ δῶρα λέγεται Ἀστυάγει ἀπενεγκεῖν· Ἀστυάγην δὲ δεξάμενον Κύρῳ ἀποπέμψαι· τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς Μήδους, καὶ εἰπεῖν, ὦ πάππε, εἰ βούλει με καὶ πάλιν ἰέναι ὡς σὲ μὴ αἰσχυνόμενον, ἔα ἔχειν, εἴτῳ τι ἐγὼ δέδωκα· Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα ποιῆσαι, ὥσπερ ὁ Κῦρος ἐπέστειλεν.

84. §. 27. Εἰ δὲ δεῖ καὶ παιδικοῦ λόγου ἐπιμνησθῆναι, λέγεται, ὅτε Κῦρος ἀπήει, καὶ ἀπηλλάττοντο ἀπ᾽ ἀλλήλων, τοὺς συγγενεῖς φιλοῦντας τὸν Κῦρον τὸ στόματι ἀποπέμπεσθαι αὐτὸν νόμῳ Περσικῷ· (καὶ γὰρ νῦν ἔτι τοῦτο ποιοῦσι Πέρσαι) ἄνδρα δή τινα τῶν Μήδων,

---

περιπίπτει ἑαυτῷ Ξενοφῶν τὸν Κῦρον φιλανθρωπότατον εἰπών.

§. 25. Διὰ στόματος εἶχ.) Φράσις ἀντὶ Ἐπῄνουν, ὥσπερ καὶ τὸ ἐν λόγῳ εἶχον τὸ ὡμίλουν περὶ αὐτοῦ· ἢ ἐνεκωμίαζον· καὶ ἐν ᾠδαῖς εἶχον ἀντὶ ᾖδον, ψάλλοντες δηλ. ἐγκώμια Κύρου διὰ στίχων.

79. Καὶ τὸν Κῦρον δή) Ὁ δὴ προσθετικὸς ὡς εἰ ἔλεγεν. Ἀλλὰ καὶ τὸν Κῦρόν φασιν ὅτι εἶπε περὶ τούτου.

80. Ἔνθα δή.) Καὶ τότε οὖν.

81. Καὶ οὐδένα ἔφασ.) Ἤτοι πάντες, ἔφασαν, ὅτι ἐπεστρέφοντο ἀπὸ τῆς πομπῆς δακρύοντες.

§. 26. Τέλος δέ.) Ἐννοεῖται πάλιν, φασὶν ἤτοι τέλος πάντων λέγουσιν ὅτι καὶ ἣν εἶχ. καὶ τλ.

— Δηλῶν.) Ἀντὶ Δηλοῦντα· ἡ δ᾽ ὀνομαστικὴ, ἤτοι διὰ τὸ λέγεται ἀπὸ κοινοῦ ἐννοούμενον, ἢ διὰ τὰ κατ᾽ ἀνάλυσιν ῥήματα.

83. Ὡς σέ.) Τὸ Ὡς πρὸς ἔμψυχον ἀντὶ τῆς Ἢ πρὸς λαμβάνεται κατὰ μετάληψιν.

— Εἴτῳ.) Ἀντὶ ὅτῳ, ὅτινι· ἀορίστως.

§. 27. Καὶ ἀπηλλάττ.) Ὅ,τε Κῦρος καὶ οἱ Μῆδοι.

— Τοὺς συγγεν.) Λέγεται ὅτι οἱ συγγενεῖς φιλοῦντες ἀπεπέμποντο.

— Ἄνδρα δή τινα.) Ὁ Δὴ μεταβατι-

μάλα καλὸν κἀγαθὸν ὄντα, ἐκπεπλῆχθαι πολὺν δή τινα χρόνον
ἐπὶ τῷ κάλλει τοῦ Κύρου· ἡνίκα δὲ ἑώρα τοὺς συγγενεῖς φιλοῦν-
τας αὐτόν, ὑπολιφθῆναι· ἐπεὶ δὲ οἱ ἄλλοι ἀπῆλθον, προσελθεῖν 85
τῷ Κύρῳ, καὶ εἰπεῖν· ἐμὲ μόνον οὐ γινώσκεις, ὦ Κῦρε, τῶν συγ-
γενῶν; Τί δέ; εἰπεῖν τὸν Κῦρον, ἦ καὶ σὺ συγγενεῖς εἶ; Μά-
λιστα, φάναι. Ταῦτ' ἄρα, εἰπεῖν τὸν Κῦρον, καὶ ἐνεώρας μοι 86
πολλάκις γάρ δοκῶ σε γιγνώσκειν τοῦτο ποιοῦντα. Προσελθεῖν
γάρ σοι ἀεὶ βουλόμενος, ἔφη, νὴ τοὺς θεούς, ᾐσχυνόμην. Ἀλλ'
οὐκ ἔδει, φάναι τὸν Κῦρον, συγγενῆ γε ὄντα· ἅμα δὲ προσελ-
θόντα φιλῆσαι αὐτόν. §. 28. Καὶ τὸν Μῆδον φιληθέντα, ἐρέσθαι, Ἦ 87
καὶ ἐν Πέρσαις νόμος ἐστὶν οὗτος συγγενεῖς φιλεῖν; Μάλιστα,
φάναι, ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου, ἢ ἀπίωσί που ἀπ'
ἀλλήλων. Ὥρα ἂν, ἔφη, εἴη σοι ὁ Μῆδος, πάλιν φιλεῖν ἐμέ·
ἀπέρχομαι γάρ, ὡς ὁρᾷς, ἤδη. Οὕτω καὶ τὸν Κῦρον πάλιν φι- 88
λήσαντα, ἀποπέμπειν καὶ ἀπιέναι. Καὶ ὁδόν τε οὔπω πολλὴν
διηνύσθαι αὐτοῖς, καὶ τὸν Μῆδον ἥκειν πάλιν ἰδροῦντι τῷ ἵπ-
πῳ. Καὶ τὸν Κῦρον ἰδόντα, Ἀλλ' ἦ, φάναι, ἐπελάθου τι ὧν ἐ- 89
βούλου εἰπεῖν; Μὰ Δία, φάναι· ἀλλ' ἥκω διὰ χρόνου. Καὶ τὸν
Κῦρον εἰπεῖν, Νὴ Δί', ὦ συγγενές, δι' ὀλίγου γε. Ποίου ὀλίγου;
εἰπεῖν τὸν Μῆδον. Οὐκ οἶσθα, φάναι, ὦ Κῦρε, ὅτι καὶ ὅσον σκαρ-
δαμύττω χρόνον, πάνυ πολύς μοι δοκεῖ εἶναι, ὅτι οὐχ ὁρῶ σε τό-
τε, τοιοῦτον ὄντα; Ἐνταῦθα δὴ τὸν Κῦρον γελάσαι τε ἐκ τῶν 90
πρόσθεν δακρύων, καὶ εἰπεῖν αὐτῷ ἀπιόντα θαρρεῖν, ὅτι παρέ-
σται αὐτοῖς ὀλίγου χρόνου· ὥστε ὁρᾷν σοι ἐξέσται κἂν βούλῃ
ἀσκαρδαμυκτεί.

δ'. Ἐπιστροφὴ Κύρου εἰς Πέρσας, ἀνάκλησις αὐτοῦ εἰς Μήδους, Δημηγορία αὐτοῦ πρὸς Πέρσας, Α'. έ.

Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν εἰς Πέρσας, ἐνιαυτὸν λέ-
γεται ἔτι ἐν τοῖς παισὶ γενέσθαι. Καὶ τὸ μὲν πρῶτον οἱ παῖδες 2
ἔτλων αὐτόν, ὡς ἡδυπαθεῖν μεμαθηκὼς ἐν Μήδοις ἦσαν· ἐπεὶ
δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων, ὥσπερ καὶ αὐτοί, ἡδέως καὶ πί-

κλῆς ἀντὶ τοῦ Δί· ἢ γοῦν προσθετικός· ἵν' ἦ πρὸς τούτοις δὲ λέγεται ὅτι ἀνήρ τις.

85. Εἰπεῖν τὸν Κῦρ.) Τοῦτο δὲ καὶ τὰ ἑξῆς ἀπαρέμφατα ἀπὸ κοινοῦ ἔχουσι τὸ Λέγεται ὑπακουόμενον.

— Φάναι.) Τὸν Μῆδον.

86. Τοῦτο ποιοῦντ.) Τὸ ἐνορᾷν μοι δηλ.

— Ἔρη.) Ἀπὸ τοῦ διηγηματικοῦ εἰς τὸ ἀποφαντικὸν μετήνεγκε τὸν λόγον.

— Φάναι τὸν Κῦρ.) Πάλιν εἰς τὸ διηγηματικὸν μετέβαλε τὸν λόγον.

§. 28. Διὰ χρόνου.) Ἔκτασιν χρόνου σημαίνει ἐνταῦθα ἡ Διά.

88. Διελιλύσθ.) Σημειούσθω ἐνταῦθα τὸ Διελιλύσθαι εἰς παθητικὴν καὶ φωνὴν καὶ σημασίαν ἀπὸ τοῦ Διέρχομαι· μέσ. παραχ. Διελήλυθα· καὶ παθητ. Διελήλυσμαι· ὅθεν τὸ ἀπαρέμφ. Διελιλύσθαι.

89. Μὰ Δία.) Ἀρνητικῶς ἀντὶ τοῦ Οὐχὶ τῇ ἀληθείᾳ.

— Ποίου ὀλίγ.) Κατ' ἔλλειψιν τῆς Διά.

90. Ὀλίγου χρ.) Ἔλλειπει ἡ Ἐκ, τὸ ὕστερον σημαίνουσα.

δ'. 2. Ὡς.) Τὸ Ὡς βεβαιωτικὸν ἀντὶ τοῦ Ὅτι.

νοντα καὶ εἶπον· ἐν ἑορτῇ εὐωχίᾳ προσγένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ἡσθάνοντο ἢ προσδεόμενον, καὶ πρὸς τούτοις δὲ καὶ τἆλλα κρατιστεύοντα αὐτὸν ἑώρων (περὶ ἅπαντα ἑαυτῶν)· ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον οἱ ἥλικες αὐτῷ.

3 Ἐπεὶ δὲ, διελθὼν τὴν παιδείαν ταύτην, ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν, καὶ μελετῶν ἃ χρή, καὶ καρτερῶν ἃ ἔδει, καὶ αἰδούμενος τοὺς πρεσβυτέρους, καὶ πειθόμενος τοῖς ἄρχουσι.

§. 2. Προϊόντος δὲ τοῦ χρόνου, ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει· ὁ δὲ Κυαξάρης, ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύ-
5 ρου μητρὸς ἀδελφός, τὴν ἀρχὴν ἔλαβε τῶν Μήδων. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεύς, καταστρεψάμενος μὲν πάντας Σύρους, φῦλον οὐ μικρόν, ὑπήκοον δὲ πεποιημένος τὸν Ἀραβίων βασιλέα, ὑπηκόους δὲ ἔχων ἤδη καὶ Ὑρκανίους, πολιορκῶν δὲ καὶ Βακτρίους, ἐνόμιζεν, εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσειε, πάν-
των γε ἂν τῶν πέριξ ῥᾳδίως ἄρξειν (ἰσχυρότατον γὰρ τῶν ἐγ-
6 γὺς φύλων τοῦτο ἐδόκει εἶναι). §. 3. Οὕτω δὴ διαπέμπει πρός τε τοὺς ὑφ' ἑαυτὸν πάντας, καὶ πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα, καὶ πρὸς τὸν Καππαδοκῶν, καὶ πρὸς Φρύγας ἀμφοτέρους, καὶ πρὸς Κᾶρας, καὶ Παφλαγόνας, καὶ Ἰνδοὺς δὲ, καὶ πρὸς Κίλικας, τὰ μὲν διαβάλλων (πρὸς αὐτούς), τοὺς Μήδους καὶ Πέρσας, λέγων, ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη καὶ ἰσχυρὰ, καὶ συνεστηκότα εἰς τὸ αὐτό, καὶ ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν (καὶ συνεστήκοιεν εἰς ἕν), καὶ κινδυνεύοιεν, εἰ μή τις αὐτοὺς φθάσας
7 ἀσθενώσει, ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν ἰόντες καταστρέψασθαι. Οἱ
8 μὲν δὴ καὶ τοῖς λόγοις τούτοις πειθόμενοι, συμμαχίαν αὐτῷ ποιοῦνται· οἱ δὲ, καὶ δώροις καὶ χρήμασιν ἀναπειθόμενοι· πολλὰ γὰρ
9 καὶ ταῦτα ἦν αὐτῷ. §. 4. Κυαξάρης δὲ, ὁ τοῦ Ἀστυάγους παῖς,

---

2. Κρατιστεύοντα.) Κράτιστον ὄντα ἑαυτῶν. Τὸ δὲ ἑαυτῶν κατὰ ἀντιμετάβασιν· οἱ γὰρ παῖδες αὐτὸν ἑώσων κρατιστεύοντα ἑαυτῶν· ἀπὸ τοῦ τῶν παίδων προσώπου διὰ τοῦ Κύρου, πρὸς αὐτοὺς τοὺς παῖδας πάλιν ἐπιστρέφει τὸ λεγόμενον.

3. Τὴν παιδείαν ταύτην.) Τὴν τῶν παίδων δηλ

— Ἃ χρή.) Μελετᾶν δηλ.

— Ἃ ἔδει.) Καρτερεῖν δηλ.

§ 2. Ὁ δὲ τῶν Ἀσσυρίων βασ.) Οὗ ὁ υἱὸς ἐβουλεύσατο λεηλατῆται τὴν τῶν Μήδων γῆν. γ'. 54.

— Φῦλον οὐ μικρ.) Ὄντας δηλ. ὅπερ ἐστὶν· οἵτινες ἦσαν μέγα ἔθνος.

— Τοῦτο ἐδ.) Τὸ τῶν Μήδων φῦλον δηλ.

§ 3. Φρυγίας ἀμφοτ.) Δύο γὰρ αἱ Φρυγίαι. Φρυγία ἡ μεγάλη, καὶ Φρυγία ἡ ἐφ' Ἑλλησπόντῳ. Διόδωρ. Σικελ. ΙΗ'. ε.

— Τὰ μὲν καὶ διαβ.) Τὸ Τὰ Μὲν ἀπαιτεῖ τό. Τὰ δὲ, ἵν' ᾖ τὸ πλῆρες Τὰ μὲν δῶρα καὶ χρήματα διδοὺς, ἢ δώροις καὶ χρήμασι πείθων, εἴτι τοιοῦτο ποιῶν, τοὺς εἰρημένους πρὸς πόλεμον παροτρύνων, τὰ δὲ καὶ διαβάλλων πρὸς αὐτοὺς Μήδους καὶ Πέρσας. Ἀλλ' οὐκ ἔστι τὸ ἀληθὲς ἐλλεῖπον μαντεύσασθαι. Ταῦτά τοι Τὰ μὲν καὶ, ὡς βεβαιωτικὸν ληφθήτω· ἵν' ᾖ διαβάλλων πάντως κατά τινα πρὸς αὐτοὺς Μήδους καὶ Πέρσας.

7. Ἰόντας.) Τοὺς Πέρσας καὶ Μήδους δηλ.

8. Καὶ ταῦτα.) Τὰ χρήματα δηλ.

ἐπεὶ ἠσθάνετο τήν τ' ἐπιβουλὴν καὶ τὴν παρασκευὴν τῶν συνισταμένων ἐφ' ἑαυτόν, αὐτός τε εὐθέως ὅσα ἐδύνατο ἀντιπαρεσκευάζετο, καὶ εἰς Πέρσας δὲ ἔπεμπε πρός τε τὸ κοινόν, καὶ πρὸς Καμβύσην, τὸν τὴν ἀδελφὴν ἔχοντα καὶ βασιλεύοντα ἐν Πέρσαις. Ἔπεμπε δὲ καὶ πρὸς Κῦρον, δεόμενος αὐτοῦ πειρᾶσθαι ἄρχον- 10
τα ἐλθεῖν τῶν ἀνδρῶν, εἴς τινας πέμποι στρατιώτας τὸ Περσῶν κοινόν. Ἦθη γὰρ καὶ ὁ Κῦρος, διατετελεκὼς τὰ ἐν ταῖς ἐφήβοις δέκα ἔτη, ἐν τοῖς τελείοις ἀνδράσιν ἦν. §. 5. Οὕτω δὴ δεξαμένου τοῦ Κύ- 11
ρου, οἱ βουλεύοντες γεραίτεροι αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς Μήδους βοηθείας. Ἔδοσαν δὲ αὐτῷ διακοσίους τῶν ὁμοτίμων προ- 12
σελέσθαι· τῶν δ' αὖ διακοσίων ἑκάστῳ, τέτταρας ἄνδρας ἐκ τῶν ὁμοίων ἔδοσαν προσελέσθαι· γίγνονται μὲν δὴ οὗτοι χίλιοι· τῶν δ' αὖ χιλίων τούτων ἔδοσαν προσελέσθαι ἑκάστῳ ἐκ τοῦ δήμου τῶν Περσῶν δέκα μὲν πελταστάς, δέκα δὲ σφενδονήτας, δέκα δὲ τοξότας. Καὶ οὕτως ἐγένοντο μύριοι μὲν τοξόται, μύριοι δὲ 13
πελτασταί, μύριοι δὲ σφενδονῆται· χωρὶς δὲ τούτων οἱ χίλιοι ὑπῆρχον. Τοσαύτη μὲν δὴ στρατιὰ τῷ Κύρῳ ἐδέθη. §. 6. Ἐπειδὴ 14
δὲ ἠρέθη τάχιστα, ἤρξατο μὲν πρῶτον ἀπὸ τῶν Θεῶν· καλλιερησάμενος δέ, τότε προσῄρειτο τοὺς διακοσίους. Ἐπεὶ δὲ προ- 15
είλοντο καὶ οὗτοι δὴ τοὺς τέσσαρας ἕκαστοι, συνέλεξεν αὐτούς· καὶ ἔλεξεν ὁ Κῦρος ἐν αὐτοῖς τότε πρῶτον τάδε·

§. 7. « Ἄνδρες φίλοι, ἐγὼ προσειλόμην μὲν ὑμᾶς, οὐ νῦν πρῶτον 16
δοκιμάς, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς, ἃ μὲν καλὰ ἡ πόλις νομίζειν, προθύμως ταῦτα ἐκπονοῦντας, ἃ δὲ αἰσχρὰ ἡγεῖται εἶναι, παντελῶς τούτων ἀπεχομένους. Ὧν δ' ἕνεκα αὐτός τε οὐκ 17
ἄκων εἰς τόδε τὸ τέλος κατέστην, καὶ ὑμᾶς παρεκάλεσα, δηλῶσαι ὑμῖν βούλομαι. §. 8. Ἐγὼ γὰρ κατενόησα, ὅτι οἱ πρόγονοι χεί- 18
ρους μὲν ἡμῶν οὐδὲν ἐγένοντο· ἀσκοῦντες γοῦν κἀκεῖνοι διετέ-

---

§. 4. Ἐφ' ἑαυτόν.) Ἡ σύνθετος διὰ τὴν ἀντιμετάβασιν.

10. Εἴ τινας.) Ἀντὶ Οὕς τινας· τὸ δὲ Εἰ διὰ τὸ ἀμφίβολον τοῦ ἀορίστου.

§. 5. Τῶν ὁμοτίμων.) Οὗτοι τῶν πρώτων ἦσαν ἐν Πέρσαις, οὕτως ὀνομαζόμενοι ὡς ὁμοῖοι τῇ τιμῇ καὶ ἀξίᾳ.

§. 6. Τάχιστα.) Τὸ Τάχιστα πρὸς τὸ ἑξῆς φέρεται ῥῆμα· οἷον· αἱρεθεὶς δὲ, τάχιστα ἢ εὐθὺς ἤρξατο· σύνηθες δὲ τοῦτο τοῖς Ἕλλησιν· ὅθεν καὶ Διονύσ. Ἁλικαρν. ἐν Ἱππάρχ. Ἐπειδὰν τάχιστα ἀνὴρ ἐγένετο, φιλοσοφίας ἐπεθύμησεν· ἀντὶ ἀνὴρ γενόμενος, τάχιστα ἢ εὐθὺς φιλοσοφίας ἐπεθύμησεν.

§. 7. Ἃ μέν . . . αὐτά· ἃ δέ . . . τούτων.) Ἐν τῇ ἀποδόσει τῷ ἀναφορικῷ ἀδιαφόρως λαμβάνεται ἥ τε Αὐτὸς καὶ ἡ Οὗτος ἀντωνυμία· ὡς ἐνταῦθα· εἰμή τις εἴποι, ἐν μὲν τῷ πρώτῳ μέρει τὴν Αὐτός· τὴν Οὗτος δὲ ἐν τῷ δευτέρῳ ἀποδίδοσθαι δεῖν· Θεωρείσθω δὲ καὶ τὰ ἐν ά. 43. ἐν τῇ Ἕξεσιν αὐτοῖς· ἔξεστι τούτοις, σημειώσει εἰρημένα.

17. Τὸ τέλος.) Τὸ Τέλος διάφορα ἔχει σημαινόμενα, ἀνάλωμα γὰρ, καὶ τάξιν, καὶ ἀρχήν, καὶ γάμον δηλοῖ· Ἐνταῦθα δὲ τὴν ἀρχὴν δηλοῖ.

— Παρεκάλεσ.) Συστρατεῦσαι ἐμοὶ δηλῷ

— Δηλ. ὑμ. βούλομαι) Ταῦτα δηλ.

§. 8. Ἀσκοῦντες διετ.) Διῆγον δηλ. τὸν βίον ἀσκοῦντες τὰ ἔργα ἐκεῖνα, ἅπερ νομίζονται εἶναι ἔργα ἀρετῆς.

λεσαν, ἅπερ ἔργα ἀρετῆς νομίζεται· ὅτι μέντοι προσεκτήσαντο τοιοῦτοι ὄντες ἢ τῷ τῶν Περσῶν κοινῷ ἀγαθὸν ἢ αὐτοῖς, τοῦτο
19 οὐκέτι δύναμαι κατιδεῖν. §. 9. Καίτοι ἔγωγε οἶμαι, οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἐσθλοὶ γενό-
20 μενοι τῶν πονηρῶν. Ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι, οὐχ, ἵνα μηδέποτε εὐφρανθῶσι, τοῦτο πράττουσιν, ἀλλ' ὡς διὰ ταύτην τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα
21 χρόνον εὐφρανούμενοι, οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι, οὐχ, ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται, τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ πείθοντες πολλοὺς ἀνθρώπους πολλὰ καὶ μεγάλα ἀγαθὰ διαπράξα-
22 σθαι· οἵ τε αὖ τὰ πολεμικὰ ἀσκοῦντες, οὐχ, ὡς μαχόμενοι μηδέποτε παύσωνται, τοῦτ' ἐκπονοῦσιν, ἀλλὰ νομίζοντες καὶ οὗτοι, τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ αὐτοῖς καὶ τῇ πόλει περιάψειν.
23 §. 10. Εἰ δέ τινες ταῦτα ἐκπονήσαντες, πρίν τινα καρπὸν ἀπ' αὐτῶν κομίσασθαι, περιεῖδον αὐτοὺς γήρᾳ ἀδυνάτους γενομένους, ὅμοιόν ἔμοί γε δοκοῦσι πεπονθέναι, οἷον εἴ τις, γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι, καὶ εὖ σπείρων, καὶ εὖ φυτεύων, ὁπότε αὐτὸν καρποῦσθαι ταῦτα δέοι, ἐάσῃ τὸν καρπὸν ἀσυγκόμιστον εἰς τὴν
24 γῆν πάλιν καταῤῥεῖν. Καί εἴ τις ἀθλητής, πολλὰ πονήσας καὶ ἀξιόνικος γενόμενος, ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν οὗτος ἔ-
25 μοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης. §. 11. Ἀλλ' ἡμεῖς, ὦ ἄνδρες, μὴ πάθωμεν ταῦτα· ἀλλ', ἐπείπερ σύνισμεν ἡμῖν αὐτοῖς ἀπὸ παίδων ἀρξάμενοι ἀσκηταὶ ὄντες τῶν καλῶν κἀγαθῶν ἔργων, ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὓς ἐγὼ σαφῶς ἐπίσταμαι, αὐτὸς ἰδών,
26 ἰδιώτας ὄντας ὡς πρὸς ἡμᾶς ἀγωνίζεσθαι. Οὐ γάρ τί πω οὗτοι ἱκανοί εἰσιν ἀγωνισταί, οἳ ἂν τοξεύωσιν, ἢ ἀκοντίζωσιν, ἢ ἱππεύωσιν ἐπιστημόνως, ἢν δέ που πονῆσαι δέῃ, τούτῳ λείπωνται·
27 ἀλλ' οὗτοι ἰδιῶται εἰσι κατὰ τοὺς πόνους· οὐδέ γε οἵτινες, ἀγρυπνῆσαι δέον, ἥττωνται τούτου· ἀλλὰ καὶ οὗτοι ἰδιῶταί εἰσι κατὰ τὸν ὕπνον· οὐδέ γε οἱ ταῦτα μὲν ἱκανοί, ἀπαίδευτοι δέ, ὡς χρὴ καὶ συμμάχοις καὶ πολεμίοις χρῆσθαι· ἀλλὰ καὶ οὗτοι δή-

---

§. 9. Τῶν πονηρ.) Φέρεται δὲ πρὸς τὸ Πλέον.

21. Τῷ λέγειν εὖ.) Ἐν τῷ λέγειν πειθ.

22. Ὡς . . . μηδέ . . . παύσ.) Ἐνταῦθα τὸ Ὡς πρὸς ὑποτακτικόν· ἔστι γὰρ ἀντὶ τοῦ Ἵνα.

§ 10. 24. Ἀναίτιος . . . ἀφρ.) Ἤτοι ἄξιος κατηγορηθῆναι ὡς ἄφρων.

§. 11. Αὐτὸς ἰδών.) Πρὸς . . . νιὸν τοῦ Ἀττυρίων βατιλέως μαχεσάμενος· ὡς ἐν γ'. 56 . . . 76. εἴρηται.

— Ὡς πρὸς ἡμ.) Παραβαλλομένους δηλ. πρὸς ἡμᾶς· τὸ Ὡς σύγκρισιν καὶ παραβολὴν σημαίνει.

27. Οὐδέ γε.) Ἀπὸ κοινοῦ τὸ Εἰσὶν ἱκανοὶ ἀγωνισταί.

— Ταῦτα μὲν) Τὸ μὴ ἀπολείπεσθαι, ὅταν δέῃ πονεῖν, καὶ μὴ ἡττᾶσθαι τοῦ ὑ-

λον ὅτι τῶν μεγίστων παιδευμάτων ἀπείρως ἔχουσιν. §. 12. Ὑμεῖς 28
δὲ νυκτὶ μὲν δήπου, ὅσαπερ οἱ ἄλλοι ἡμέρᾳ, δύνασθε χρῆσθαι· πόνους δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνας νομίζετε· λιμῷ δὲ ὅσα περ ὄψῳ διαχρῆσθε· ὑδροποσίαν δὲ ῥᾷον τῶν λεόντων φέρετε· κάλλιστον δὲ πάντων καὶ πολιτικώτατον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ μᾶλλον, ἢ τοῖς ἄλλοις ἅπασι, χαίρετε. Τοὺς δ' ἐπαίνου ἐραστὰς ἀνάγκη κτᾶσθαι τὰ αἴτια, καὶ διὰ τούτῳ πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ἡδέως ὑποδύεσθαι. §. 13. 29
Εἰ δὲ ταῦτα ἐγὼ λέγω περὶ ὑμῶν, ἄλλως γιγνώσκων, ἐμαυτὸν ἐξαπατῶ· ὅτι γὰρ μὴ τοιοῦτον ἀποβήσεται παρ' ὑμῶν, εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει. Ἀλλὰ πιστεύω τοι τῇ πείρᾳ τῇ ἡμετέρᾳ, καὶ τῇ 30
ὑμῶν εἰς ἐμὲ εὐνοίᾳ, καὶ τῇ τῶν πολεμίων ἀνοίᾳ, μὴ ψεύσειν με ταύτας τὰς ἀγαθὰς ἐλπίδας. Ἀλλὰ θαῤῥοῦντες ὁρμώμεθα, ἐπει- 31
δή καὶ ἐκποδὼν ἡμῖν γεγένηται τὸ δόξαι τῶν ἀλλοτρίων ἀδίκως ἐφίεσθαι. Νῦν γὰρ ἔρχονται μὲν οἱ πολέμιοι, ἄρχοντες ἀδίκων χειρῶν· καλοῦσι δὲ ἡμᾶς ἐπικούρους οἱ φίλοι. Τί οὖν ἐστιν ἢ τοῦ ἀλέξασθαι δικαιότερον, ἢ τοῦ τοῖς φίλοις ἀρήγειν κάλλιον; §. 14. 32
Ἀλλὰ μὴν καὶ ἐκεῖνο ὑμᾶς οὐχ ἥκιστα οἶμαι θαῤῥεῖν, τὸ μὴ παρημελημένα μὲ τῶν θεῶν τὴν ἔξοδον ποιεῖσθαι. Πολλὰ γάρ μοι συνόντες ἐπίστασθε, οὐ μόνον τὰ μεγάλα, ἀλλὰ καὶ τὰ μικρὰ παιρώμενον [ἐμέ] ἀεὶ ἀπὸ θεῶν ὁρμᾶσθαι. Τέλος, ἔφη, τί δεῖ λέ- 33
γειν ἔτι; Ἀλλ' ὑμεῖς μὲν τοὺς ἄνδρας ἑλόμενοι καὶ ἀναλαβόντες, καὶ τἆλλα παρασκευασάμενοι, ἴτε εἰς Μήδους· ἐγὼ δ' ἐπανελθὼν πρὸς τὸν πατέρα, πρόειμι δή, ὅπως τὰ τῶν πολεμίων ὡς τάχιστα μαθών, οἷά ἐστι, παρασκευάσω ὑμῖν, ὅ,τι ἂν δύνωμαι, ὅπως ὡς κάλλιστα, σὺν θεῷ, ἀγωνιζόμεθα. » Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

πνου. Ἔστι δὲ κατ' ἔλλειψιν τῆς Κατὰ τὸ Ταῦτα.

— Ἀπείρως ἔχουσιν.) Ἀντὶ ἄπειροί εἰσιν.

§. 12. Ὅσαπερ.) Ἀντὶ τοῦ Ὥσπερ ἢ Καθάπερ· ἔστι γὰρ κατ' ἔλλειψιν τῆς Κατά· ἀντὶ καθ' ὅσα περ· ὥσπερ καὶ τὸ Καθάπερ ἐστὶ Καθ' ἅπερ.

— Πόνους δὲ) Νομίζετε τοὺς πόνους ἡγεμόνας τοῦ ζῆν ἡδέως. »Λογγῖνος δὲ »ἐν τῷ περὶ ὕψους λόγου κεφ. κή. φησὶν »ἀντὶ τοῦ πονεῖν θέλετε· πόνον ἡγεμόνα »τοῦ ζῆν ἡδέως ποιεῖσθαι εἰπών, καὶ τ' ἄλ»λ' ὁμοίως ἐπεκτείνας, μεγάλην τινὰ ἔν»νοιαν τῷ ἐπαίνῳ προσπεριωρίσατο.«

— Τῶν λεόντ.) Οὐ γὰρ ἄλλο τῶν θηρίων ἀνέφερεν ἢ λέοντας· παραβάλλων Πέρσας τοῖς λέουσι μαχιμωτάτοις θηρίοις.

— Ἐπαινούμενοι.) Ἀντὶ Ἐπὶ τοῖς ἐπαίνοις.

— Ἐπὶ τούτῳ.) Τῷ ἐπαινεῖσθαι δηλ.

§. 13. Ἐμαυτὸν ἐξαπατῶ.) Μὴ ταλήθῃ λέγων

— Εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει.) Ὡς ψευδόμενον περὶ ὑμῶν.

30. Μὴ ψεύσειν με ταύτας.) Μὴ ποιήσειν με ψευσθῆναι κατὰ ταύτας τ.

31. Ἐκποδὼν ἡμῖν γεγ.) Ἀντὶ τοῦ Οὐκ ἔστιν ἡμῖν τὸ δόξαι καὶ τλ. οὗ εἰς ἐπεξήγησιν ἐπιφέρεται τὸ, Νῦν γὰρ ἔρχονται· καὶ τλ.

§. 14. Τὸ μὴ παρημ.) Ἐπεξήγησις τοῦτο τοῦ, Διὰ τοῦτο. δηλ. διὰ τὸ μὴ παρημ.

33. Πρόειμι δή.) Τοὺς μὲν γὰρ προπαρασκευασάμενος ἀπέπεμψεν· αὐτὸς δὲ, ἐπιστρέψας πρὸς τὸν πατέρα, καὶ τὰ ἔθιμα ποιήτας, ἅτε μόνος πρὸ τῶν Περσῶν

έ. Διάλεξις Κύρου μετὰ τοῦ πατρὸς περὶ στρατηγικῆς. Α΄. ς΄.

Κῦρος δὲ ἐλθὼν οἴκαδε, καὶ προσευξάμενος Ἑστίᾳ πατρῴᾳ, καὶ Διὶ πατρῴῳ, καὶ τοῖς ἄλλοις θεοῖς, ὡρμᾶτο ἐπὶ τὴν στρα-
2 τείαν· συμπροὔπεμπε δὲ αὐτὸν καὶ ὁ πατήρ. Ἐπεὶ δὲ ἔξω τῆς οἰκίας ἐγένοντο, λέγονται ἀστραπαὶ καὶ βρονταὶ αὐτῷ αἴσιοι γενέσθαι. Τούτων δὲ φανέντων, οὐδὲν ἔτι ἄλλο οἰωνιζόμενοι ἐπορεύοντο, ὡς οὐδένα ἂν λήσαντα τὰ τοῦ μεγίστου θεοῦ σημεῖα.

§. 2. Προϊόντι δὲ τῷ Κύρῳ ὁ πατὴρ ἤρχετο λόγου τοιοῦδε· «Ὅτι μέν, ὦ παῖ, οἱ θεοί σε ἵλεώ τε καὶ εὐμενεῖς πέμπουσί σε, καὶ ἐν ἱεροῖς δῆλον καὶ ἐν οὐρανίοις σημείοις· γιγνώσκεις δὲ καὶ αὐτός.
4 Ἐγὼ γάρ σε ταῦτα ἐπίτηδες ἐδιδαξάμην, ὅπως μὴ δι' ἄλλων ἑρμηνέων τὰς τῶν θεῶν συμβουλίας συνίῃς, ἀλλὰ αὐτὸς καὶ ὁρῶν τὰ ὁρατὰ καὶ ἀκούων τὰ ἀκουστὰ γιγνώσκοις, καὶ μὴ ἐπὶ μάντεσιν εἶῃς, εἰ βούλοιντό σε ἐξαπατᾶν, ἕτερα λέγοντες ἢ τὰ παρὰ τῶν θεῶν σημαινόμενα· μηδ' αὖ, εἴ ποτε ἄρα ἄνευ μάντεως γένοιο, ἀπόροις, θείοις σημείοις ὅ,τι χρῷο· ἀλλὰ διὰ τῆς μαντικῆς γιγνώσκων τὰ παρὰ τῶν θεῶν συμβουλευόμενα, τού-
5 τοις πείθοιο.» §. 3. Καὶ μέν δή, ὦ πάτερ, ἔφη ὁ Κῦρος, ὅπως ἂν ἵλεῳ οἱ θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι
6 κατὰ τὸν σὸν λόγον διατελῶ ἐπιμελούμενος. Μέμνημαι γὰρ ἀκούσας ποτέ σου, ὅτι εἰκότως ἂν καὶ παρὰ τῶν θεῶν πρακτικώτερος εἴη, ὥσπερ καὶ παρὰ ἀνθρώπων, ὅστις μή, ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι, ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῶτο· καὶ τῶν φίλων δὲ ἔφησθα χρῆναι ὡ-
7 σαύτως οὕτως ἐπιμελεῖσθαι. §. 4. Οὐκοῦν νῦν, ἔφη, ὦ παῖ, διά γε ἐκείνας τὰς ἐπιμελείας ἥδιον μὲν ἔρχῃ πρὸς τοὺς θεοὺς δεησόμε-

---

εἰς Μήδους ἀπῆλθεν· ἵνα τε τῶν πολεμίων τὰ πράγματα, ὡς τάχιστα μάθῃ. καὶ παρασκευάσηται, ὧν δεῖται στρατιά.

έ. Ἑστίᾳ πατρ. Διὶ πατρ.) Σημειώσαι ὅτι πατρῷοι θεοὶ ἐλέγοντο, οἱ τὴν πατρίδα ἀγαπῶντες, ὑφ' ὧν τὴν πόσταsιν ἐπίστευον πλέον εἰκείως ἔχειν, ἢ οἱ ἄλλοι λαοί.

2. Οὐδὲν ἔτι ἄλλο οἰωνιζ.) Ἦθος γὰρ τοῖς παλαιοῖς μαντεύεσθαι περὶ τοῦ μέλλοντος ἐκ οἰωνῶν, πτηνῶν δηλ. τινῶν καὶ ἄλλων σημείων φαινομένων· ὁ οὖν Κῦρος καὶ ὁ πατὴρ αὐτοῦ ἰδόντες τὰς αἰσίους ἀστραπὰς καὶ βροντὰς οὐδεμίαν ἄλλου χρείαν εἶχον οἰωνισμοῦ καὶ μαντείας· ἀλλ' ἐπορεύοντο παρὸν ἤδη ἔχοντες τὰ σημεῖα τοῦ θεοῦ.

— Ὡς οὐδένα ἂν λήσ.) Ἀπόλυτος ἡ αἰτιατικὴ διὰ τοῦ Ὡς.

§. 2. Προϊόντι δὲ τῷ Κύρῳ.) Ἡ δοτικὴ ἀπόλυτος κατὰ τὴν γενικήν. Εἴθισται γὰρ ἐν τοῖς κινήσεως σημαντικοῖς ῥήμασιν ἀντὶ γενικῆς τὴν δοτικὴν ἥκειν εἰς χρῆσιν.

— Ἱεροῖς.) Ὁπότε ἔθυόν τι ἱερεῖον, ἐθεώρουν ἐν τοῖς σπλάγχνοις αὐτῶν καὶ ἐμαντεύοντο ἐξ αὐτῶν αἴτιόν τι ἢ μή· ὅθεν καὶ ἔλεγον. Ἐγένοντο καλὰ τὰ ἱερά· ἢ οὐκ ἐγένοντο καλὰ τὰ ἱερά· ταῦτ' ἄρα καὶ ὁ πατὴρ πρὸς Κῦρον τὸν υἱὸν αὐτοῦ λέγει· τοὺς θεοὺς Ἵλεως καὶ εὐμενεῖς πέμπειν αὐτούς· ὡς ἐν τοῖς ἱεροῖς δῆλον καλοῖς γενομένοις, καὶ ἐν τοῖς οὐρανοῖς σημείοις αἰσίοις φανεῖσι.

4. Ἐπὶ μάντεσιν.) Ἐν γὰρ τοῖς στρατεύμασι καὶ μάντεις τινὲς συνείποντο, ἐν τεθύμασι μαντεύοντες, καὶ δι' οἰωνῶν.

§. 3. Καὶ μὲν δή.) Συμπερασματικός.

— Διατελῶ ἐπιμ.) Περιφραστικῶς ἀντὶ Ἐπιμελοῦμαι.

νος, ἐλπίζεις δὲ μᾶλλον τεύξεσθαι, ὧν ἂν δέῃ, ὅτι συνειδέναι σαυτῷ δοκεῖς οὐ πώποτ' ἀμελήσας αὐτῶν; Πάνυ μὲν οὖν, ἔφη, ὦ πάτερ, ὡς πρὸς φίλους μοι τοὺς θεοὺς ὄντας οὕτω διάκειμαι. §. 5. Τί γάρ, ἔφη, ὦ παῖ; μέμνησαι ἐκεῖνα, ἃ ποτε ἐδόκει ἡμῖν, ὡς, 8
ἅπερ δεδώκασιν οἱ θεοὶ μαθόντας ἀνθρώπους βέλτιον πράττειν, ἢ ἀνεπιστήμονας αὐτῶν ὄντας, καὶ ἐργαζομένους μᾶλλον ἀνύτειν, ἢ ἀργοῦντας, καὶ ἐπιμελουμένους ἀσφαλέστερον ἂν διάγειν, ἢ ἀφυλακτοῦντας τούτων. Παρέχοντας οὖν ἑαυτούς, οἵους δεῖ, 9
οὕτως ἡμῖν ἐδόκει δεῖν καὶ αἰτεῖσθαι τὰ ἀγαθὰ παρὰ τῶν θεῶν; §. 6. Ναὶ μὰ Δία, ἔφη ὁ Κῦρος, μέμνημαι μέντοι ταῦτα ἀκούσας σου· καὶ γὰρ ἀνάγκη ἦν πείθεσθαι τῷ λόγῳ τούτῳ. Καὶ οἶδά σε 10
ἐπιτιθέντα αὐτῷ, ὡς οὐδὲ θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν οὔτε ἱππεύειν μὴ μαθόντας, ἱππομαχοῦντας νικᾶν· οὔτε μὴ ἐπισταμένους τοξεύειν, τοξεύοντας κρατεῖν τῶν ἐπισταμένων· οὔτε μὴ ἐπισταμένους κυβερνᾶν, σώζειν εὔχεσθαι ναῦς κυβερνῶντας· οὐδὲ μὴ σπείροντάς γε σῖτον, εὔχεσθαι καλὸν αὐτοῖς σῖτον φύεσθαι· οὐδὲ μὴ φυλαττομένους γε ἐν πολέμῳ, σωτηρίαν αἰτεῖσθαι· παρὰ γὰρ τοὺς τῶν θεῶν θεσμοὺς πάντα τὰ τοιαῦτα εἶναι· τοὺς 11
δὲ ἀθέμιστα εὐχομένους ἁμοίως ἔφησθα εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν, ὥσπερ καὶ παρὰ ἀνθρώπων ἀπρακτεῖν τοὺς παράνομα δεομένους. §. 7. Ἐκείνων δέ, ἔφη, ὦ παῖ, ἐπελάθου, ἃ ποτε 12
ἐγὼ καὶ σὺ ἐλογιζόμεθα, ὡς ἱκανὸν εἴη καὶ καλὸν ἀνδρὶ ἔργον, εἴ τις δύναιτο ἐπιμεληθῆναι, ὅπως αὐτός τε καλὸς κἀγαθὸς δεκίμως γένοιτο, καὶ τὰ ἐπιτήδεια ὅπως αὐτός τε καὶ οἱ οἰκέται ἱκανῶς ἔχοιεν. Τὸ δέ, τούτου μεγάλου ἔργου οὕτως ὄντος, ἐπίστα- 13
σθαι ἀνθρώπων ἄλλων προστατεύειν, ὅπως ἕξουσιν ἅπαντα τὰ ἐπιτήδεια ἔκπλεω, καὶ ὅπως ἔσονται πάντες, οἵους δεῖ, τοῦτο θαυμαστὸν θήπου ἐφαίνετο ἡμῖν εἶναι. §. 8. Ναὶ μὰ Δί', ἔφη, ὦ πάτερ, 14
μέμνημαι καὶ τοῦτο, ὅτε σοῦ λέγοντος συνεδόκει καὶ ἐμοὶ ὑπερμέγεθες εἶναι ἔργον τὸ καλῶς ἄρχειν· καὶ νῦν, ἔφη, ταὐτά μοι

---

§. 4. Ὡς πρὸς φιλ.) Οὕτω διάκειμαι πρὸς τοὺς θεούς, ὥσπερ χρὴ διακεῖσθαι πρός τινας φίλους ὄντας.

§. 5. Ὡς, ἅπερ δεδ.) Σημείωσαι ὅτι τὸ Ὡς ἐνταῦθα περιττόν, συνήθως γὰρ τὸ Ὡς ὡς κατ' ἀνάλυσιν ἐποίησεν τὸ ἀπαρέμφατον· εἶθ' ὥσπερ ἐπιλαθόμενος τῆς τοῦ Ὡς προσθήκης, ἐπέφερε τὸ ἀπαρέμφατον. Τοιαῦτα δὴ ἔστιν ἐν πολλοῖς εὑρεῖν, ἐν ἔθει ὄντος τοῦ πράγματος.

— Τούτων.) Ἅπερ δηλονότι δεδώκασιν οἱ θεοί.

9. Παρέχοντ.) Τοῖς θεοῖς δηλ.

§. 6. 10. Τοιαῦτα εἶν.) Ἐξαρτᾶται ἀπὸ τοῦ, Οἶδά τε λέγοντα.

§. 7. Εἴτις.) Ἀνάλυσις ὀνοματικοῦ ἀπαρεμφάτου ἀντὶ τοῦ, Τὸ δύνασθαί τινα ἐπιμεληθῆναι· ὥσπερ τὸ ἑξῆς, Τὸ δὲ ἐπίστασθαι, ἀνθ.

13. Οὕτως ὄντ.) Οὕτω δηλ. μεγάλου ἔργου ὄντος τούτου, τοῦ δύνασθαί τινα ἐπιμεληθῆναι καὶ τλ.

— Οἵους δεῖ.) Εἶναι δηλ.

— Τοῦτο.) Ἀνταποδοτικὸν πρὸς Τὸ δὲ ἐπίστασθαι.

§. 8 Πρὸς αὐτὸ τὸ ἄρχ.) Ἰδιότητα καὶ μόνωσιν σημαίνει τὸ Αὐτό· οἷον πρὸς μόνον αὐτὸ τὸ ἄρχ.

15 δοκεῖ ταῦτα, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. Ὅταν μέντοι γε πρὸς ἄλλους ἀνθρώπους ἰδὼν κατανοήσω, οἷοί τε ὄντες διαγίγνονται ἄρχοντες, καὶ οἷοι ὄντες ἀνταγωνισταὶ ἡμῖν ἔσονται, πάνυ μοι δοκεῖ αἰσχρὸν εἶναι, τὸ τοιούτους αὐτοὺς ὄντας ὑποπτῆ-
16 ξαι, καὶ μὴ ἐθέλειν ἰέναι αὐτοῖς ἀνταγωνισουμένους. Οὓς, ἔφη, ἐγὼ αἰσθάνομαι, ἀρξάμενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων, ἡγουμένους, δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν τῷ καὶ πολυτελέστερον δειπνεῖν, καὶ πλέον ἔνδον ἔχειν χρυσίον, καὶ πλείονα χρόνον καθεύδειν, καὶ πάντα ἀπονώτερον τῶν ἀρχομένων διά-
17 γειν. Ἐγὼ δὲ οἶμαι, ἔφη, τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν τε καὶ φιλοπονεῖν
18 προθυμούμενον. §. 9. Ἀλλά τι, ἔφη, ὦ παῖ, ἔνιά ἐστιν, ἃ οὐ πρὸς ἀνθρώπους ἀγωνιστέον, ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα, ὧν οὐ ῥᾴδιον εὐπόρως περιγενέσθαι. Αὐτίκα δήπου οἶσθα, ἔφη, ὅτι, εἰ μὴ
19 ἕξει ἡ στρατιὰ τὰ ἐπιτήδεια, καταλύσεταί σου εὐθὺς ἡ ἀρχή. Οὐκοῦν ταῦτα μέν, ἔφη, ὦ πάτερ, Κυαξάρης φησὶ παρέξειν τοῖς ἐντεῦθεν πᾶσιν ἰοῦσιν, ὁπόσοι ἂν ὦσι. Τούτοις δή, ἔφη, ὦ παῖ, σὺ πιστεύων ἔρχῃ τοῖς παρὰ Κυαξάρῃ χρήμασιν; Ἔγωγε, ἔφη ὁ Κῦρος. Τί δέ, ἔφη, οἶσθα, ὁπόσα αὐτῷ ἐστι; Μὰ τὸν Δία,
20 ἔφη ὁ Κῦρος, οὐ μὲν δή. Ὅμως δὲ τούτοις, ἔφη, πιστεύεις τοῖς ἀδήλοις; Ὅτι δὲ πολλῶν μέν σοι δεήσει, πολλὰ δὲ καὶ ἄλλα νῦν ἀνάγκη δαπανᾶν, ἐκεῖνο οὐ γιγνώσκεις; Γιγνώσκω, ἔφη ὁ Κῦ-
21 ρος. Ἐὰν οὖν, ἔφη, ἐπιλίπῃ αὐτὸν ἡ δαπάνη, ἢ καὶ ἑκὼν ψεύ-
22 σηται, πῶς σοι ἕξει τὰ τῆς στρατιᾶς; Δῆλον, ὅτι οὐ καλῶς. Ἀτάρ, ὦ πάτερ, ἔφη, σὺ εἰ ἐνορᾷς τινα πόρον καὶ ἀπ' ἐμοῦ ἂν προσγε-
23 νόμενον, ἕως ἔτι ἐν φιλίᾳ ἐσμέν, λέγε. §. 10. Ἐρωτᾷς, ἔφη, τοῦτο, ὦ παῖ, εἴ τις ἂν ἀπὸ σοῦ πόρος προσγένοιτο; Ἀπὸ τίνος δὲ μᾶλλον εἰκός ἐστι πόρον προσγενέσθαι, ἢ ἀπὸ τοῦ δύναμιν ἔχοντος; Σὺ δὲ πεζὴν μὲν δύναμιν ἔχων ἐνθένδε ἔρχῃ, ἀνθ' ἧς εὖ οἶδ' ὅτι πολλαπλασίαν ἄλλην οὐκ ἂν δέξαιο· ἱππικὸν δέ σοι, ὅπερ κρά-
24 τιστον, τὸ Μήδων σύμμαχον ἔσται. Ποῖον οὖν ἔθνος τῶν πέριξ οὐ δοκεῖς καὶ χαρίζεσθαι βουλόμενον ὑμῖν ὑπηρετήσειν, καὶ φοβούμε-

---

16. Ἡμετέρων φίλων τούτ.) Τοὺς Μήδους λέγει. Προειπὼν γὰρ περὶ τῆς τρυφῆς τῶν Μήδων, ἐνταῦθα διαβάλλει αὐτοὺς, ὡς ἐν τῇ τρυφῇ ἡγουμένους χρῆναι τὸν ἄρχοντα διαφέρειν τῶν ἀρχομένων καὶ οὐκ ἐν τῇ ἀρετῇ.

17. Προθυμούμενον.) Μετοχὴ τροπολογικὴ ἀντὶ, μετὰ προθυμίας, ἢ προθύμως Ἤτοι· Διαφέρειν ἐν τῷ προνοεῖν τε καὶ φιλοπονεῖν προθύμως.

§ 9. Ἀλλά τι.) Προσθετικὸς ἀντὶ Πρὸς τούτοις δέ.

— Αὐτίκα δήπου.) Ἐπεξήγησις ἀντὶ τοῦ, οἷον· Παραδείγματος χάριν.

22. Ἐν φιλίᾳ ἐσμ.) Ἐν φιλίᾳ γῇ δηλ. εἰς ἴδιον ἡμέτερον τόπον. Ἐν ὅσῳ ἐσμὲν ἐν τῇ ἡμετέρᾳ γῇ, καὶ μὴ ἐν ἀλλοτρίᾳ καὶ τῇ τῶν πολεμίων, λέγε.

§. 10. Ἔρχῃ.) Κατ' ἰδιωτισμὸν λόγου τὸ Ἔρχῃ· ἀπήρχετο γὰρ, οὐκ ἤρχετο ὁ Κῦρος.

νον, μή τι πάθῃ; Ἃ χρή σε κοινῇ σὺν Κυαξάρῃ σκοπεῖσθαι, μήποτε ἐπιλίπῃ τι ὑμᾶς ὧν δεῖ ὑπάρχειν· καὶ ἔθους δὲ ἕνεκα μηχανᾶσθαι προσόδου πόρον. Τόδε δὲ μάλιστα πάντων μέμνησό 25
μοι, μηδέποτε ἀναμένειν τὸ πορίζεσθαι τὰ ἐπιτήδεια, ἔστ' ἂν ἡ χρεία σε ἀναγκάσῃ· ἀλλ' ὅταν μάλιστα εὐπορῇς, τότε, πρὸ τῆς ἀπορίας, μᾶλλον μηχανῶ. Καὶ γὰρ τεύξῃ μᾶλλον, παρ' ὧν ἂν 26
δέῃ, μὴ ἀπορεῖν δοκῶν, καὶ ἔτι ἀναίτιος ἔσῃ παρὰ τοῖς σαυτοῦ στρατιώταις· ἐκ τούτου δὲ μᾶλλον καὶ ὑπὸ τῶν ἄλλων αἰδοῦς τεύξῃ· καὶ ἤν τινας βούλῃ τῇ δυνάμει εὖ ποιῆσαι ἢ κακῶς, μᾶλ- 27
λον, ἕως ἂν ἔχωσι τὰ δέοντα οἱ στρατιῶται, ὑπηρετήσουσί σοι καὶ πιστικωτέρους, σάφ' ἴσθι, λόγους δυνήσῃ τότε λέγειν, ὅταν περ καὶ ἐνδείκνυσθαι μάλιστα δύνῃ ποιεῖν ἱκανῶς ὢν καὶ εὖ καὶ κακῶς. §. 11. Ἀλλ', ἔφη, ὦ πάτερ, ἄλλως τέ μοι καλῶς δοκεῖς 28
ταῦτα λέγειν πάντα, καὶ ὅτι, ὧν μὲν νῦν λέγονται λήψεσθαι οἱ στρατιῶται, οὐδεὶς αὐτῶν ἐμοὶ τούτων χάριν εἴσεται· (ἴσασι γὰρ, ἐφ' οἷς αὐτοὺς Κυαξάρης ἄγεται συμμάχους·) ὅ,τι δ' ἂν πρὸς τοῖς εἰρημένοις λαμβάνῃ τις, ταῦτα καὶ τιμὴν νομιοῦσι, καὶ χάριν τούτων πλείστην εἰκὸς εἰδέναι τῷ διδόντι. Τὸ δ' ἔχοντα 29
δύναμιν, ἢ ἔστι μὲν φίλους εὖ ποιοῦντα ἀντωφελεῖσθαι, ἔστι δὲ ἐχθροὺς ἔχοντα πειρᾶσθαι τίσασθαι, ἔπειτα ἀμελεῖν τοῦ πορίζεσθαι, οἴει τί, ἔφη, ἧττον τοῦτο εἶναι αἰσχρόν, ἢ εἴ τις ἔχων μὲν ἀγροὺς, ἔχων δὲ ἐργάτας, οἷς ἂν ἐργάζοιτο, ἔπειτα ἐάσῃ τὴν γῆν ἀργοῦσαν ἀνωφέλητον εἶναι; Ὡς οὖν ἐμοῦ, ἔφη, μηδέποτε ἀ- 30
μελήσαντος τοῦ τὰ ἐπιτήδεια τοῖς στρατιώταις συμμηχανᾶσθαι, μήτ' ἐν φιλίᾳ, μήτ' ἐν πολεμίᾳ, οὕτως ἔχε τὴν γνώμην.

§. 12. Τί γάρ, ἔφη, τῶν ἄλλων, ὦ παῖ, ὧν ἐδόκει ποθ' ἡμῖν ἀ- 31
ναγκαῖον εἶναι μὴ παραμελεῖν, μέμνησαι; Οὐ γάρ, ἔφη, μέ-

---

24. Σκοπεῖσθαι.) Τῷ μέσῳ ἐχρήσατο διὰ τὸ μὴ μόνον, ἀλλὰ μετὰ Κυαξάρου.

— Καὶ ἔθους δὲ ἕν.) Καὶ ἐὰν ὁηλ. μὴ ἐν ἀνάγκῃ ἦτε προσόδου, μηχανᾶσθαι μέντοι δεῖ τὸν πόρον αὐτῆς, ἵν' ἐν ἔθει ἦτε τοῦτο ποιεῖν, καὶ μὴ ἀήθεις γενόμενοι, καὶ ἐν ἀνάγκῃ ἀπορῆτε.

§. 11. Λαμβάνῃ τις.) Τὸ Τὶς ἀντὶ τοῦ Ἕκαστος· ὅθεν καὶ ἐν τῇ ἀποδόσει τὸ ῥῆμα πληθυντικόν· καθάπερ καὶ τοῦ, Ὅ,τι ἡ ἀπόδοσις ἐστὶ τὸ, Ταῦτα διὰ τὸ ἀόριστον· τὰ γὰρ ἀόριστα διὰ τὸ μὴ ὡρισμένον τι ὁηλοῦν δύναμιν πληθυντικοῦ ἔχει.

29. Τὸ δὲ ἔχ.) Οἷον· Οἴει δέ τι ἧττον αἰσχρὸν εἶναι τὸ ἔχοντα ἀγροὺς καὶ ἐργάτας, ἐᾶν τὴν γῆν ἀργοῦσαν. Ἀλλὰ τὸ μὲν συντόνως, τὸ δὲ κατ' ἀνάλυσιν τῶν μερῶν τῆς παραθέτεως ἐξήνεγκε· πο-

λὺ δὲ χαίρει ταύτῃ τῇ ποικιλίᾳ Ξενοφῶν.

30. Οὕτως ἔχε τὴν γν.) Τὸ ἔχω μετὰ ἐπιρρήματος σημαῖνον τὸ Διάκειμαι, γενικῇ συνεκδοχικῶς συντάσσεται· ἀλλὰ τοῦτο μὲν κατ' ἔλλειψιν τῆς Μέρος αἰτιατικῆς, καί πως καὶ ἀμφίβολον ποιεῖ τὸ σημαινόμενον· οἷον· Οὕτως ἔχω γνώμης· ὁηλοῖ γὰρ τοιαύτη ἐστὶν ἡ ἐμὴ γνώμη· τὸ δὲ, Οὕτως ἔχω τὴν γνώμην· σημαίνει ὅτι Οὕτως ἐπίσταμαι· εἰμὶ πεπληροφορημένος.

§. 12. Τί γὰρ) Ὁ Γὰρ προσθετικὸς κατὰ τὸν Ἀλλά· ὡς εἰ ἔλεγεν. Εὖ ἔχει ταῦτα, ἀλλὰ μέμνησαι, ἔφη, ὦ παῖ, τῶν ἄλλων; ἐν δὲ τὸ ἀποκρίσει ἐστὶν ὁ Γὰρ βεβαιωτικός· ὡς ἡμεῖς λέγομεν. Καὶ οὐκ ἐνθυμοῦμαι; ἀντὶ πάντως ἐνθυμοῦμαι.

μνημαι; ὅτε ἐγὼ μὲν πρός σε ἦλθον ἐπ᾽ ἀργύριον, ὅπως ἀποδοίην τῷ φάσκοντί με στρατηγεῖν πεπαιδευκέναι· σὺ δὲ ἅμα
32 δίδου μοι, ἐπηρώτας ὧδέ πως. Ἆρά γε, εἶπες, ὦ παῖ, ἐν τοῖς στρατηγικοῖς ἔργοις καὶ οἰκονομίας τί σοι ἐπεμνήσθη ὁ ἀνήρ, ὦ τὸν μισθὸν φέρεις; οὐδὲν μέν τοι οἱ στρατιῶται ἧττον τῶν ἐπιτηδείων δέονται, ἢ οἱ ἐν οἴκῳ οἰκέται. Ἐπεὶ δ᾽ ἐγώ σοι, λέ-
γων τἀληθῆ, εἶπον, ὅτι οὐδ᾽ ὁτιοῦν περὶ τούτου ἐπεμνήσθη, ἐπήρου με πάλιν, εἴ τι ὑγιείας μοι πέρι ἔλεξε καὶ ῥώμης, ὡς δεήσοι καὶ τούτων, ὥσπερ καὶ [ὑπὲρ] τῆς στρατηγίας, τὸν στρα-
34 τηγὸν ἐπιμελεῖσθαι. ℌ. 13. Ὡς δὲ καὶ ταῦτα ἀπέφησα, ἐπήρου με αὖ πάλιν, εἴ τινα ἐπιμέλειαν ἐδίδαξέ με, ὡς ἂν ἕκαστα τῶν πολε-
35 μικῶν ἔργων κράτιστοι ἂν οἱ σύμμαχοι γένοιντο. Ἀποφήσαντος δέ μου καὶ τοῦτο, ἀνέκρινας αὖ σὺ καὶ τόδε εἴ τι μ᾽ ἐπαίδευσεν, ὡς ἂν δυναίμην στρατιᾷ προθυμίαν ἐμβαλεῖν· λέγων, ὅτι τὸ πᾶν διαφέρει ἐν παντὶ ἔργῳ προθυμία ἀθυμίας. Ἐπει-
36 δὴ δὲ καὶ τοῦτο ἀνένευον, ἤλεγχες αὖ σύ, εἴ τινα λόγον ἐποιήσαιτο διδάσκων περὶ τοῦ πείθεσθαι τὴν στρατιάν, ὡς ἂν τις
37 μάλιστα μηχανῷτο. ℌ. 14. Ἐπειδὴ δὲ καὶ τοῦτο παντάπασιν ἄῤῥητον ἐφαίνετο, τέλος δή με ἐπήρου, ὅτι ποτὲ διδάσκων στρατηγίαν φαίη με διδάσκειν. Κἀγὼ δὴ ἐνταῦθα ἀπεκρινάμην, ὅτι
38 τὰ τακτικά. Καὶ σὺ γελάσας διῆλθές μοι, παρατιθεὶς ἕκαστον, ὅτι οὐδὲν ὄφελος εἴη στρατιᾷ τακτικῶν ἄνευ τῶν ἐπιτηδείων. Τί δ᾽ ἄνευ τοῦ ὑγιαίνειν; Τί δ᾽ ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας; Τί δ᾽ ἄνευ τοῦ πείθεσθαι; Ὡς δὲ
39 μοι καταφανὲς ἐποίησας, ὅτι μικρόν τι μέρος εἴη στρατηγίας τὰ τακτικά, ἐπερομένου μου, εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης, ἀπιόντα με ἐκέλευσας τοῖς στρατηγικοῖς ἀνδράσι νομιζομένοις εἶναι διαλέγεσθαι, καὶ πυνθάνεσθαι, πῇ ἕκαστα τούτων γίγνεται. ℌ. 15. Ἐκ τούτου δὴ συνῆν τούτοις ἐγώ, οὓς μάλιστα
40 φρονίμους περὶ τούτων ἤκουον εἶναι. Καὶ περὶ μὲν τροφῆς ἐπεισθην, ἱκανὸν εἶναι ὑπάρχον, ὅ,τι Κυαξάρης ἔμελλε παρέξειν ἡμῖν· περὶ δὲ ὑγιείας, ἀκούων τε καὶ ὁρῶν, ὅτι καὶ πόλεις αἱ χρήζουσαι ὑγιαίνειν ἰατροὺς αἱροῦνται, καὶ οἱ στρατηγοὶ τῶν στρατιωτῶν ἕνεκεν ἰατροὺς ἐξάγουσιν, οὕτω καὶ ἐγώ, ἐπεὶ ἐν
41 τῷ τέλει τούτῳ ἐγενόμην, εὐθὺς τούτου ἐπεμελήθην· καὶ οἶμαι, ἔφη, ὦ πάτερ, πάνυ ἱκανοὺς τὴν ἰατρικὴν τέχνην ἔχειν ἄνδρας μετ
42 ἐμαυτοῦ. ℌ. 16. Πρὸς τοῦτο δὴ ὁ πατὴρ εἶπεν, Ἀλλ᾽, ὦ παῖ,

---

32. Ἆρά γε, εἶπες) Τὸ Εἶπες παρέλκει· ἀλλ᾽ ἐν ταῖς διαλέξεσι σύνηθες καὶ παρ᾽ ἡμῖν τοῦτο.

33. Ὡς δεῆσον) Ἡ μετοχὴ ἀπόλυτος κατὰ τὰς τῶν ἀπροσώπων.

38. Τί δ᾽ ἄνευ) Τί ὄφελος δηλ. εἴη

ἔφη, οὗτοι μέν, οὓς λέγεις, ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἁπταί, οὕτω καὶ οἱ ἰατροί, ὅταν τινὲς νοσήσωσι, τότε ἰῶνται τούτους· σοὶ δὲ τούτου· μεγαλοπρεπεστέρα ἔσται ἡ τῆς ὑγιείας ἐπιμέλεια· τοῦ γὰρ [τὴν] ἀρχὴν μὴ κάμνειν τὸ στράτευμα, τούτου σοὶ δεῖ μέλειν. Καί τίνα δή, ἔφη, ὦ πάτερ, ὁδὸν ἰών, 43
τοῦτο πράττειν ἱκανὸς ἔσομαι; Ἂν μέν δήπου χρόνου τινὰ μέλλῃς ἐν τῷ αὐτῷ μένειν, ὑγιεινοῦ δεῖ πρῶτον στρατοπέδου μὴ ἀμελῆσαι· τούτου δὲ οὐκ ἂν ἁμάρτοις, ἐάν περ μέλῃ σοι. Καὶ γὰρ λέγοντες οὐδὲν παύονται οἱ ἄνθρωποι περί τε τῶν νοση- 44
ρῶν χωρίων καὶ τῶν ὑγιεινῶν· μάρτυρες δὲ σαφεῖς ἑκατέροις αὐτῶν παρίστανται τά τε σώματα καὶ τὰ χρώματα. Ἔπειτα 45
δὲ, οὐ τὰ χωρία μόνον ἀρκέσει σκέψασθαι, ἀλλὰ μνήσθητι, πῶς πειρᾷ σὺ ἐπιμελεῖσθαι σεαυτοῦ, ὅπως ὑγιαίνῃς. §. 17. Καὶ 46
Κῦρος εἶπε, Πρῶτον μὲν πειρῶμαι, νὴ Δία, μηδέποτε ὑπερεμπίπλασθαι· δύσφορον γάρ· ἔπειτα δὲ ἐκπονῶ τὰ εἰσιόντα· οὕτω γάρ μοι δοκεῖ ἥ τε ὑγίεια μᾶλλον παραμένειν, καὶ ἰσχὺς προσγίγνεσθαι. Οὕτω τοίνυν δεῖ, ἔφη, ὦ παῖ, καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι. Ἦ καὶ σχολή, ἔφη, ἔσται, ὦ πάτερ, σωμασκεῖν 47
τοῖς στρατιώταις; Οὐ μὰ Δί', ἔφη ὁ πατὴρ, οὐ μόνον γε, ἀλλὰ καὶ ἀνάγκη. Δεῖ γὰρ δήπου στρατιάν, εἰ μέλλει πράξειν τὰ δέοντα, μηδέποτε παύεσθαι ἢ τοῖς πολεμίοις κακὰ πορσύνουσαν, ἢ ἑαυτῇ ἀγαθά. Ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον 48
ἀργὸν τρέφεσθαι, πολὺ δ' ἔτι, ὦ παῖ, χαλεπώτερον οἶκον ὅλον· πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὸν τρέφειν. Πλεῖστά τε 49
γὰρ τὰ ἐσθίοντα ἐν στρατιᾷ, καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα, καὶ οἷς ἂν λάθῃ δαψιλέστατα χρώμενα· ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν. §. 18. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ 50
δοκεῖ, ὅτι, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. Τὸν δέ γε ἐργάτην στρα- 51
τηγὸν ἐγὼ, ἔφη, ἀναδέχομαι (ἢν μή τις θεὸς βλάπτῃ) ἅμα

ὃ καὶ ἐν τοῖς λοιποῖς ἐπαναληπτέον.

§ 16. Ἰῶνται τούτ.) Τοῦ νοσήματος. τοὺς νοσοῦντας δηλ.

43. Ὁδὸν ἰών) Τὸ Ὁδὸν μεταφορικῶς ἀντὶ Τίνι τρόπῳ χρώμενος.

44. Ἑκατέροις αὐτ.) Τῶν τε ὑγιεινῶν δηλ. καὶ τῶν νοσηρῶν.

45 Μνήσθητι.) Τοῦ τρόπου δηλ. καθ' ὃν πειρᾷ σὺ καὶ τἀ κατὰ τοῦτον δὴ πειρᾶσθαι δεῖ ἐπιμελεῖσθαι καὶ τῶν στρατιωτῶν, ὅπως ὑγιαίνωσιν.

48. Στρατιὰν ἀργ.) Ἀττικῶς ἀντὶ Ἀργήν.

49. Τὰ ἐσθίοντ.) Οὐδετέρως ἐξήνεγκεν, οὐ γὰρ μόνον στρατιῶται ἐσθίουσιν, ἀλλὰ καὶ ἵπποι, καὶ τῶν ἄλλων ζώων τὰ σκευοφόρα ἀλλὰ καὶ ἐκείνων ὅσον ἕπονται τῷ στρατεύματι τροφῆς ἕνεκα, καὶ τὰ τοιαῦτα· περὶ ὧν ἁπάντων ὁ ἀγαθὸς στρατηγὸς προνοεῖν ὀφείλει.

— Ἀπ' ἐλαχίστων ὁρμ.) Οὐ γὰρ φροντίζουσι τῶν ἐπιτηδείων περὶ παντὸς τοῦ πολέμου, ἀλλ' ἐξ ἀρχῆς τὰ ἐπιτήδεια λαμβάνουσιν, ὅσον ἐλάχιστα, ἃ δὴ καὶ ῥᾳψιλέστατα χρῶνται· κἀντεῦθεν ἀνάγκη ἀεὶ τὸν ἀγαθὸν στρατηγὸν φροντίζειν καὶ ἐπιμελεῖσθαι.

51. Ἀναδέχομ.) Τοιοῦτον δηλ. ὥστε.

καὶ τὰ ἐπιτήδεια μάλιστα ἔχοντας τοὺς στρατιώτας ἀποδείξειν καὶ
τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. Ἀλλὰ μέν τοι τό
52γε μελετᾶσθαι, ἔφη, ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας ἄν
τινάς μοι δοκεῖ, ὦ πάτερ, προειπὼν ἑκάστοις, καὶ ἆθλα προ-
τιθείς, μάλιστα ἂν ποιεῖν εὖ ἀσκεῖσθαι ἕκαστα, ὥστε, ὁ-
πότε δέοιτο, ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. Κάλλιστα
53λέγεις, ἔφη, ὦ παῖ· τοῦτο γὰρ ποιήσας, σάφ' ἴσθι, ὥσπερ
χορούς, τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ. §. 19.
54Ἀλλὰ μήν, ἔφη ὁ Κῦρος, εἴς γε τὸ προθυμίαν ἐμβαλεῖν στρα-
τιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπί-
55δας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλ' ἔφη, ὦ παῖ, τοῦτό γε
τοιοῦτόν ἐστιν, οἷόνπερ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ
56κλήσει, οἵαπερ, ὅταν τὸ θηρίον ὁρᾷ. Τὸ μὲν γὰρ πρῶτον προ-
θύμως, εὖ οἶδ', ὅτι ἔχει ὑπακουούσας· ἢν δὲ πολλάκις ψεύδη-
ται αὐτάς, τελευτῶσαι, οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ, πεί-
57θονται αὐτῷ. Οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει· ἢν πολ-
λάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν,
οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος, πείθειν δύναται.
58Ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν, ἃ μὴ σαφῶς εἰδείη, φείδεσθαι δεῖ,
ὦ παῖ· ἄλλοι δ' ἐνίστε λέγοντες ταὐτὸ διαπράττοιεν ἄν· τὴν δὲ
αὐτοῦ παρόρμησιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα
ἐν πίστει διασώζειν. Ἀλλά, ναὶ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος,
ὦ πάτερ, καὶ καλῶς μοι δοκεῖς λέγειν, καὶ ἐμοὶ οὕτως ἤδιον.
59§. 20. Τοῦ γε μὴν πειθομένους παρέχεσθαι τοὺς στρατιώτας οὐκ
ἀπείρως μοι δοκῶ ἔχειν, ὦ πάτερ. Σύ τε γάρ με εὐθὺς τοῦτο ἐκ
παιδίου ἐπαίδευες, σαυτῷ πείθεσθαι ἀναγκάζων· ἔπειτα τοῖς
διδασκάλοις παρέδωκας, καὶ ἐκεῖνοι αὖ ταὐτὸ τοῦτο ἔπραττον.
60Ἐπεὶ δὲ ἐν τοῖς ἐφήβοις ἦμεν, ὁ ἄρχων ἡμῶν αὐτοῦ τούτου ἰσχυ-
ρῶς ἐπεμελεῖτο· καὶ οἱ νόμοι δὲ οἱ πολλοὶ δοκοῦσί μοι δύο ταῦ-
61τα μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. Καὶ τοίνυν
κατανοῶν περὶ τούτων, ἐν ἅπασιν ὁρᾷν μοι δοκῶ τὸ προτρέ-
πον πείθεσθαι μάλιστα ὄν, τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε

---

53. Ὥσπερ χορ.) Οἱ γὰρ χοροὶ μελετῶσι τὰ προσήκοντα εὐθύμως· οὕτως ἄρα εὐθύμως καὶ αἱ τάξεις μελετήσουσι ταῦτα, ἐὰν τοῦτο γένηται.

56. Οἵα περ) Ἀντὶ Ἣ περ κλήσει δηλ. ἀνακαλεῖ.

57. Ἔχει.) Τὸ περὶ τῶν Ἐλπίδων δηλ. ἀντὶ Οὕτω καὶ αἱ ἐλπίδες ἔχουσι.

58. Τοῦ μὲν αὐτὸν) Τὸν στρατηγὸν δηλ. Ἤτοι. Τὸν μὲν στρατηγὸν οὐ δεῖ, ἃ μὴ σαφῶς εἰδείη, λέγειν, ἄλλοι δὲ παρὰ τὸν στρατηγὸν ἐνίοτε λέγ. καὶ τλ. τὸν δὲ στρατηγὸν πρέπει πκρορμᾷν, ὁπότε οἱ κίνδυνοι μέγιστοί εἰσιν· οὕτως γε καὶ πιστὰ δόξει λέγειν.

— Οὕτως ἤδιον) Ἔστι ποιεῖν.

61 Τὸ προτρ. . . ὄν.) Ὅτι τὸ προτρέπον πείθεσθαι ἐστὶ τὸ ἐξῆς δηλ. τὸ τὸν μὲν π.

καὶ τιμᾷν, τὸν δὲ ἀπειθοῦντα ἀτιμάζειν τε καὶ κολάζειν. §. 21.62
Καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ πείθεσθαι, ἔφη, αὕτη, ὦ παῖ, ἡ ὁδός ἐστιν· ἐπὶ δὲ τὸ πολὺ κρεῖττον τούτου, τὸ ἑκόντας πείθεσθαι, ἄλλη συντομωτέρα ὁδός. Ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμ-
φέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι
ὑπερηδέως πείθονται. Γνοίης δ' ἄν, ὅτι τοῦθ' οὕτως ἔχει, ἐν ἄλ-63
λοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν ὡς προθύμως
τοὺς ἐπιτάττοντας ὅ,τι χρὴ ποιεῖν καλοῦσι· καὶ ἐν θαλάττῃ δὲ,
ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται· καὶ
οὓς γ' ἂν νομίζωσί τινες βέλτιον ἑαυτῶν ὁδοὺς εἰδέναι, ὡς ἰσχυ-
ρῶς τούτων οὐδ' ἀπολείπεσθαι ἐθέλουσιν. Ὁπότε δὲ οἴονται πει-64
θόμενοι κακόν τι λήψεσθαι, οὔτε ζημίας πάνυ τι θέλουσιν εἴκειν,
οὔτε δώροις ἐπαίρεσθαι. Οὐδὲ γὰρ τὰ δῶρα ἐπὶ τῷ ἑαυτοῦ κακῷ
ἑκὼν οὐδεὶς λαμβάνει. §. 22. Λέγεις σύ, ἔφη, ὦ πάτερ, εἰς65
τὸ πειθομένους ἔχειν οὐδὲν εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώτερον
δοκεῖν εἶναι τῶν ἀρχομένων. Λέγω γὰρ οὖν, ἔφη. Καὶ πῶς66
δή τις, ὦ πάτερ, τοιαύτην δόξαν περὶ αὑτοῦ τάχιστα παρα-
σχέσθαι ἂν δύναιτο; Οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντομωτέρα ὁ-
δός, περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ γενέσθαι πε-
ρὶ τούτων φρόνιμον. Καθ' ἓν δὲ ἕκαστον περὶ τούτων σκοπῶν,
γνώσῃ, ὅτι ἐγὼ ἀληθῆ λέγω. Ἢν γὰρ βούλῃ, μὴ ὢν ἀγαθὸς67
γεωργός, δοκεῖν εἶναι ἀγαθός, ἢ ἱππεύς, ἢ ἰατρός, ἢ αὐλητής,
ἢ ἄλλ' ὁτιοῦν, ἐννόει, πόσα γε ἂν δέοι σε μηχανᾶσθαι τοῦ δο-
κεῖν ἕνεκα. Καὶ εἰ δὴ πείσαις ἐπαινεῖν τέ σε πολλοὺς, ὅπως68
δόξαν λάβῃς, καὶ κατασκευὰς καλὰς ἐφ' ἑκάστῳ αὐτῶν κτή-
σαιο ἄρτι τε ἐξηπατηκὼς εἴης ἄν, καὶ ὀλίγῳ ὕστερον, ὅπου ἂν
πεῖραν δοίης, ἐξεληλεγμένος τ' ἂν εἴης, καὶ προσέτι ἀλαζὼν
φαίνοιο. §. 23. Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἄν69
τις τῷ ὄντι γένοιτο; Δηλονότι, ἔφη, ὦ παῖ, ὅσα μέν ἐστι μαθόν-
τα εἰδέναι, μαθὼν ἄν, ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀν-
θρώποις οὔτε μαθητά, οὔτε πρόρατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ
μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος, φρονιμώτερος ἄλλων ἂν
εἴης· ὅ,τι δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελόμενος ἂν70
τούτου, ὡς ἂν πραχθείη. Καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου, οὗ ἂν
δέῃ, φρονιμωτέρου ἀνδρός, ἢ τὸ ἀμελεῖν. §. 24. Ἀλλὰ μέντοι ἐπί71

---

§. 21. Τὸ ἑκόντας π.) Κατ' ἐπεξήγησιν τοῦ, Τὸ πολὺ κρεῖττον τούτου.

69. Φρόνιμος δ' ἄν.) Ἐρώτησις ταῦτα παρὰ τοῦ Κύρου πρὸς τὸν πατέρα.

— Μαθὼν ἄν) Ἀφ' οὗ ὅλ. δυνηθῇς μαθεῖν ἐκεῖνα ὅσα ἐστὶ μαθόντα εἰδέναι, καθάπερ ἔμαθες τὰ τακτικά· τότε δυνήσῃ γενέσθαι φρόνιμος περὶ τοῦ μέλλοντος συνοίσειν.

70. Ἐπιμελ.) Ἀπὸ κοινοῦ τό, Φρονιμώτερος ἂν εἴης.

§. 24. Ἀλλὰ μέν τοι.) Προσθετικόν. Ἐννοεῖται δὲ, Ἔφη ὁ Κῦρος.

τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων (ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις
δοκεῖ εἶναι) δηλονότι ἡ αὐτὴ ὁδός, ἥπερ, εἴ τις ὑπὸ τῶν φι-
72 λων στέργεσθαι ἐπιθυμοίη. Εὖ γάρ, οἶμαι, δεῖν ποιοῦντα φα-
νερὸν εἶναι. Ἀλλὰ τοῦτο μέν, ἔφη, ὦ παῖ, χαλεπόν, τὸ ἀεὶ δύ-
νασθαι εὖ ποιεῖν, οὓς ἄν τις ἐθέλῃ· τὸ δὲ συνηδόμενόν τε φαί-
νεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον, ἤν
τι κακόν, καὶ συνεπικουρεῖν προθυμούμενον ταῖς ἀπορίαις αὐ-
τῶν, καὶ προφοβούμενον, μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώ-
μενον, ὡς μὴ σφάλλωνται, ἐπὶ ταῦτά πως δεῖ μᾶλλον συμ-
73 παρομαρτεῖν. § 25. Καὶ ἐπὶ τῶν πράξεων δέ, ἢν μὲν ἐν θέρει
ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανερὸν εἶναι, ἢν δὲ
ἐν χειμῶνι, τοῦ ψύχους· ἢν δὲ δέῃ μοχθεῖν, τῶν πόνων· πάν-
τα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμ-
74 βάνει. Λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερώτερον δεῖν
πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων μᾶλλον εἶναι. Λέγω
75 γάρ οὖν, ἔφη. Θάῤῥει μέν τοι, ἔφη, ὦ παῖ· εὖ γὰρ ἴσθι τοῦτο,
ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται
ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου, ἀλλ' ἐπικουφίζει τί ἡ τιμὴ τοὺς
πόνους τῷ ἄρχοντι, καὶ αὐτὸ τὸ εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ,τι ἂν
76 ποιῇ. § 26. Ὁπότε δέ, ὦ πάτερ, ἤδη ἔχοιεν μὲν τὰ ἐπιτή-
δεια οἱ στρατιῶται, ὑγιαίνοιεν δέ, πονεῖν δὲ δύναιντο, τὰς δὲ
πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ' ἔχοιεν πρὸς τὸ
ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπει-
θεῖν, οὐκ ἂν ἥδη τηνικαῦτα σωφρονεῖν ἄν τις σοι δοκοίη, δια-
γωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ
77 μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλεῖον ἕξειν· εἰ δὲ μή, ἔγωγε, ὅσῳ
ἂν οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελ-
τίους ἔχειν, τόσῳ ἂν μᾶλλον φυλαττοίμην, ὥσπερ καὶ τὰ ἄλλα,
ἃ ἂν οἰώμεθα πλείστου ἡμῖν ἄξια εἶναι, ταῦτα πειρώμεθα ὡς

— Εὖ γάρ, οἶμαι.) Τοῦτο δὲ ἐξηγηματικόν ἐστι τοῦ, ὅπως στέργεταί τις ὑπὸ τῶν φίλων· φαινόμενος δηλ. ἀεὶ εὖ ποιῶν. Καὶ ἔστιν ἐνταῦθα τὸ, Φανερὸν εἶναι ἀντὶ τοῦ Φαίνεσθαι· καὶ τὸ Εὖ ποιεῖν ἀντὶ τοῦ, Ἀγαθοποιεῖν, Εὐεργετεῖν.

72. Τὸ ἀεὶ δύνασθ.) Ἐπεξήγησις τοῦ, Τοῦτο.

— Ἐπὶ ταῦτα) Ἀνακεφαλαίωσις τοῦτο τῶν εἰρημένων ἀπὸ τοῦ, Τὸ δὲ συνηδόμ. καὶ τλ. Ἐξ οὗ δῆλον ὅτι κἀκεῖνα κατ' ἔλλειψιν τῆς Ἐπὶ εἴρηται. Ἡ μὲν γὰρ φορὰ τοῦ λόγου ὀνομαστικὴν ἅπτεται, καὶ οὕτω καὶ ἐκτέθειται, ἐν δὲ τῇ ἀνακεφαλαιώσει, ἐπλαγίασε τὸν λόγον, μηδὲν φροντίσας τῶν εἰρημένων.

73. Τοῦ ψύχους . . . τῶν πόνων) Ἐν τούτοις ἀπὸ κοινοῦ ἐννοεῖται τὸ φανερὸν εἶναι πλεονεκτοῦντα.

75. Θάῤῥει μέν τοι ἔφη.) Τὸ Ἔφη περιττῶς κεῖται ὡς σύνηθες τῷ Ξενοφῶντι, τοῦ δὲ λόγου ἄλλου ὄντος, εἴποι τις ἂν καὶ μετάβασίν τινα σημαίνειν προσκείμενον.

— Καὶ τὸ αὐτὸν εἰδ.) Καὶ τοῦτο δηλ. ἐπικουφίζει τοὺς πόνους.

§ 26. Ὁπότε δὲ) Κατ' ἀνακεφαλαίωσιν, ἀναφέρει ἐν συνόψει πάντα τὰ εἰρημένα, καὶ οὕτω μεταβαίνει εἰς τό, ὅπως πολεμητέον τῷ ἐχθρῷ.

77. Ταῦτα) Ἀποδοτικὸν πρὸς τὸ Ἀναφορικὸν Ἃ· ἀναλελυμένως τοῦ χωρίου

ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. §. 27. Πλέον δ' ἔχειν, ὦ πάτερ, πολεμίων 78
πῶς ἂν τις δύναιτο μάλιστα; Οὐ μὰ Δί', ἔφη, οὐκέτι τοῦτο
φαῦλον, ὦ παῖ, οὐδ' ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ' εὖ ἴσθι, ὅτι
δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν, καὶ ἐπίβουλον εἶναι, καὶ κρυ-
ψίνουν, καὶ δολερόν, καὶ ἀπατεῶνα, καὶ κλέπτην, καὶ ἁρπα-
γα, καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐ- 79
πιγελάσας εἶπεν, Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν
ἄνδρα με γενέσθαι. Οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ
νομιμώτατος ἀνὴρ εἴης. §. 28. Πῶς μήν, ἔφη, παῖδας ὄντας ἡμᾶς 80
καὶ ἐφήβους τἀναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί', ἔφη, καὶ
νῦν γε, πρὸς τοὺς φίλους τε καὶ πρὸς τοὺς πολίτας· ὅπως δέ γε
τοὺς πολεμίους δύναισθε κακῶς ποιεῖν, οὐκ οἶσθα μανθάνον-
τας ὑμᾶς πολλὰς κακουργίας; Οὐ δῆτ' ἔγωγ', ἔφη, ὦ πάτερ.
Τίνος μήν, ἔφη, ἕνεκα ἐμανθάνετε τοξεύειν; Τίνος δ' ἕνεκα ἀ- 81
κοντίζειν; Τίνος δ' ἕνεκα δολοῦν ὑς ἀγρίους πλέγμασι καὶ ὀ-
ρύγμασι; Τί δέ, ἐλάφους ποδάγραις καὶ ἀρπεδόναις; Τί δέ,
λέουσι καὶ ἄρκτοις καὶ παρδάλεσιν οὐκ εἰς τὸ ἴσον καθιστά-
μενοι ἐμάχεσθε, ἀλλὰ μετὰ πλεονεξίας τινὸς ἀεὶ ἐπειρᾶσθε ἀ-
γωνίζεσθαι πρὸς αὐτά; Ἢ οὐ γινώσκεις, ὅτι ταῦτα πάντα κα- 82
κουργίαι τινὲς καὶ ἀπάταιαι καὶ δολώσεις καὶ πλεονεξίαι; §. 29.
Ναὶ μὰ Δί', ἔφη, ὁ Κῦρος, θηρίων γε· ἀνθρώπων δὲ εἰ καὶ δέξαιμι
βούλεσθαι ἐξαπατῆσαί τινα, πολλὰς πληγὰς οἶδα λαμβάνων.
Οὐδὲ γὰρ τοξεύειν, οἶμαι, ἔφη, οὐδ' ἀκοντίζειν ἄνθρωπον ἐπε- 83
τρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκοπὸν βάλλειν ἐδιδάσκομεν· ἵνα γε
νῦν μὲν μὴ κακουργοῖτε τοὺς φίλους, εἰ δέ ποτε πόλεμος γέ-
νοιτο, δύναισθε καὶ ἀνθρώπων στοχάζεσθαι. Καὶ ἐξαπατᾶν δὲ 84
καὶ πλεονεκτεῖν οὐκ ἐν ἀνθρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ' ἐν
θηρίοις, ἵνα μηδ' ἐν τούτοις τοὺς φίλους βλάπτοιτε· εἰ δέ ποτε πό-
λεμος γένοιτο, μηδὲ τούτων ἀγύμναστοι εἴητε. §. 30. Οὐκοῦν, ἔφη, 85
ὦ πάτερ, εἴπερ χρήσιμά ἐστιν ἀμφότερ' ἐπίστασθαι, εὖ τε ποιεῖν
καὶ κακῶς ἀνθρώπους, καὶ διδάσκειν ἀμφότερα ταῦτα ἔδει ἐν ἀν-
θρώποις. §. 31. Ἀλλὰ λέγεται, ἔφη, ὦ παῖ, ἐπὶ τῶν ἡμετέρων 86
προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκαλος τῶν παίδων, ὃς ἐδίδα-

ἐκφρασθέντος· κατὰ γὰρ τὸ συνεπτυγμένον οὐδ' ἂν ἐλέγετο Ὥσπερ καὶ τἄλλα τὰ πλείστου ἄξια νομιζόμενα εἶναι, πειρώμεθ' ἐν ἐχυρωτάτῳ ποιεῖσθαι.

§. 27. Πλέον δὲ ἔχ.) Ἀντὶ πλεονεκτεῖν, Ὑπέρτερον εἶναι.

— Τοῦτο . . . ἔργον ἐρωτ.) Ἀντί, Οὐ μὰ Δί', ὦ παῖ, τοῦτο τὸ ἔργον, ὅπερ ἐρωτᾷς, οὐκ ἔστι φαῦλον, οὐδ' ἁπλοῦν. Μέγα ὀηλ. ἐστὶ καὶ ποικίλον.

§ 29. Θηρίων γε.) Εἰσὶ ταῦτα πάντα κακουργίαι καὶ τλ. Καὶ ἔστιν ὡς κτητικῶς πρὸς ἐκεῖνα φερομένη ἡ γενικὴ.

84. Ἐν τούτοις) Τῷ ἐξαπατᾶν ὀηλ. καὶ πλεονεκτεῖν.

— Τούτων.) Τοῦ ἐξαπατᾶν καὶ πλεονεκτεῖν ὀηλ. μανθάνοντες λελήθοτως ἐν τοῖς θηρίοις.

σκεν ἄρα τοὺς παῖδας τὴν δικαιοσύνην, ὥσπερ καὶ σὺ κελεύεις, μὴ ψεύδεσθαι, καὶ ψεύδεσθαι· καὶ μὴ ἐξαπατᾶν, καὶ ἐξαπατᾶν· καὶ μὴ διαβάλλειν, καὶ διαβάλλειν· καὶ μὴ πλεονεκτεῖν, καὶ
87 πλεονεκτεῖν. Διώριζε δὲ, τούτων ἅ τε πρὸς τοὺς φίλους ποιητέον ἦν, καὶ ἃ πρὸς τοὺς ἐχθρούς. Καὶ ἔτι δὲ [προβὰς] ταῦτα ἐδίδασκεν, ὡς καὶ τοὺς φίλους δίκαιον εἴη ἐξαπατᾶν, ἐπί γε ἀγαθῷ· καὶ κλέ-
88 πτειν τὰ τῶν φίλων, ἐπί γε ἀγαθῷ. §. 32. Καὶ τάδε διδάσκοντα ἀνάγκη καὶ γυμνάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν· ὥσπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξαπατᾶν, καὶ γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους τοῦτο
89 δύνασθαι ποιεῖν. Γενόμενοι οὖν τινες οὕτως εὐφυεῖς πρὸς τὸ κλέπτειν, καὶ πρὸς τὸ ἐξαπατᾶν, καὶ πρὸς τὸ πλεονεκτεῖν, ἴσως δὲ καὶ πρὸς τὸ φιλοκερδεῖν οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπείχοντο οὐδ' ἀπὸ τῶν φίλων, τὸ μὴ οὐχὶ πλεονεκτεῖν αὐτῶν πειρᾶσθαι. §. 33.
90 Ἐγένετο οὖν ἐκ τούτου ῥήτρα, ἣ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν τοὺς παῖδας, ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς διδάσκομεν, ἀληθεύειν, καὶ μὴ ἐξαπατᾶν, μηδὲ κλέπτειν, μηδὲ πλεονεκτεῖν· εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν· ὅπως σὺν
91 τοιούτῳ ἔθει ἐθισθέντες πρᾳότεροι πολῖται γένοιντο. §. 34. Ἐπεὶ δὲ ἔχοιεν τὴν ἡλικίαν, ἣν περ σὺ νῦν ἔχεις, ἤδη καὶ τὰ πρὸς τοὺς
92 πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς εἶναι διδάσκειν. Οὐδὲ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι, ἐν τῷ αἰδεῖσθαι ἀλλήλους συντεθραμμένοι· ὥσπερ γε καὶ περὶ ἀφροδισίων οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν νέους, ἵνα μή, πρὸς τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ αὐτοῖς ῥᾳδιουργίας προσγενομένης, ἀμέ-
93 τρως αὐτῇ χρῶντο οἱ νέοι. §. 35. Νὴ Δί', ἔφη· ὡς τοίνυν ὀψιμαθῆ με ὄντα τούτων τῶν πλεονεξιῶν, ὦ πάτερ, μὴ φείδου, εἴ τι ἔχεις, διδάσκειν, ὅπως πλεονεκτήσω ἐγὼ τῶν πολεμίων. Μη-
94 χανῶ τοίνυν, ἔφη, ὁπόση ἐστὶ δύναμις, τεταγμένοις τοῖς αὐτοῦ ἀτάκτους λαμβάνειν τοὺς πολεμίους· καὶ ὡπλισμένοις, ἀόπλους· καὶ ἐγρηγορόσι, καθεύδοντας· καὶ φανεροὺς σοι ὄντας,

---

86. Τήν γε δικαιοσ.) Δηλ. τοῦτον τὸν τρόπον ἐδίδασκε τὴν δικαιοσύνην, ὡς σὺ κελεύεις· ἤγουν ἐδίδασκεν αὐτοὺς μὴ ψεύδεσθαι μὲν πρὸς τοὺς φίλους, ψεύδεσθαι δὲ πρὸς τοὺς ἐχθρούς· μὴ ἐξαπατᾶν μὲν τοὺς φίλους, ἐξαπατᾶν δὲ τοὺς ἐχθρούς· καὶ τλ. καὶ πρὸς τοὺς φίλους δὲ ψεύδεσθαι, καὶ τούτους ἐξαπατᾶν ἐπί γε ἀγαθῷ· ὡς παρακατιὼν λέγει.

§. 32. Ἐν πάλῃ) Ἡ παραβολὴ αὕτη οὐκ ἀρέσκει τισίν· ἐν γὰρ τῇ πάλῃ· εἴ γ' ἕτερος ἕτερον πεπλασμένῃ τινὶ σώματος κινήσει ψεύδεται· τοῦτο μέν τοι ἐν τῇ πάλῃ δοκιμασθέν, οὐ δόκιμον κρίνεται. Ταῦτ' ἄρα δοκεῖ αὐτοῖς διεφθάραι τὰ τοῦ κειμένου ἀντὶ Ἐν πόλει τινί, ἔνθα ἐννοεῖν ἔξεστι τὴν Λακεδαίμονα, ταῦτα διδασκομένων ἐκεῖσε τῶν παίδων, ὡς αὐτὸς ὁ Ξενοφῶν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ λέγει.

§. 33. Ἁπλῶς διδ.) Ταύτῃ τῇ συνθήκῃ καὶ νῦν ἔτι χρώμεθα δηλ. τῷ διδάσκειν τοὺς παῖδας ἀληθεύειν καὶ τλ. »εἰ δὲ παρὰ ταῦτα ποιοῖεν χρώμεθα τῷ κολάζειν.

ἀφανὴς ὢν αὐτὸς ἐκείνοις, καὶ ἐν δυσχωρίαις αὐτοὺς γιγνομέ-
νους, ἐν ἐρυμνῷ αὐτὸς ὤν, ὑποδέξῃ. §. 36. Καὶ πῶς ἄν, ἔφη, τις95
τοιαῦτα, ὦ πάτερ, ἁμαρτάνοντας δύναιτο τοὺς πολεμίους λαμ-
βάνειν; Ὅτι, ἔφη, ὦ παῖ, πολλὰ μὲν τούτων ἀνάγκη ἐστὶ καὶ
ὑμᾶς καὶ τοὺς πολεμίους πάσχειν. Σιτοποιεῖσθαί τε γὰρ ἀνάγ-96
κη ἀμφοτέρους, κοιμᾶσθαί τε ἀμφοτέρους, καὶ ἕωθεν ἐπὶ τὰ ἀ-
ναγκαῖα σχεδὸν ἅμα πάντας ἴεσθαι, καὶ ταῖς ὁδοῖς, ὁποῖαι ἂν
ὦσι, τοιαύταις ἀνάγκη χρῆσθαι. Ἃ χρή σε πάντα κατανοοῦν-97
τα, ἐν ᾧ μὲν ἂν ὑμᾶς γιγνώσκῃς ἀσθενεστάτους γιγνομένους,
ἐν τούτῳ μάλιστα φυλάττεσθαι· ἐν ᾧ δ' ἂν τοὺς πολεμίους
αἰσθάνῃ εὐχειρωτοτάτους γιγνομένους, ἐν τούτῳ μάλιστα ἐπιτί-
θεσθαι. §. 37. Πότερον δ', ἔφη ὁ Κῦρος, ἐν τούτοις μόνον ἐστὶ98
πλεονεκτεῖν, ἢ καὶ ἐν ἄλλοις τισί; Καὶ πολύ γε μᾶλλον, ἔφη, ὦ
παῖ· ἐν τούτοις μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ πάντες ἰσχυρὰς φυ-
λακὰς ποιοῦνται, εἰδότες, ὅτι δέονται. Οἱ δ' ἐξαπατῶντες τοὺς99
πολεμίους δύνανται καὶ, θαρσῆσαι ποιήσαντες, ἀφυλάκτους λαμ-
βάνειν· καὶ διῶξαι παραδόντες ἑαυτούς, ἀτάκτους ποιῆσαι·
καὶ, ἐς δυσχωρίαν φυγῇ ὑπαγαγόντες, ἐνταῦθα ἐπιτίθεσθαι.
§. 38. Δεῖ δή, ἔφη, ὦ παῖ, φιλομαθῆ σε τούτων ἁπάντων ὄντα,100
οὐχ, οἷς ἂν μάθῃς, τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ αὐτὸν ποιη-
τὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων· ὥσπερ καὶ
οἱ μουσικοὶ οὐχ, οἷς ἂν μάθωσι, τούτοις μόνον χρῶνται, ἀλ-
λὰ καὶ ἄλλα μέλη πειρῶνται ποιεῖν. Καὶ σφόδρα μὲν καὶ ἐν101
τοῖς μουσικοῖς τὰ νέα καὶ ἀνθηρὰ εὐδοκιμεῖ, πολὺ δὲ καὶ ἐν
τοῖς πολεμικοῖς μᾶλλον τὰ καινὰ μηχανήματα εὐδοκιμεῖ· ταῦτα
γὰρ μᾶλλον καὶ ἐξαπατᾶν δύνανται τοὺς ὑπεναντίους. §. 39. Εἰ102
δὲ σύ γε, ἔφη, ὦ παῖ, μηδὲν ἄλλο ἢ μετενέγκοις ἐπ' ἀνθρώπους
τὰς μηχανάς, ἃς καὶ ἐπὶ τοῖς πάνυ μικροῖς θηρίοις ἐμηχα-
νῶ οὐκ οἶσθ' ἄν, ἔφη, πρόσω πάνυ ἐλάσαι τῆς πρὸς τοὺς πο-
λεμίους πλεονεξίας; Σὺ μὲν γὰρ ἐπὶ τὰς ὄρνιθας ἐν τῷ ἰ-103
σχυροτάτῳ χειμῶνι ἀνιστάμενος, ἐπορεύου νυκτός· καὶ πρὶν

---

94. Καὶ ἐν δυσχωρ. . . . ὑποδέξῃ) Ἀπὸ τοῦ προστακτικοῦ Μηχανῶ, εἰς τὸ Ὑποδέξῃ ὁριστικὸν μετέβαλε τὸν λόγον· ὡς εἰ ἔλεγε Μηχανῶ ταῦτα ποιεῖν· καὶ τοῦτον τὸν τρόπον ὑποδέξῃ τοὺς πολεμίους ἐν δυσχωρίαις γενομένους, ἐν ἐρυμνῷ αὐτὸς ὢν χωρίῳ.

97. Ὑμᾶς γινώσκ.) Ἐπειδὴ δευτεροπροσωποῦντα ἄμφω καὶ ἐν τῷ Ὑμᾶς ἐννοεῖται καὶ Κῦρος· ἔδει οὖν διὰ τὴν αὐτοπάθειαν σύνθετον ἐπενεγκεῖν· ἔστι δὲ πρωτότυπος διὰ τὸ τοὺς πλείστους τοὺς ἐν τῷ Ὑμᾶς μὴ ἐννοεῖσθαι ἐν τῷ Γινώσκῃς· καὶ διὰ τοῦτο μηδὲ κατ' αὐτοπάθειαν, καθ' ἑτεροπάθειαν δὲ λέγεσθ.

§. 38. Οἷς ἂν μάθῃς) Ἀττικῶς ἀντὶ τοῦ ἃ ἂν μάθῃς. Ἀττικῶς γὰρ τὸ ἀναφορικὸν μιμεῖται τὴν πτῶσιν τοῦ πρὸς ὃ ἀναφέρεται.

101. Ταῦτα γὰρ) Τὰ καινὰ μηχανήματα.

§. 39. Μηδὲν ἄλλο) Ποιήσαις ὅηλ.

— Πρόσω πάνυ ἐλ.) Ὅπερ ἐστὶ πολὺ ὑπερσχεῖν τοὺς πολεμίους πολὺ πλεο-

κινεῖσθαι τὰς ὄρνιθας ἐπεποίηντό σοι ἐπὶ τούτῳ αἱ πάγαι αὐταῖς, καὶ τὸ κεκινημένον χωρίον ἐξείκαστο τῷ ἀκινήτῳ· ὄρνιθες δὲ ἐπεπαίδευντό σοι, ὥστε σοὶ μὲν τὰ συμφέροντα ὑπηρετεῖν, τὰς δὲ ὁμοφύλους ὄρνιθας ἐξαπατᾶν· αὐτὸς δὲ ἐνήδρευες, ὥστε ὁρᾶν μὲν αὐτάς, μὴ ὁρᾶσθαι δὲ ὑπ' αὐτῶν· ἠ-
104 σκήκεις δὲ φθάνειν ἔλκων, ἢ τὰ πτηνὰ φυγεῖν. §. 40. Πρὸς δ' αὖ τὸν λαγώ, ὅτι μὲν ἐν σκότει νέμεται, τὴν δ' ἡμέραν ἀποδιδράσκει, κύνας ἔτρεφες, αἳ τῇ ὀσμῇ αὐτὸν ἀνεύρισκον. Ὅτι δὲ ταχὺ ἔφευγεν, ἐπεὶ εὑρεθείη, ἄλλας κύνας εἶχες ἐπι-
105 τετηδευμένας πρὸς τὸ κατὰ πόδας αἱρεῖν. Εἰ δὲ καὶ ταύτας ἀποφύγοι, τοὺς πόρους αὐτῶν ἐκμανθάνων, καὶ πρὸς οἷα χωρία φεύγειν αἱροῦνται οἱ λαγώ, ἐν τούτοις τὰ δίκτυα ὀξυτάρακτα ἐνεπετάννυες, ἵνα ἐν τῷ σφόδρα φεύγειν αὐτὸς ἑαυτὸν
106 ἐμπίπτων ἐνέδυ. Τοῦ δὲ μηδ' ἐντεῦθεν διαφεύγειν, σκοποὺς τοῦ γιγνομένου καθίστης, οἳ ἐγγύθεν ταχὺ ἔμελλον ἐπιγενήσεσθαι· καὶ αὐτὸς μὲν σὺ ὄπισθεν κραυγῇ οὐδὲν ὑστεριζούσῃ τοῦ λαγῶ βοῶν, ἐξέπληττες αὐτόν, ὥστε ἀφρόνως ἁλίσκεσθαι· τοὺς δὲ ἔμπροσθεν σιγᾶν διδάξας ἐνεδρεύοντας, λανθάνειν ἐποίεις.
107 §. 41. Ὥσπερ οὖν πρόσθεν εἶπον, εἰ τοιαῦτα ἐθελήσαις καὶ ἐπὶ τοὺς ἀνθρώπους μηχανᾶσθαι, οὐκ οἶδ' ἔγωγε, εἴ τινα λίποις ἂν τῶν
108 πολεμίων. Ἦν δέ ποτε ἄρα ἀνάγκη γένηται καὶ ἐν τῷ ἰσοπέδῳ, καὶ ἐκ τοῦ ἐμφανοῦς, καὶ ὡπλισμένους ἀμφοτέρους μάχην συνάπτειν, ἐν τῷ τοιούτῳ δή, ὦ παῖ, αἱ ἐκ πολλοῦ
109 παρεσκευασμέναι πλεονεξίαι μέγα δύνανται. Ταύτας δὲ ἐγὼ λέγω εἶναι, ὅταν τῶν στρατιωτῶν εὖ μὲν τὰ σώματα ἠσκημένα ᾖ, εὖ δὲ αἱ ψυχαὶ τεθηγμέναι, εὖ δὲ αἱ πολεμικαὶ τέχναι
110 μεμελετημέναι ὦσιν. §. 42. Εὖ δὲ χρὴ καὶ τοῦτο εἰδέναι, ὅτι,

---

νικᾶσθαι τῶν πολεμίων Τὸ γὰρ Πρόσω πάνυ ἐλάττω τῆς πλεονεξίας, περιφραστικόν· ἀντὶ Πάνυ πολὺ πλεονεκτῆσαι.

103. Καὶ τὸ κεκινημένον) Ταῦτα δὲ τοῖς περὶ τὰ τοιαῦτα ἀσχολουμένοις ἔτι καὶ νῦν δῆλα. Ἄνθρωποι γὰρ κλάδοις δένδρων περιτυλισσόμενοι, ἐξεικάζονται δένδροις, ὥστε ῥᾳδίως ἐξαπατῶσι τὰς ὄρνιθας· καὶ μηχανήματα ἄλλα κινούμενα ἐξεικάζουσι τοῖς ἀκινήτοις.

— Ὄρνιθες δὲ ἐπ.) ἱέρακας γὰρ διδάσκουσιν ἱπταμένους ἁλίσκειν αὐτοῖς τὰς ὄρνιθας, καὶ ἄλλας ὄρνιθας ἐν οἰκιδίῳ ἔχοντες ἀδούσας πρὸς ἑαυτὰς τὰς ὁμοφύλους ἔλκειν, ὥστε πάγῃ, ἢ ἰξῷ ἢ τοῖς τοιούτοις συλληφθῆναι.

— Φθάνειν ἔλκ.) Ἐν βρόχοις γὰρ ἢ τοῖς τοιούτοις συλληφθεῖσαι αἱ ὄρνιθες ἕλκονται διὰ σχοινίου ὅτι τάχιστα, πρὶν τὰς λοιπὰς καταγνῶναι καὶ φυγεῖν.

§ 40. 104. Κατὰ πόδας αἱρεῖν.) Πρὸς τὸ καταλαμβάνειν δηλ. διωκούσας ἔνθα ἂν ἐφέρετο τρέχων ὁ λαγώς.

105. Ἵνα . . . ἐνέδυ.) Τοπικὸν τὸ Ἵνα.

§. 41. 107. Εἴ τινα λίποις ἂν τῶν πολ.) Φασί δέ τινες ὅτι χρεῖττον ἦν, εἴτι λίποις ἂν τῶν πολεμικῶν, ὡς εὐνοητοτέρου τοῦ λόγου γιγνομένου οὕτω· δηλοῖ γὰρ ὅτι Οὐδὲν παραλήψεις τῶν πολεμικῶν. Τὸ δὲ, Μὴ παραλιπεῖν τινὰ τῶν πολεμίων, ἀξύνετον δοκεῖ.

109. Ταύτας δὲ) Τὰς πλεονεξίας· οἷον· αἱ δὲ πλεονεξίαι, ἃς ἐγὼ λέγω, εἰσὶν αὗται· ὅταν καὶ τλ.

ὁπόσους ἂν ἀξιοῖς σοι πείθεσθαι, καὶ ἐκεῖνοι πάντες ἀξιώσουσί σε πρὸ ἑαυτῶν βουλεύεσθαι. Μηδέ ποτε οὖν ἀφροντίστως ἔχε, ἀλλὰ τῆς μὲν νυκτὸς προσκόπει, τί σοὶ ποιήσουσιν οἱ ἀρχόμενοι, ἐπειδὰν ἡμέρα γένηται· τῆς δὲ ἡμέρας, ὅπως τὰ εἰς νύκτα κάλλιστα ἕξει. §. 43. Ὅπως δὲ χρὴ τάσσειν 111
εἰς μάχην στρατιάν, ἢ ὅπως ἄγειν ἡμέρας ἢ νυκτός, ἢ στενὰς ἢ πλατείας ὁδούς, ἢ ὀρεινὰς ἢ πεδινάς, ἢ ὅπως στρατοπεδεύεσθαι, ἢ ὅπως φυλακὰς νυκτερινὰς ἢ καὶ ἡμερινὰς καθιστάναι, ἢ ὅπως πρὸς πολεμίους προσάγειν, ἢ ἀπάγειν ἀπὸ πολεμίων, ἢ ὅπως παρὰ πόλιν πολεμίαν ἄγειν, ἢ ὅπως πρὸς τεῖχος ἄγειν ἢ ἀπάγειν, ἢ ὅπως νάπας ἢ ποταμοὺς διαβαίνειν, ἢ ὅπως ἱππικὸν φυλάττεσθαι, ἢ ὅπως ἀκοντιστὰς ἢ τοξότας· καὶ εἴ γε δή σοι κατὰ κέρας ἄγοντι οἱ πολέμιοι ἐπιφανεῖεν, πῶς χρὴ ἀντικαθιστάναι· καὶ εἴ σοι ἐπὶ φάλαγγος ἄγοντι ἄλλοθέν ποθεν οἱ πολέμιοι φανεῖεν, ἢ κατὰ πρόσωπον, ὅπως χρὴ ἀντιπαράγειν· ἢ ὅπως τὰ τῶν πολεμίων ἄν τις μάλιστα αἰσθάνοιτο, ἢ ὅπως τὰ σὰ ἥκιστα οἱ πολέμιοι εἰδεῖεν, ταῦτα δὲ πάντα τί ἂν ἐγώ λέγοιμί σοι; Ὅσα τε γὰρ ἔγωγε ἤδειν, 112
πολλάκις ἀκήκοας· ἄλλος τε εἴ τις ἐδόκει τι τούτων ἐπίστασθαι, οὐδενὸς αὐτῶν ἠμέληκας, οὐδ' ἀδαὴς γεγένησαι. Δεῖ οὖν 113
πρὸς τὰ συμβαίνοντα, οἶμαι, τούτοις χρῆσθαι, ὁποίοις ἄν σοι ἀεὶ συμφέρειν τούτων δοκῇ. §. 44. Μάθε δέ μου, ὦ παῖ, καὶ τάδε, 114
ἔφη, τὰ μέγιστα· παρὰ γὰρ ἱερὰ καὶ οἰωνοὺς μήτ' ἐν σαυτῷ μηδέποτε μήτ' ἐν τῇ στρατιᾷ κινδυνεύσῃς· κατανοῶν, ὡς ἄνθρωποι μὲν αἱροῦνται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδέν, ἀπὸ ποίας ἔσται αὐτοῖς τὰ ἀγαθά. Γνοίης δ' ἂν ἐξ αὐτῶν 115
τῶν γιγνομένων. §. 45. Πολλοὶ μὲν γὰρ ἤδη πόλεις ἔπεισαν, καὶ ταῦτα οἱ δοκοῦντες σοφώτατοι εἶναι, πόλεμον ἄρασθαι πρὸς τούτους, ὑφ' ὧν οἱ πεισθέντες ἐπιθέσθαι ἀπώλοντο. Πολλοὶ δὲ πολ- 116
λοὺς πύξησαν ἤδη καὶ ἰδιώτας καὶ πόλεις, ὑφ' ὧν αὐξηθέντων τὰ μέγιστα κακὰ ἔπαθον. Πολλοὶ δὲ, οἷς ἐξῆν φίλοις χρῆ- 117
σθαι, καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν, τούτοις δούλοις μᾶλλον

---

§. 43. Κατὰ κέρας ἄγ.) Κατὰ κέρας ἄγειν λέγεται, οὕτω τὸ στράτευμα ἄγειν, ὥστε ἐπιθέσθαι τῷ κέρατι τῶν πολεμίων. Ἐπὶ φάλαγγος δὲ ἄγειν, τάξει ἀνεπτυγμένῃ ἄγειν τὸ στράτευμα.

— Ἀλλοθέν ποθεν) Ἀπ' ἄλλου τινὸς μέρους· ἢ ὅθεν ἐνόμιζες αὐτοὺς φανῆναι.

— Ταῦτα δὲ πάντ.) Ὁ Δὲ ἀντὶ τοῦ Δὴ συμπερασματικὸς δηλ.

113. Ὁποίοις ἂν) Ἀπὸ κοινοῦ τὸ Χρῆσθαι· ἵν' ᾖ· ὁποίοις ἂν τούτων τὸ χρῆσθαι δοκεῖ σοι συμφέρειν.

§. 44. Μάθε δέ μου) Τὸ Μοῦ κατ' ἔλλειψιν δοκεῖ τῆς Παρά· ἔστι δὲ κατὰ μίμησιν τοῦ Ἀκούω. οἷον· Ἄκουσον δέ μου καὶ τα δε.

117. Καὶ εὖ ποιεῖν καὶ εὖ πάσχ.) Κατ' ἔλλειψιν ταῦτα ἀντὶ, καὶ οὓς εὖ ποιεῖν, καὶ ὑφ' ὧν εὖ πάσχειν ἐξῆν.

βουληθέντες ἢ φίλοις χρῆσθαι, ὑπ᾽ αὐτῶν τούτων δίκην ἔδο-
118σαν. Πολλοῖς δ᾽ οὐκ ἤρκεσεν αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡ-
δέως, ἐπιθυμήσαντες δὲ πάντων κύριοι εἶναι, διὰ ταῦτα καὶ
ὧν εἶχον ἀπέτυχον· πολλοὶ δὲ τὸν πολύευκτον χρυσὸν κτησά-
119μενοι, διὰ τοῦτον ἀπώλοντο. §. 46. Οὕτως ἡ [γε] ἀνθρωπίνη
σοφία οὐδὲν μᾶλλον οἶδε τὸ ἄριστον αἱρεῖσθαι, ἢ εἰ κληρούμενος,
120ὅ,τι λάχοι, τοῦτό τις πράττοι. Θεοὶ δέ, ὦ παῖ, αἰεὶ ὄντες πάν-
τα ἴσασι, τά τε γεγενημένα, καὶ τὰ ὄντα, καὶ ὅ,τι ἐξ ἑκά-
στου αὐτῶν ἀποβήσεται· καὶ τῶν συμβουλευομένων ἀνθρώπων,
οἷς ἂν ἵλεῳ ὦσι, προσημαίνουσιν, ἅ τε χρὴ ποιεῖν, καὶ ἃ οὐ
121χρή. Εἰ δὲ μὴ πᾶσιν ἐθέλουσι συμβουλεύειν, οὐδὲν θαυμα-
στόν· οὐ γὰρ ἀνάγκη αὐτοῖς ἐστιν, ὧν ἂν μὴ θέλωσιν,
ἐπιμελεῖσθαι.

ς΄. Κύρου ἐξέλασις, θυσία, καὶ ἀγῶνες, Η΄. γ΄.

Νῦν δὲ ἤδη διηγησόμεθα, ὡς τὸ πρῶτον ἐξήλασε Κῦρος ἐκ
τῶν βασιλείων· καὶ γὰρ αὐτῆς τῆς ἐξελάσεως ἡ σεμνότης ἡ-
μῖν δοκεῖ μία τῶν τεχνῶν εἶναι τῶν μεμηχανημένων, τὴν ἀρ-
2 χὴν μὴ εὐκαταφρόνητον εἶναι. Πρῶτον μὲν οὖν πρὸ τῆς ἐξε-
λάσεως εἰσκαλέσας πρὸς αὑτὸν τοὺς τὰς ἀρχὰς ἔχοντας Περ-
σῶν τε καὶ τῶν ἄλλων, διέδωκεν αὐτοῖς τὰς Μηδικὰς στολάς.
(καὶ τότε πρῶτον Πέρσαι Μηδικὴν στολὴν ἐνέδυσαν) διαδούς τε,
ἅμα τάδε ἔλεγεν αὐτοῖς, ὅτι ἐλάσαι βούλοιτο εἰς τὰ τεμένη τὰ
3 τοῖς θεοῖς ἐξηρημένα, καὶ θύσαι μετ᾽ ἐκείνων. §. 2. Πάρεστε οὖν,
ἔφη, αὔριον ἐπὶ τὰς θύρας, κοσμηθέντες ταῖς στολαῖς ταύταις,
πρὶν ἥλιον ἀνατέλλειν, καὶ καθίστασθε, ὡς ἂν ὑμῖν Φεραύλας
ὁ Πέρσης ἐξαγγείλῃ παρ᾽ ἐμοῦ· καὶ ἐπειδάν, ἔφη, ἐγὼ ἡγῶμαι,
4 ἕπεσθε ἐν τῇ ῥηθείσῃ χώρᾳ. Ἦν δ᾽ ἄρα τινὶ δοκῇ ὑμῶν ἄλλῃ
κάλλιον εἶναι, ἢ ὡς ἂν νῦν ἐλαύνωμεν, ἐπειδὰν πάλιν ἔλθωμεν,
διδασκέτω με· ὅπῃ γὰρ ἂν κάλλιστον καὶ ἄριστον ὑμῖν δοκῇ
5 εἶναι, ταύτῃ ἅπαντα δεῖ καταστήσασθαι. §. 3. Ἅμα δὲ τοῖς
κρατίστοις διέδωκε τὰς καλλίστας στολάς, ἐξέφερε δὴ καὶ ἄλλας
Μηδικὰς στολάς· (παμπόλλας γὰρ παρεσκευάσατο, οὐδὲν φει-
δόμενος, οὔτε πορφυρίδων, οὔτε ὀρφνίνων, οὔτε φοινικίδων, οὔτε

---

121. Οὐ γὰρ ἀνάγκη) Οὐ τοῦτο δέ ἐστιν ὃ λέγει Ξενοφῶν, ὅτι χωρὶς αἰτίας οἱ θεοὶ ἄλλων μὲν τῶν ἀνθρώπων κήδονται· ἄλλων δ᾽ οὐκ· ἀλλ᾽ ἐν ἀρχῇ τοῦ κεφαλαίου εἴρηται ὅτι δεῖ ποιεῖν, ἵν᾽ οἱ θεοὶ ἵλεῳ ὄντες, συμβουλεύειν ἐθέλωσι.

ς΄. §. 2. Ἔφη) Ἐπειδὴ εἰς ἄλλην ἔν-

νοιαν μετέβη, ἐχρήσατο πάλιν τὸ Ἔφη· ὡς εἰ ἔλεγε, πρὸς δὲ τούτοις.

4. Διδασκέτω) Ἐκεῖνος δηλ. ᾧ τινι ἄλλως ἔδοξε κάλλιον.

— Ὅπῃ . . . ταύτῃ) Ἀντὶ Ὅπως . . . οὕτως.

§. 3. Ὀρφνίν.) Πλάτ. ἐν Τίμαιν. Ὀρφνινον χρῶμα λέγει γίγνεσθαι, ὅταν λευ-

καρυκίνων ἱματίων) νείμας δὲ τούτων τὸ μέρος ἑκάστῳ τῶν ἡγεμόνων, ἐκέλευσεν αὐτοὺς τούτοις κοσμεῖν τοὺς αὑτῶν φίλους, ὥσπερ, ἔφη, ἐγὼ ὑμᾶς κοσμῶ. §. 4. Καί τις τῶν παρόντων ἐπήρετο αὐτὸν, Σὺ δέ, ὦ Κῦρε, ἔφη, ὁπότε κοσμήσῃ; Ὁ δ' ἀπεκρίνατο, Οὐ γάρ νῦν, ἔφη, δοκῶ ὑμῖν αὐτὸς κοσμεῖσθαι, ὑμᾶς κοσμῶν; Ἀμέλει, ἔφη, ἣν δύνωμαι ὑμᾶς τοὺς φίλους εὖ ποιεῖν, ὁποίαν ἂν ἔχων στολὴν τυγχάνω, ἐν ταύτῃ καλὸς φανοῦμαι. §. 5. Οὕτω δὴ οἱ μὲν ἀπελθόντες, μεταπεμπόμενοι τοὺς φίλους, ἐκόσμουν ταῖς στολαῖς. 6

Ὁ δὲ Κῦρος, νομίζων, Φεραύλαν τὸν ἐκ τῶν δημοτῶν καὶ συνετὸν εἶναι, καὶ φιλόκαλον καὶ εὔτακτον, καὶ τοῦ χαρίζεσθαι αὐτῷ οὐκ ἀμελεῖν, ὅς ποτε καὶ περὶ τοῦ τιμᾶσθαι ἕκαστον κατὰ τὴν ἀξίαν συνεῖπε· τοῦτον δὴ καλέσας συνεβουλεύετο αὐτῷ πῶς ἂν τοῖς μὲν εὖνοις κάλλιστα ἰδεῖν ποιεῖτο τὴν ἐξέλασιν, τοῖς δὲ δυσμενέσι φοβερώτατα. §. 6. Ἐπεὶ δὲ σκοπούντοιν αὐτοῖν τὰ αὐτὰ ἔδοξεν, ἐκέλευσε τὸν Φεραύλαν ἐπιμεληθῆναι, ὅπως ἂν οὕτω γένηται αὔριον ἡ ἐξέλασις, ὥσπερ ἔδοξε καλῶς ἔχειν. 7

Εἴρηκα δέ, ἔφη, ἐγώ, πάντας πείθεσθαί σοι περὶ τῆς ἐν τῇ ἐξελάσει τάξεως· ὅπως δ' ἂν ἥδιον παραγγέλλοντός σου ἀκούωσι, φέρε λαβών, ἔφη, χιτῶνας μὲν τουτουσὶ τοῖς τῶν δορυφόρων ἡγεμόσι· κάσας δὲ τούς δε τοὺς ἐφιππείους τοῖς τῶν ἱππέων ἡγεμόσι δός, καὶ τῶν ἁρμάτων τοῖς ἡγεμόσιν ἄλλους τούς δε χιτῶνας. §. 7. Ὁ μὲν δὴ ἔφερε λαβών· οἱ δὲ ἡγεμόνες, ἐπεὶ ἴδοιεν αὐτόν, ἔλεγον, Μέγας δὲ σύ γε, ὦ Φεραύλα, ὁπότε γε καὶ ἡμῖν τάξεις, ἃ ἂν δέοι ποιεῖν. 8

Οὐ μὰ Δί', ἔφη ὁ Φεραύλας, οὐ μόνον γε, ὡς ἔοικεν, ἀλλὰ καὶ συσκευοφορήσω· νῦν γοῦν φέρω τώδε δύω κάσα, τὸν μὲν σοί, τὸν δὲ ἄλλῳ· σὺ μέντοι τούτων λάβε, ὁπότερον βούλει. §. 8. Ἐκ τούτου δὴ 9 10 11 12

κῷ καὶ ἐρυθρῷ καὶ μέλανι μεμιγμένοις καυθεῖσί τε μᾶλλον συγκραθῇ μέλαν· Πολυδεύκης δὲ ἐν Ζ'. φησί· τὰ δὲ μέλανα ἱμάτια ὀρφνινὰ ἐκάλουν.

§. 4. Ἀμέλει, ἔφη.) Τὸ Ἀμέλει βεβαιωτικὸν, τὸ δὲ ἔφη, ἀντὶ τοῦ προστίθει· τοῦτ' ἔστι πάντως καλὸς φανοῦμαι ἐγὼ ἐν ὁποιᾳοῦν στολῇ καὶ ἂν εἴην, ἣν δύνωμαι ὑμᾶς τοὺς φ.

— Οἱ μὲν) Οἷς Κῦρος ἔδωκε Μηδικὰς στολὰς κοσμῆσαι τοὺς αὑτῶν φίλους.

7. Ὅς ποτε . . . συνεῖπ.) Κύρου γάρ ποτε προβάλλοντος εἰς τὸν πλεῖστα καὶ πονεῖν καὶ κινδυνεύειν ἐθέλοντα πλείστης καὶ τιμῆς τυχεῖν δέοι, ἢ πάντας ὁμοίως ἐνταῦθα Φεραύλας συνειπὼν Κύρῳ κατὰ τὴν ἀξίαν ἕκαστον τιμᾶσθαι ἠξίωσεν· ὃ δὴ καὶ πᾶσιν ἔδοξε, καὶ Κῦρον εἶναι τὸν κρίνοντα. Ξενοφ. Κύρ. Παιδ. Β'. γ'. 1. . . 6.

— Συνεβουλεύετο αὐτῷ) Ἐβουλεύετο δηλ. μετ' αὐτοῦ.

§. 6. Καλῶς ἔχ.) Γενέσθαι δηλ.

9. Ἔφη) ὁ Κῦρος πρὸς Φερ.

— Φέρε . . . δός) Τὸ φέρε παρακελευσματικὸν ὂν πρὸς τὸ Δὸς φέρεται· οἷον· λαβὼν δὲ φέρε δὸς τοῖς ἡγεμόσι, τῶν μὲν δορυφόρων χιτῶνας τουτουσί· τῶν δὲ ἱππέων, τούς δε τοὺς ἐφιππείους κάσας. (Περσικὴ δὲ ἡ λέξις· Χασσᾶς δὲ παρὰ τοῖς Τύρκοις λέγεται.) Τῶν δὲ ἁρμάτων ἄλλους τούς δε χιτῶνας· τριῶν δὲ φράτεων κοινὸν ὂν ἐν τῇ μέσῃ ἔταξε τὸ Δὸς, ἵν' ἔχῃ καὶ τοῖς λοιποῖς εὐχερῶς ἀπὸ κοινοῦ λαμβάνεσθαι.

§. 7. Τάξεις, ἃ ἂν δέοι ποιεῖν) Τὸ ποιεῖν καὶ πρὸς τὸ τάξεις φέρεται καὶ πρὸς τὸ δέοι· καὶ ἔστι τάξις ποιεῖν ἐκεῖνα, ἃ ἂν δέοι ἡμῖν ποιεῖν.

ὁ μὲν λαμβάνων τὸν κάσαν τοῦ μὲν φθόνου ἐπελέλιπτο, εὐθὺς δὲ συνεβουλεύετο αὐτῷ, ὁπότερον λαμβάνοι. Ὁ δὲ συμβουλεύσας ἂν, ὁπότερος βελτίων εἴη, καὶ εἰπών, Ἤν μου κατηγορήσῃς, ὅτι αἱρεσίν σοι δέδωκα, εἰσαῦθις ὅταν διακονῶ, ἑτέρῳ χρήσῃ μοι διά-
13κόνῳ. Ὁ μὲν δὴ Φεραύλας οὕτω διαδιδούς, ᾗ ἐτάχθη, εὐθὺς ἐπεμελεῖτο τῶν εἰς τὴν ἐξέλασιν, ὅπως ὡς κάλλιστα ἕκαστα ἕξει.
14§. 9. Ἡνίκα δὲ ἡ ὑστεραία ἦκε, καθαρὰ μὲν ἦν πάντα πρὸ ἡμέρας, στοῖχοι δὲ εἱστήκεσαν ἔνθεν καὶ ἔνθεν τῆς ὁδοῦ, ὥσπερ καὶ νῦν ἔτι ἵστανται, ᾗ ἂν βασιλεὺς μέλλῃ ἐλαύνειν· ὧν ἐντὸς οὐδενί ἐστιν εἰσιέναι τῶν μὴ τετιμημένων· μαστιγοφόροι δὲ καθέστασαν, οἱ
15ἔπαιον, εἴ τις ἐνοχλοίη. Ἕστασαν δὲ πρῶτον μὲν τῶν δορυφόρων εἰς τετρακισχιλίους, ἔμπροσθεν τῶν πυλῶν, εἰς τέτταρας· δισχίλιοι δὲ ἑκατέρωθεν τῶν πυλῶν. §. 10. Καὶ οἱ ἱππεῖς δὲ πάντες παρῆσαν καταβεβηκότες ἀπὸ τῶν ἵππων, καὶ διειρκότες τὰς χεῖρας διὰ τῶν κανδύων, ὥσπερ καὶ νῦν ἔτι διείρουσιν, ὅταν ὁρᾷ βασι-
16λεύς. Ἕστασαν δὲ Πέρσαι μὲν ἐκ δεξιᾶς, οἱ δὲ ἄλλοι σύμμαχοι ἐξ ἀριστερᾶς τῆς ὁδοῦ, καὶ τὰ ἅρματα ὡσαύτως τὰ ἡμίσεα ἑ-
17κατέρωθεν. §. 11. Ἐπεὶ δὲ ἀνεπετάννυντο αἱ τοῦ βασιλείου πύλαι, πρῶτον μὲν ἤγοντο τῷ Διὶ ταῦροι πάγκαλοι εἰς τέσσαρας, καὶ οἷς τῶν ἄλλων θεῶν οἱ μάγοι ἐξηγοῦντο· πολὺ γὰρ οἴονται Πέρσαι χρῆναι τοῖς περὶ τοὺς θεοὺς μᾶλλον τεχνίταις χρῆσθαι, ἢ περὶ
18τἆλλα. §. 12. Μετὰ δὲ τοὺς βοῦς ἵπποι ἤγοντο, θῦμα τῷ Ἡλίῳ· μετὰ δὲ τούτους ἐξήγετο ἅρμα λευκόν, χρυσόζυγον, ἐστεμμένον, Διὸς ἱερόν· μετὰ δὲ τόδε, Ἡλίου ἅρμα λευκόν, καὶ τοῦτο ἐστεμμένον, ὥσπερ τὸ πρόσθεν· μετὰ δὲ τοῦτο ἄλλο τρίτον ἅρμα ἐξήγετο, φοινικίσι καταπεπταμένοι οἱ ἵπποι, καὶ πῦρ ὄπισθεν αὐτοῦ ἐπ
19ἐσχάρας μεγάλης ἄνδρες εἵποντο φέροντες. §. 13. Ἐπὶ δὲ τούτοις, ἤδη αὐτὸς ἐκ τῶν πυλῶν προὐφαίνετο ὁ Κῦρος ἐφ' ἅρματος, ὀρθὴν ἔχων τὴν τιάραν, καὶ χιτῶνα πορφυροῦν μεσόλευκον, (ἄλλῳ δ' οὐκ ἔξεστι μεσόλευκον ἔχειν) καὶ περὶ τοῖς σκέλεσιν ἀναξυρίδας ὑσ-

---

12. Συμβουλεύσας ἦν) Ἀντὶ συνεβούλευτε· τὸ δὲ ἦν συνυπακούεται καὶ ἐν τῷ καὶ εἰπών. Συνεβούλευσε γὰρ ὁπότερος τῶν δυοῖν εἴη βελτίων, καὶ εἶπε. Τὸ δὲ Εἴη εὐκτικὸν καὶ διὰ τὸ ἀμφίβολον καὶ διότι ἀπὸ παρωχημένου.

— Ἑτέρῳ χρήσῃ μοι διακ.) Τὸ ἀκρ' ἡμῖν· Δουλεύω σοι κάλλιον.

13. Ἢ ἐτάχθ.) Ὡς ἐτάχθη.

14. Εἰς τέταρ.) Ἀνὰ τέτταρας.

15. Διειρκότ.) Περὶ τούτου Ξενοφ. Ἑλλην. Β. ά. 8. φησί. »Κῦρος ἀπέκτεινεν »Αὐτοβοισάκην καὶ Μιτραῖον, υἱεῖς ὄντας »τῆς Δαρειαίου ἀδελφῆς, τῆς τοῦ Ἀρτα»ξέρξου, τοῦ Δαρείου πατρός· ὅτι αὐτῷ »ἀπατῶντες οὐ διέωσαν διὰ τῆς κόρης »τὰς χεῖρας, ὃ ποιοῦσι βασιλεῖ μόνῳ· »Ἡ δὲ κόρη ἐστὶ μακρότερον ἢ χειρός, »ἐν ᾗ τὴν χεῖρα ἔχων οὐδὲν ἂν δύνηται »ποιῆσαι«.

§ 11. Καὶ οἷς . . .ἐξηγ.) Καὶ ἤγοντο καὶ τῶν ἄλλων θεῶν ἐκείνοις, οἷς οἱ μάγοι ἐνόμιζον δεῖν ἀγαγέσθαι.

— Τεχνίταις) Ἐπιστήμονας δηλ. οἱ γὰρ μάγοι τῶν περὶ τοὺς θεοὺς ἦσαν τεχνῖται· οἱ δὲ Πέρσαι ἡγοῦντο δεῖν χρῆσθαι τεχνίταις πολὺ μᾶλλον περὶ τοὺς θεοὺς ἢ περὶ τὰ ἄλλα πάντα πράγματα.

γινοξαφεῖς, καὶ κάνδυν ὁλοπόρφυρον. Εἶχε δὲ καὶ διάδημα περὶ 20
τῇ τιάρᾳ· καὶ οἱ συγγενεῖς δὲ αὐτοῦ τὸ αὐτὸ τοῦτο σημεῖον εἶχον,
καὶ νῦν τὸ αὐτὸ τοῦτο ἔχουσι· τὰς δὲ χεῖρας ἔξω τῶν χειριδῶν
εἶχε. §. 14. Παρωχεῖτο δὲ αὐτῷ ἡνίοχος, μέγας μέν, μείων δ' ἐκείνου,
εἴτε καὶ τῷ ὄντι, εἴτε καὶ ὁπωσοῦν· μείζων δὲ ἐφάνη πολὺ Κῦρος.
Ἰδόντες δὲ πάντες προσεκύνησαν, εἴτε καὶ ἄρξαι τινὲς κελευ- 21
σμένοι, εἴτε καὶ ἐκπλαγέντες τῇ παρασκευῇ, καὶ τῷ δόξαι μέγαν
τε καὶ καλὸν φανῆναι τὸν Κῦρον· πρόσθεν δὲ Περσῶν οὐδεὶς
Κῦρον προσεκύνει. §. 15. Ἐπεὶ δὲ προΐει τὸ τοῦ Κύρου ἅρμα, προη- 22
γοῦντο μὲν οἱ τετρακισχίλιοι, δορυφόροι, παρείποντο δὲ οἱ δισ-
χίλιοι ἑκατέρωθεν τοῦ ἅρματος· ἐφείποντο δὲ οἱ περὶ αὐτὸν σκη-
πτοῦχοι ἐφ' ἵππων, κεκοσμημένοι, σὺν τοῖς παλτοῖς, ἀμφὶ τοὺς
τριακοσίους. §. 16. Οἱ δ' αὐτῷ Κύρῳ τρεφόμενοι ἵπποι παρήγοντο 23
χρυσοχάλινοι, ῥαβδωτοῖς ἱματίοις καταπεπταμένοι, ἀμφὶ τοὺς
διακοσίους· ἐπὶ δὲ τούτοις δισχίλιοι ξυστοφόροι· ἐπὶ δὲ τούτοις,
ἱππεῖς οἱ πρῶτοι γενόμενοι, μύριοι, εἰς ἑκατὸν παντοχῇ τεταγμένοι,
ἦγειτο δὲ αὐτῶν Χρυσάντας. §. 17. Ἐπὶ δὲ τούτοις μύριοι ἄλλοι 24
Περσῶν ἱππεῖς τεταγμένοι ὡσαύτως, ἦγειτο δὲ αὐτῶν Ὑστάσπας·
ἐπὶ δὲ τούτοις ἄλλοι μύριοι ὡσαύτως τεταγμένοι, ἦγειτο δ' αὐτῶν
Δατάμας· ἐπὶ δὲ τούτοις ἄλλοι, ἦγειτο δ' αὐτῶν Γαδάτας· §. 18. Ἐπὶ
δὲ τούτοις Μῆδοι ἱππεῖς, ἐπὶ δὲ τούτοις Ἀρμένιοι, μετὰ δὲ τού- 25
τους Ὑρκάνιοι, μετὰ δὲ τούτους Καδούσιοι, ἐπὶ δὲ τούτοις
Σάκαι. Μετὰ δὲ τοὺς ἱππέας ἅρματα ἐπὶ τεττάρων τεταγμένα·
ἦγειτο δὲ αὐτῶν Ἀρταβάτης Πέρσης.

§. 19. Πορευομένου δὲ αὐτοῦ, παρείποντο πάμπολλοι ἄνθρωποι 26
ἔξω τῶν σημείων, δεόμενοι Κύρου ἄλλος ἄλλης πράξεως. Πέμψας 27
οὖν πρὸς αὐτοὺς τῶν σκηπτούχων τινάς, οἳ παρείποντο αὐτῷ
τρεῖς ἑκατέρωθεν τοῦ ἅρματος αὐτοῦ τούτου ἕνεκα, τοῦ διαγγέλ-
λειν, ἐκέλευσεν εἰπεῖν αὐτοῖς, εἴ τίς τι αὐτοῦ δέοιτο, διδάσκειν τῶν
ὑπάρχων τινά, ὅ,τι τὶς βούλοιτο, ἐκείνους δὲ ἔφη πρὸς αὐτὸν
ἐρεῖν. Οἱ μὲν δὴ ἀπιόντες εὐθὺς κατὰ τοὺς ἱππέας ἐπορεύοντο, καὶ 28
ἐβουλεύοντο, τίνι ἕκαστος προσίοι. §. 20. Ὁ δὲ Κῦρος, οὓς ἐβούλετο

---

§. 16. Τῷ Κύρῳ τρεφόμ.) Οἱ δ' ἵπποι, οἳ ἐτρέφοντο, ἵν' ὁ Κῦρος ἐπιβαίνῃ αὐτῶν.

— Ῥαβδωτοῖς ἱματ.) Ἱματίοις, ὧν τὰ ποικίλματα οἷά περ ῥάβδοι ἦσαν.

— Εἰς ἑκατὸν) Ἀνὰ ἑκατόν.

§. 17. Ὡσαύτως) Εἰς ἑκατὸν δηλ.

25. Ἐπὶ τετάρ.) Ἀνὰ τέταρτα δηλ.

27. Ἔξω τῶν σημείων) Σημεῖα γὰρ ὡρίσθησαν, ἅπερ οὐκ εἴων τὸ πλῆθος παρελθεῖν ἔξω δὲ τούτων τὸ πλῆθος εἵπετο·

§. 19. Αὐτοῦ τούτου ἕν.) Διὰ αὐτὸ καὶ μόνον τὸ ἔργον τὸ διαγγέλλειν δηλ.

— Εἴ τις τι δέοιτ.) Ὃ ἂν δηλαδὴ ἕκαστος ἐπιθυμοίη γενέσθαι αὐτῷ, τοῦτο, λέγειν εἰς ὁντινα βούλεται τῶν ὑπάρχων, κἀκεῖνοι ἐροῦσι πρὸς αὐτὸν Κῦρον.

— Ὅτι τις βούλ.) Τὸ τὶς τὸ ἕκαστος δηλοῖ.

28. Οἱ μὲν δὴ) Σκηπτοῦχοι δηλ.

— Οὓς . . . τῶν φιλ.) Ἡ γενικὴ διαιρετικὴ πρὸς τὸ οὓς.

μάλιστα θεραπεύεσθαι τῶν φίλων ὑπὸ τῶν ἀνθρώπων, τούτους, πέμπων τινά, πρὸς αὑτὸν ἐκάλει καθ' ἕκαστον, καὶ ἔλεγεν αὐτοῖς
29 οὕτως· Ἴν τις ὑμᾶς διδάσκῃ τι τούτων τῶν παρεπομένων, ὃς μὲν ἂν μηδὲν δοκῇ ὑμῖν λέγειν, μὴ προσέχετε αὐτῷ τὸν νοῦν· ὃς δ' ἂν δικαίων δεῖσθαι δοκῇ, εἰσαγγέλλετε πρὸς ἐμέ, ἵνα κοι-
30 νῇ βουλευόμενοι διαπράττοιμεν αὐτοῖς. §. 21. Οἱ μὲν δὴ ἄλλοι, ἐπεὶ καλέσειεν, ἀνὰ κράτος ἐλαύνοντες ὑπήκουον, συναύξοντες τὴν ἀρχὴν τῷ Κύρῳ, καὶ ἐνδεικνύμενοι, ὅτι σφόδρα πείθοιντο.
31 Δαϊφάρνης δέ τις ἦν, σολοικότερος ἄνθρωπος τῷ τόπῳ, ὃς ὤετο, εἰ μὴ ταχὺ ὑπακούοι, ἐλευθερώτατος ἂν φαίνεσθαι. §. 22. Αἰσθόμενος οὖν ὁ Κῦρος τοῦτο, πρὶν προσελθεῖν αὐτὸν καὶ διαλεχθῆναι αὐτῷ, ὑποπέμψας τινὰ τῶν σκηπτούχων, εἰπεῖν ἐκέλευσε πρὸς αὐτόν, ὅτι οὐδὲν ἔτι δέοιτο· καὶ τὸ λοιπὸν οὐκ ἐκάλει.
32 §. 23. Ὁ δὲ ὕστερος κληθεὶς αὐτοῦ πρότερος αὐτῷ προσήλασε, καὶ ὁ Κῦρος ἵππον αὐτῷ ἔδωκε τῶν παρεπομένων, καὶ ἐκέλευσε τῶν σκηπτούχων τινὰ συναπαγαγεῖν αὐτῷ, ὅπου κελεύσειε. Τοῖς δὲ ἰδοῦσιν ἔντιμόν τι τοῦτο ἔδοξεν εἶναι, καὶ πολὺ πλείονες ἐκ τούτου
33 αὐτὸν ἐθεράπευον ἀνθρώπων. §. 24. Ἐπεὶ δὲ ἀφίκοντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διΐ, καὶ ὡλοκαύτωσαν τοὺς ταύρους· ἔπειτα τῷ Ἡλίῳ καὶ ὡλοκαύτωσαν τοὺς ἵππους. Ἔπειτα Γῇ σφάξαντες, ὡς ἐξηγήσαντο οἱ μάγοι, ἐποίησαν· ἔπειτα δὲ, ἥρωσι τοῖς Συρίαν
34 ἔχουσι. §. 25. Μετὰ δὲ ταῦτα, καλοῦ ὄντος τοῦ χωρίου, ἔδειξε τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου, καὶ εἶπε, κατὰ φῦλα ἀνὰ κρά-
35 τος ἐνταῦθα ἀφεῖναι τοὺς ἵππους. Σὺν μὲν οὖν τοῖς Πέρσαις αὐτὸς ἤλασε, καὶ ἐνίκα· πολὺ μάλιστα γὰρ ἐμεμελήκει αὐτῷ ἱππικῆς· Μήδων δὲ Ἀρτάβαζος ἐνίκα· (Κῦρος γὰρ αὐτῷ τὸν ἵππον ἐδεδώκει) Σύρων δέ, ὁ προστατῶν· Ἀρμενίων δέ, Τιγράνης· Ὑρκανίων δὲ, ὁ υἱὸς ἱππάρχου· Σακκῶν δέ, ἰδιώτης ἀνὴρ

---

29. Ἴν τις. . .τούτων τῶν παρ.) Ἡ γενικὴ διαιρετικὴ πρὸς τὸ Τις· οἷον· Ἐάν τις τῶν παρεπομένων τούτων δεόμενός τινος λέγω πρὸς ὑμᾶς· τῷ μηδὲν δοκοῦντι δεῖσθαι, προσέχοντες τὸν νοῦν εἰσαγγείλ. κτλ.

§. 21. 31. Σολοικότ.) Σόλοι πόλις, ἣ ᾤκισε Κροῖσος ἐν Κιλικίᾳ, ἐν ᾗ καί τινας τῶν Ἀθηναίων κατῴκισεν· οἳ χρόνῳ βαρβαρωθέντες ἐλέγοντο σολοικίζειν· ἀφ' οὗ καὶ σολοικισμὸς τὸ περὶ λόγον ἁμάρτημα. Βαρῖνος· καὶ σόλοικος μεταφορικῶς ὁ ἁμαρτάνων· ἐνταῦθα δὲ δηλοῖ ἄνθρωπος οὐκ ὀρθὸς τὸν τρόπον, κακοήθης.

—Ὃς ὤετο) Τὸ ὃς κεῖται ἀντὶ τοῦ γάρ· ἔστι γὰρ ἐν τῇ τοιαύτῃ ἐκφράσει ἀδιάφορον τὸ ὃς ἢ τὸ γὰρ χρῆσθαι.

§. 23. Ὡς δὲ ὁ ὕστερ.) Ἐπειδὴ δὲ ὁ ὕστερος Δαιφάρνου κληθείς, πρότερος ὑπήκουσεν αὐτῷ· ὁ Κῦρος, ἵνα τὴν πρὸς αὐτὸν δείξῃ εὔνοιαν, καὶ τοὺς ἄλλους εἰς μίμησιν αὐτοῦ ἐν τῷ ἑτοίμως ὑπακούειν παροτρύνῃ, αὐτός τε προσήλασε, καὶ ἵππ. καὶ τλ.

—Συναπαγαγ.) Τὸν ἵππον δηλ.

— Πλείονες . . ἀνθρώπ.) Ἡ γενικὴ διαιρετικῶς πρὸς τὸ Πλείονες.

§. 24. Ἐποίησ.) Πῶς δὲ ἐξηγήσαντο οἱ μάγοι; καὶ τί ἐποίησαν; οὐ λέγει· ὅθεν οὐδὲ διδόναι ἔχομεν.

§. 25. 35. Ἀπέλιπεν ἄρα) Ὁ ἄρα ἐνταῦθα τὸ ὡς ἔοικε δηλ.

ἀπέλιπεν ἅρα τῷ ἵππῳ τοὺς ἄλλους ἵππους ἐγγὺς τῷ ἡμίσει τοῦ δρόμου. §. 26. Ἔνθα δὴ λέγεται ὁ Κῦρος ἐρέσθαι τὸν νεανίσκον, εἰ 36
δέξαιτ' ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου. Τὸν δ' ἀποκρίνασθαι, ὅτι βασιλείαν μὲν οὐκ ἂν δεξαίμην, χάριν δὲ ἀνδρὶ ἀγαθῷ καταβέσθαι δεξαίμην ἄν. §. 27. Καὶ ὁ Κῦρος, εἶπε, Καὶ μὴν ἐγὼ δείξαί σοι θέλω, 37
ἔνθα, κἂν μύων βάλῃς, οὐκ ἂν ἁμάρτοις ἀνδρὸς ἀγαθοῦ. Πάντως τοίνυν, ὁ Σάκας ἔφη, δεῖξόν μοι· ὡς βαλῶ γε ταύτῃ τῇ βώλῳ, ἔφη ἀνελόμενος. §. 28. Καὶ ὁ μὲν Κῦρος δείκνυσιν αὐτῷ, ὅπου 38
ἦσαν πλεῖστοι τῶν φίλων· ὁ δὲ καταμύων ἵησι τῇ βώλῳ, καὶ παρελαύνοντος Φεραύλα τυγχάνει· ἔτυχε γὰρ ὁ Φεραύλας παραγέλλων τι τακτὸς παρὰ τοῦ Κύρου· βληθεὶς δὲ οὐδὲ μετεστράφη, ἀλλ' ᾤχετο, ἐφ' ὅπερ ἐτάχθη. §. 29. Ἀναβλέψας δὲ ὁ Σάκας, ἐρω- 39
τᾷ, τίνος ἔτυχεν. Οὐ μὰ τὸν Δί', ἔφη, οὐδενὸς τῶν παρόντων. Ἀλλ' οὐ μέντοι, ἔφη ὁ νεανίσκος, τῶν γε ἁπάντων. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, σύ γε ἐκείνου τοῦ παρὰ τὰ ἅρματα ταχὺ ἐλαύνοντος τὸν ἵππον. Καὶ πῶς, ἔφη, οὐ μεταστρέφεται; §. 30. Καὶ ὁ Κῦρος ἔφη, 40
Μαινόμενος γάρ τίς ἐστιν, ὡς ἔοικεν. Ἀκούσας δὲ ὁ νεανίσκος, ᾤχετο σκεψόμενος, τίς εἴη· καὶ εὑρίσκει τὸν Φεραύλαν γῆς τε κατάπλεων τὸ γένειον καὶ αἵματος· ἐρρύη γὰρ αὐτῷ ἐκ τῆς ῥινὸς βληθέντι. §. 31. Ἐπεὶ δὲ προσῆλθεν, ἤρετο αὐτόν, εἰ βληθείη. Ὁ δὲ 41
ἀπεκρίνατο, Ὡς ὁρᾷς. Δίδωμι τοίνυν σοι, ἔφη, τουτονὶ τὸν ἵππον. Ὁ δ' ἐπήρετο, Ἀντὶ τοῦ; Ἐκ τούτου δὴ διηγεῖτο ὁ Σάκας τὸ πρᾶγμα, καὶ τέλος εἶπε· Καὶ οἶμαί γε οὐχ ἡμαρτηκέναι ἀνδρὸς ἀγαθοῦ. §. 32. Καὶ ὁ Φεραύλας εἶπεν, Ἀλλὰ πλουσιωτέρῳ μὲν ἄν, εἰ 42
ἐσωφρόνεις, ἢ ἐμοί, ἐδίδους· νῦν δὲ κἀγὼ δέξομαι. Ἐπεύχομαι δέ, ἔφη, τοῖς θεοῖς, οἵπερ με ἐποίησαν βληθῆναι ὑπὸ σοῦ, δοῦναί μοι ποιῆσαι, μὴ μεταμέλειν σοι τῆς ἐμῆς δωρεᾶς. Καὶ νῦν μέν,

---

— Ἐγγὺς τῷ ἡμίσει) Τὸ ἐγγὺς τὸ πλησίον σημαίνον, γενικῇ συντάττεται· οἷον· ἐγγὺς τῆς πόλεως, ἐγγὺς ἡμῶν ἦλθε· ὁτικὴ δὲ συντασσόμενον, ἐλλειπτικῶς τῆς ἐν λέγεται· οἷον· ἐγγὺς ἐν τῷ ἡμίσει τοῦ δρόμου· ὡς εἰ ἔλεγεν ἀπέλειπε τοὺς ἄλλους ἵππους τῷ ἰδίῳ ἵππῳ σχεδὸν κατὰ τὸ ἥμισυ τοῦ δρόμου.

§ 26. 36. Λέγεται ὁ Κ.) Ἡ ὀνοματτικὴ διὰ τὴν ταυτοπροσωπίαν.

— Χάριν . . . καταβέσθ.) Ἀντὶ ἀποδοῦναι χάριν ἀνδρὶ ἀγαθῷ.

— Τῇ βώλῳ, ἔφη) Τὸ ἔφη περιττόν.

38. Οὐ μὰ τὸν Δί', ἔφη) Ὁ Κῦρος δηλ.

— Ἀλλ' οὐ μέντ.) Ἐπειδὴ δὲ τῶν παρόντων οὐδενὸς ἔτυχον, πάντως, ἔφη ὁ νεανίσκος, οὐδὲ τῶν ἀπόντων οὐδενὸς ἔτυχον.

— Ναὶ μὰ Δί') Ὁ δὲ Κῦρος εἶπε πρὸς αὐτόν. Τῇ ἀληθείᾳ τῶν ἀπόντων ἔτυχες σὺ ἐκείνου τοῦ παρ. καὶ τλ.

§. 30. 39. Ἐρρύη γὰρ αὐτῷ) Ἡ ὁτικὴ αὕτη καὶ παθητικῶς ἔστι λαμβάνειν πρὸς τὸ ἐρρύη, καὶ κτητικῶς κατὰ ἀντίπτωσιν πρὸς τὸ ῥινός· ὃ δὴ καὶ μᾶλλον· ἐσχημάτισται δὲ κατὰ ὁτικήν, ἵνα καί τι πάθος δηλωθῇ.

§ 31. 40. Ὡς ὁρᾷς) Ἐννοεῖται ἐβλήθην.

— Ἀντὶ τοῦ.) Τὸ τοῦ ἀντὶ ἐρωτηματικοῦ κεῖται· οἷον· ἀντὶ τίνος; ἤτοι τίνος ἕνεκα;

§. 32. 41. Ἔφη) Ἀντὶ προστίθει.

— Ποιῆσαι, μὴ μεταμ.) Ἵνα δηλ. ἀξιώτωσί με οἱ θεοὶ· ὅπως ποιήτω σε μὴ μεταμεληθῆναι διὰ τὴν δωρεὰν ταύτην τὴν δοθεῖσαν ἐμοὶ παρά σου. Τὸ γὰρ τῆς ἐμῆς δωρεᾶς δηλοῖ τῇ ἐμοὶ δοθείσης πα-

ἔφη, ἀπέλα, ἀναβὰς ἐπὶ τὸν ἐμὸν ἵππον· αὖθις δὲ ἐγὼ πρέσο-
43 μαι πρὸς σέ. Οἱ μὲν δὴ οὕτω διηλλάξαντο. §. 33. Καδουσίων δὲ ἐνίκα Ῥαθονίκης. Ἀφίει δὲ καὶ τὰ ἅρματα καθ' ἕκαστον· τοῖς δὲ νικῶσι πᾶσιν ἐδίδου βοῦς τε, ὅπως ἂν θύσαντες ἐστιῶντο, καὶ
44 ἐκπώματα. Τὸν μὲν οὖν βοῦν ἔλαβε καὶ αὐτὸς τὸ νικητήριον· τῶν δὲ ἐκπωμάτων τὸ αὐτοῦ μέρος Φερκύλᾳ ἔδωκεν, ὅτι καλῶς ἔδοξεν αὐτῷ τὴν ἐκ τοῦ βασιλείου ἔλασιν διαταγεῦσαι. §. 34. Οὕτω δὴ ἡ τότε ὑπὸ Κύρου καταστα θεῖσα ἔλασις· οὕτως ἔτι καὶ νῦν διαμένει ἡ
45 βασιλέως ἔλασις, πλὴν τὰ ἱερὰ ἄπεστιν, ὅταν μὴ θύῃ. Ὡς δὲ ταῦτα τέλος εἶχεν, ἀφικνοῦνται πάλιν ἐς τὴν πόλιν, καὶ ἐσκήνωσαν, οἷς μὲν ἐδόθησαν οἰκίαι, κατ' οἰκίας· οἷς δὲ μή, ἐν τάξει.

ζ'. Συμπόσιον Κύρου. Η'. δ'.

§. 1. Θύσας δὲ καὶ ὁ Κῦρος, καὶ νικητήρια ἑστιῶν, ἐκάλεσε τῶν φίλων, οἳ μάλιστα αὐτὸν αὔξειν τε βουλόμενοι φανεροὶ ἦσαν καὶ
2 τιμῶντες εὐνοϊκώτατα. Συνεκάλεσε δὲ αὐτοῖς καὶ Ἀρτάβαζον τὸν Μῆδον, καὶ Τιγράνην τὸν Ἀρμένιον, καὶ τὸν Ὑρκάνιον ἵππαρχον,
3 καὶ Γωβρύαν. §. 2. Γαδάτας δὲ τῶν σκηπτούχων ἦρχεν αὐτῷ, καὶ ὅπη ἐκεῖνος διεκόσμησεν, ἡ πᾶσα ἔνδον δίαιτα καθεστήκει· καὶ ὁπότε μὲν συνδειπνοῖέν τινες, οὐδ' ἐκάθιζε Γαδάτας, ἀλλ' ἐπεμελεῖτο· ὁπότε δὲ αὐτοὶ εἶεν, καὶ συνεδείπνει· ἥδετο γὰρ αὐτῷ ξυνών· ἀντὶ δὲ τούτων πολλοῖς καὶ μεγάλοις ἐτιμᾶτο ὑπὸ τοῦ Κύρου·
4 διὰ δὲ Κῦρον καὶ ὑπ' ἄλλων. §. 3. Ὡς δ' ἦλθον οἱ κληθέντες ἐπὶ τὸ δεῖπνον, οὐχ ὅπου ἔτυχεν ἕκαστον ἐκάθιζεν, ἀλλ' ὃν μὲν μάλιστα ἐτίμα, παρὰ τὴν ἀριστερὰν χεῖρα, ὡς εὐεπιβουλευτοτέρας ταύτης οὔσης, ἢ τῆς δεξιᾶς· τὸν δὲ δεύτερον παρὰ τὴν δεξιάν, τὸν δὲ τρίτον πάλιν παρὰ τὴν ἀριστεράν, τὸν δὲ τέταρτον παρὰ τὴν
5 δεξιάν· καὶ ἣν πλέονες ὦσιν, ὡσαύτως. §. 4. Σχφηνίζεσθαι δέ, ὡς ἕκαστον ἐτίμα, τοῦτο ἐδόκει αὐτῷ ἀγαθὸν εἶναι· ὅτι, ὅπου μὲν οἴ-

---

ρᾳ σοῦ· οὕτω γὰρ καὶ Κύρ. Παιδ. Ι. ά, 16· φησὶ Ξενοφ. Ὅτι εὐνοίᾳ καὶ φιλίᾳ τῇ ἐμῇ τὸ δέον συλλαμβάνοιεν· ἀντὶ τῆ εἰς ἐμέ· καὶ Πλάτ. δὲ ἐν Γοργίᾳ· Καί μοι μηδὲν ἀχθεσθῇς, εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ· ἀντὶ ἣν ἔχω πρὸς σέ.

42. Ἔφη) Πάλιν τὸ ἔφη περιττόν.

§. 33. 44. Καὶ αὐτὸς) Ὁ Κῦρος.

45. Οὕτω δή) Ἐννοεῖται εἶχεν· οἷον· οὕτως οὖν ἡ τότε ὑπὸ Κύρου κατασταθεῖσα ἔλασις εἶχεν, ὥσπερ ἔτι καὶ νῦν διαμένει ἡ βασιλέως ἔλασις.

— Μὴ θύῃ) Ὁ βασιλεύς.

ζ'. Καὶ νικητήρ.) Τούτῳ δὲ ὅμοιον καὶ τὸ τοῦ Πλουτάρχ. ἐν Φωκίων. Νικήσαντος δέ, καὶ πολλῶν αἰτουμένων ἑστιᾶσι κτλ.

3. Ἦρχεν αὐτῷ) Ἡ δοτικὴ κτητικὴ μὲν κατ' ἀντίπτωσιν· σημαίνει δὲ καί τινα χάριν ἢ περιποίησιν· καὶ ὅλως οὐδέποτε ἡ τοιαύτη δοτικὴ ἄνευ τοῦ τοιοῦτό τι σημαίνειν κεῖται.

— Αὐτοὶ εἶεν) Μόνοι δηλ. δίχα ἑτέρων

— Αὐτῷ ξυν.) Τῷ Κύρῳ δηλ.

— Πολλοῖς καὶ μ.) Ἐν πολλοῖς καὶ μεγ.

§. 3. 4. Ἐκάθιζεν) Ὁ Κῦρος.

ονται οἱ ἄνθρωποι τὸν κρατιστεύοντα μήτε κηρυχθήσεσθαι, μήτε ἆθλα λήψεσθαι, δῆλοί εἰσιν ἐνταῦθα οὐ φιλονείκως πρὸς ἀλλήλους ἔχοντες· ὅπου δὲ μάλιστα πλεονεκτῶν ὁ κράτιστος φαίνεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγωνιζόμενοι πάντες. §. 5. Καὶ ὁ 6
Κῦρος δὲ οὕτως ἐσαφήνιζε μὲν τοὺς κρατιστεύοντας παρ' ἑαυτῷ, εὐθὺς ἀρξάμενος ἐξ ἕδρας καὶ παραστάσεως. Οὐ μέντοι ἀθάνατον τὴν ταχθεῖσαν ἕδραν κατεστήσατο, ἀλλὰ νόμιμον ἐποιήσατο, καὶ ἀγαθοῖς ἔργοις προβῆναι εἰς τὴν τιμιωτάτην ἕδραν, καί, εἴ τις ῥαδιουργοίη, ἀναχωρῆσαι εἰς τὴν ἀτιμοτέραν. Τὸν 7
δὲ πρωτεύοντα ἐν ἕδρᾳ ἡσχύνετο μὴ οὐ πλεῖστα καὶ ἀγαθὰ ἔχοντα παρ' αὐτοῦ φαίνεσθαι. Καὶ ταῦτα δὲ, ἐπὶ Κύρου γενόμενα, οὕτως ἔτι καὶ νῦν διαμένοντα αἰσθανόμεθα.

§. 6. Ἐπεὶ δὲ ἐδείπνουν, ἐδόκει τῷ Γωβρύᾳ τὸ μὲν πολλὰ ἕκαστα 8
εἶναι οὐδέν τι θαυμαστὸν παρ' ἀνδρὶ πολλῶν ἄρχοντι· τὸ δὲ τὸν Κῦρον, οὕτω μεγάλα πράττοντα, εἴ τι ἡδὺ δόξειε λαβεῖν, μηδὲν τούτων μόνον καταδαπανᾶν, ἀλλὰ ἔργον ἔχειν δεόμενον τούτου κοινωνεῖν τοὺς παρόντας. Πολλάκις δὲ καὶ τῶν ἀπόντων φίλων 9
ἐστὶν οἷς ἑώρακε πέμποντα ταῦτα αὐτόν, οἷς ἥσθεὶς τύχοι. §. 7. Ὥστε ἐπεὶ ἐδεδειπνήκεσαν, καὶ τὰ πάντα πολλὰ ὄντα διαπεπόμφει ὁ Κῦρος ἀπὸ τῆς τραπέζης, εἶπεν ἄρα ὁ Γωβρύας, Ἀλλ' ἐγώ, ὦ Κῦρε, πρόσθεν μὲν ἡγούμην, τούτῳ σε πλεῖστον διαφέρειν ἀνθρώπων, τῷ στρατηγικώτατον εἶναι· νῦν δὲ θεοὺς ὄμνυμι, ἢ μὴν ἐμοὶ δοκεῖν πλέον σε διαφέρειν φιλανθρωπίᾳ, ἢ στρατηγίᾳ. §. 8. Νὴ 10
Δί', ἔφη ὁ Κῦρος· καὶ μὲν δὴ καὶ ἐπιδείκνυμαι τὰ ἔργα πολὺ ἥδιον φιλανθρωπίας ἢ στρατηγίας. Πῶς δή; ἔφη ὁ Γωβρύας. Ὅτι, ἔφη, τὰ μέν, κακῶς ποιοῦντα ἀνθρώπους, δεῖ ἐπιδείκνυσθαι, τὰ δέ, εὖ.

§. 9. Ἐκ τούτου δή, ἐπεὶ ὑπέπινον, ἤρετο ὁ Ὑστάσπας τὸν Κῦρον, 11

---

§. 4. 5. Μήτε κηρυχθ.) Ἐν γὰρ τοῖς ἀγῶσιν, εἴτις ἐνίκα, ἐκήρυττεν ὁ κῆρυξ καὶ τῆς νίκης ὁ νικήσας ἐλάμβανε τὸ ἆθλον· ὃι' ὃ καὶ ἐφιλονείκουν οἱ ἀγωνιζόμενοι· εἰ γὰρ μή τι τοιοῦτο ἦν, οὐδεὶς ἂν ἤθελεν ἀγωνίζεσθαι.

§. 5. 6. Ἀγαθοῖς ἔργ.) Ἐλλείπει ἡ ἐπὶ ὁ δὲ νοῦς· νόμιμον ἐποιήσατο, ἵν', ὅστις μέν τι πράττοι ἀγαθὸν ἔργον, προβαίνῃ εἰς τὴν τιμιωτέραν ἕδραν· εἴτις δὲ ῥαδιουργοίη, ἀναχωρῇ· εἰς τὴν ἀτιμοτέραν.

§. 6. 8. Πολλὰ ἕκαστ.) Οὐκ ἐδόκει δηλ. ξένον τὸ ἕκαστα, ὧν εἶχεν ὁ Κῦρος ἐν τῷ δείπνῳ, εἶναι πολλά· ἦρχε γὰρ πολλῶν· ξένον δὲ ἐδόκει αὐτῷ τὸ μὴ μόνον ταῦτα καταδαπανᾶν, ἀλλὰ νομίζειν ἔργον ἀναγκαῖον τὸ κοινωνεῖν τούτου τοὺς παρόντας, εἴτι ἡδὺ δόξειεν ἔχειν.

— Ἀλλ' ἔργον ἔχ.) Τὸ παρ' ἡμῖν· ἀλλὰ μέγα τι καὶ ἀναγκαιότατον νομίζειν πρᾶγμα τὸ τοὺς παρόντας κοινωνεῖν τινος πράγματος, εἴ τι ἔχοι ἡδύ.

§. 7. Ἔστιν οἷς) Ἀντὶ ἐνίοις.

— Τούτῳ σε) Ἐν τούτῳ ὅηλ. τῷ στρατηγικώτατον εἶναι.

— Ἐμοὶ δοκεῖν) Ἀντὶ ἐμοὶ δοκεῖ· ἀττικῶς γὰρ ἐφέλκει τόν.

10. Πολὺ ἡδ.) Πολὺ ἥδιον ἐστιν ἐπιδεικνῦναι τὰ ἔργα τῆς φιλανθρωπίας ἢ ἐπιδεικνῦναι τὰ ἔργα τῆς στρατηγίας.

— Τὰ μὲν) Ἔργα τῆς στρατηγίας· ἐν τῷ φονεύειν καὶ κακοποιεῖν τοὺς ἀνθρώπους δεῖ ἐπιδείκνυσθαι· τὰ δὲ ἔργα τῆς φιλανθρωπίας ἐν τῷ εὐεργετεῖν καὶ ἀγαθοποιεῖν.

Ἆρ' ἄν, ἔφη, ὦ Κῦρε, ἀχθεσθείης μοι, εἴ σε ἐροίμην, ὃ βούλομαί σου πυθέσθαι; Ἀλλὰ ναὶ μὰ τοὺς θεούς, ἔφη, τοὐναντίον τούτου, ἀχθοίμην ἄν σοι, εἰ αἰσθοίμην σιωπῶντα, ἃ ἂν βούλοιο ἐρέσθαι. 12 Λέγε δή μοι, ἔφη, ἤδη πώποτε καλέσαντός σου οὐκ ἦλθον; Εὐφήμει, ἔφη ὁ Κῦρος. Ἀλλ' ὑπακούων σχολὴ ὑπήκουσα; Οὐδὲ τοῦτο. Προσταχθὲν δέ τι ἤδη σοι οὐκ ἔπραξα; Οὐκ αἰτιῶμαι, ἔφη. Ὃ δὲ πράττοιμι, ἔστιν ὅ,τι πώποτε οὐ προθύμως, ἢ οὐχ ἡδομένως πράττοντά με κατέγνως; Τοῦτο δή πάντων ἥκιστα, ἔφη 13 ὁ Κῦρος. §. 10. Τίνος μὴν ἕνεκα, ἔφη, πρὸς τῶν θεῶν, ὦ Κῦρε, Χρύσαντας σε ἔτρεψεν, ὥστε εἰς τὴν τιμιωτέραν ἐμοῦ ἕδραν ἱδρυθῆναι; Ἢ λέγω; ἔφη ὁ Κῦρος. Πάντως, ἔφη, ὁ Ὑστάσπας. Καὶ σὺ αὖ οὐκ ἀχθεσθήσῃ μοι, ἀκούων τἀληθῆ; §. 11. Ἡσθήσομαι μέν οὖν, ἔφη, 14 ἢν εἰδῶ ὅτι οὐκ ἀδικοῦμαι. Χρυσάντας τοίνυν, ἔφη, οὑτοσὶ πρῶτον μὲν οὐ κλῆσιν ἀνέμεινεν, ἀλλά, πρὶν καλεῖσθαι, παρῆν τῶν ἡμετέρων ἕνεκα· ἔπειτα δέ, οὐ τὸ κελευόμενον μόνον, ἀλλὰ καί, ὅ,τι αὐτὸς γνοίη ἄμεινον εἶναι πεπραγμένον ἡμῖν, τοῦτο ἔπραττεν. 15 Ὁπότε δ' εἰπεῖν τι δέοι εἰς τοὺς συμμάχους, ἃ μὲν ἐμὲ ᾤετο πρέπειν λέγειν, ἐμοὶ συνεβούλευεν· ἃ δὲ ἐμὲ αἴσθοιτο βουλόμενον μὲν εἰδέναι, τοὺς συμμάχους, αὐτὸν δέ με αἰσχυνόμενον περὶ ἐμαυτοῦ λέγειν, ταῦτα οὕτω λέγων ὡς ἐμαυτοῦ γνώμην ἀπεφαίνετο· ὥστ' ἔν 16 γε τούτοις τί κωλύει αὐτὸν καὶ ἐμοῦ ἐμοὶ κρείττονα εἶναι; Καὶ ἑαυτῷ μὲν ἀεί φησι πάντα τὰ παρόντα ἀρκεῖν, ἐμοὶ δὲ ἀεὶ φανερός ἐστι σκοπῶν, τί ἂν προσγενόμενον ὀνήσειεν· ἐπί τε τοῖς ἐμοῖς καλοῖς πολὺ 17 μᾶλλον ἐμοῦ ἀγάλλεται καὶ ἥδεται. §. 12. Πρὸς ταῦτα δ' Ὑστάσπας εἶπε, Νὴ τὴν Ἥραν, ἔφη, ὦ Κῦρε, ἥδομαί γε ταῦτά σε ἐρωτήσας. Τί μάλιστα; ἔφη ὁ Κῦρος. Ὅτι κἀγὼ πειράσομαι ταῦτα ποιεῖν· ἐνμόνον, ἔφη, ἀγγοῶ, πῶς ἂν εἴην ὄφελος χαίρων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς· πότερον κροτεῖν δεῖ τῷ χεῖρε, ἢ γελᾶν, ἢ τί ποιεῖν; καὶ ὁ Ἀρταβάζος εἶπεν· Ὀρχεῖσθαι δεῖ τὸ Περσικόν. Ἐπὶ τούτοις μὲν δὴ γέλως ἐγένετο.

18 §. 13. Προϊόντος δὲ τοῦ συμποσίου, ὁ Κῦρος τὸν Γωβρύαν ἐπή-

---

§. 9. 11. Ἆρ' ἄν, ἔφ.) Τὸ ἔφη παρέλκει.
— Μὰ τοὺς θ.. ἔφη.). Ὁ Κῦρος.
— Τοὐναντίον) Ποιήσω.
12. Λέγε δὲ ἔφ.) Ὁ Ὑστάσπας.
— Εὐφήμει) Τὸ παρ' ἡμῖν· Λέγε καλῶς. Μὴ λέγῃς τοιοῦτον λόγον.
— Πάντων ἥκιστ.) Παντάπασιν οὐ κατέγνων σε τοῦτο.
§. 13. 18. Ἠλέγω) Πρέπει ἵνα εἴπω αὐτό;

§. 11. 14. Ἄμεινον εἶναι πεπρ.) Ὅτι ἐστὶν ἄμεινον, ἐὰν ἐπράττετο ἡμῖν.
15. Καὶ ἐμοῦ ἐμοὶ κρ.) Εἶναι παρ' ἐμοὶ κρείττονα καὶ ἐμαυτοῦ ἐχρήσατο δὲ προωτοτύπῳ καὶ οὐ συνθέτῳ, ὡς μὴ ἐν αὐτοπαθείᾳ, ἀλλ' ἐν συγκρίσει.
§. 12. 17. Νὴ τὴν Ἥρ.) Ὅρα γ'. 32. ἐν Σημειώσ. Μὰ τὴν Ἥραν.
— Τί μάλιστ. Διὰ τί δὴ ἥδη, ἐρωτήσας με ταῦτα.

ρετο, Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, νῦν ἂν δοκοίης ἥδιον τῶν δέ τῳ τὴν θυγατέρα δοῦναι, ἢ ὅτε τὸ πρῶτον ἡμῖν συνεγένου; Οὐκοῦν, ἔφη ὁ Γωβρύας, κἀγὼ τἀληθῆ λέγω; Νὴ Δί', ἔφη ὁ Κῦρος, ὡς ψεύδους γε οὐθεμία ἐρώτησις δεῖται. Εὖ τοίνυν, ἔφη, ἴσθι, ὅτι νῦν ἂν πολὺ 19
ἥδιον. Ἦ καὶ ἔχοις ἄν, ἔφη ὁ Κῦρος, εἰπεῖν, διότι; Ἔγωγε. Λέγε δή. §. 14. Ὅτι τότε μὲν ἑώρων τοὺς πόνους καὶ τοὺς κινδύνους εὐθύμως αὐτοὺς φέροντας, νῦν δὲ ὁρῶ αὐτοὺς τὰ ἀγαθὰ σωφρόνως φέροντας. Δοκεῖ δέ μοι, ὦ Κῦρε, χαλεπώτερον εἶναι, εὑρεῖν ἄνδρα, 20
τἀγαθὰ καλῶς φέροντα, ἢ τὰ κακά· τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. §. 15. Καὶ ὁ Κῦρος εἶπεν, 21
Ἤκουσας, ὦ Ὑστάσπα, Γωβρύου τὸ ῥῆμα; Ναὶ μὰ Δί', ἔφη· καὶ ἐὰν πολλὰ τοιαῦτά γε λέγῃ, πολὺ μᾶλλόν με τῆς θυγατρὸς μνηστῆρα λήψεται, ἢ ἐὰν ἐπτώματα πολλά μοι ἐπιδεικνύῃ. §. 16. Ἦ 22
μήν, ἔφη ὁ Γωβρύας, πολλά γε μοί ἐστι τοιαῦτα συγγεγραμμένα, ὧν ἐγώ σοι οὐ φθονήσω, ἢν τὴν θυγατέρα μου γυναῖκα λαμβάνῃς· τὰ δὲ ἐκπώματα, ἔφη, ἐπειδὴ οὐκ ἀνέχεσθαί μοι φαίνῃ, οὐκ οἶδ', εἰ Χρυσάντᾳ τούτῳ δῷ, ἐπεὶ καὶ τὴν ἕδραν σου ὑφήρπασε. §. 17. Καὶ μὲν δή, ἔφη ὁ Κῦρος, ὦ Ὑστάσπα, καὶ οἱ ἄλλοι δὲ 23
οἱ παρόντες, ἢν ἐμοὶ λέγητε, ὅταν τις ὑμῶν γαμεῖν ἐπιχειρήσῃ, γνώσεσθε, ὁποῖός τις κἀγὼ συνεργὸς ὑμῖν ἔσομαι. §. 18. Καὶ ὁ Γω- 24
βρύας εἶπεν, Ἢν δέ τις ἐκδοῦναι βούληται θυγατέρα, πρὸς τίνα δὴ λέγειν; Πρὸς ἐμέ, ἔφη ὁ Κῦρος, καὶ τοῦτο· πάνυ γάρ, ἔφη, δεινός εἰμι ταύτην τὴν τέχνην. §. 19. Ποίαν; ἔφη ὁ Χρυσάντας. Τὸ γνῶναι, 25
ὁποῖος ἂν γάμος ἑκάστῳ συναρμόσειε. Καὶ ὁ Χρυσάντας ἔφη, Λέγε δὴ πρὸς τῶν θεῶν, ποίαν τινά μοι γυναῖκα οἴει συναρμόσειν κάλλιστα. §. 20. Πρῶτον μέν, ἔφη, μικράν· μικρὸς γὰρ καὶ αὐτὸς εἰ· 26
εἰ δὲ μεγάλην γαμεῖς, ἢν ποτε βούλῃ αὐτὴν ὀρθὴν φιλῆσαι, προσάλλεσθαί σε δεήσει, ὡς τὰ κυνάρια. Τοῦτο μὲν δή, ἔφη, ὀρθῶς προνοεῖς· καὶ γὰρ οὐδ' ὁπωστιοῦν ἁλτικός εἰμι. §. 21. Ἔπειτα 27
δ', ἔφη, σιμὴ ἄν σοι ἰσχυρῶς συμφέροι. Πρὸς τί δὴ αὖ τοῦτο; Ὅτι, ἔφη, σὺ γρυπὸς εἶ· πρὸς οὖν τὴν σιμότητα σάφ' ἴσθι, ὅτι ἡ γρυπότης ἄριστα προσαρμόσει. Λέγεις σύ, ἔφη, ὡς καὶ τῷ εὖ 28
δεδειπνηκότι, ὥσπερ καὶ ἐγὼ νῦν, ἄδειπνος ἂν συναρμόζοι; Ναὶ

— Πότερον) Τὸ πότερον ἐπὶ δύο ἐνταῦθα δὲ τρία εἰσὶ τὰ διαφέροντα· ἀλλὰ τὸ τρίτον κατὰ προσθήκην.

§. 13. 18. Τῶν δὲ τῳ) Τινί δηλ. τῶν παρόντων.

— Τἀληθῆ λέγω) Ἀπορηματικῶς· ἆρά γε εἶπω κἀγὼ τὴν ἀλήθειαν.

19. Διότι) Δι' ἣν δηλ. αἰτίαν· γίνεται δὲ ἀπὸ τοῦ δι' ὅ, τι.

20. Τὰ μὲν γὰρ) Ἀγαθὰ ποιεῖ τοὺς πολλοὺς ὑπερφρονεῖν τῶν ἄλλων καὶ ὑβρίζειν· τὰ δὲ κακά, σώφρονας εἶναι.

§ 16. 22. Οὐκ... οἴ δ' εἰ... δῶτω) Τὸ πᾶν ἴσως δῶτω.

§. 18. 24. Πρὸς ἐμὲ) Ἀπὸ κοινοῦ δεῖ λέγειν καὶ τοῦτο.

§. 21. 27. Ἔπειτα, ἔφη) Ὁ Κῦρος.

μὰ Δί', ἔφη ὁ Κῦρος· τῶν μὲν γὰρ μεττῶν γρυπὴ γαστὴρ γίγνεται,
29 τῶν δὲ ἀδείπνων σιμή. §. 22. Καὶ ὁ Χρυσάντας ἔφη, Ψυχρῷ δ' ἄν,
πρὸς τῶν Θεῶν, βασιλεῖ ἔχοις ἂν εἰπεῖν, ποία τις συνοίσει; Ἐνταῦ-
30 θα μὲν δὴ ὅ,τε Κῦρος ἐξεγέλασε καὶ οἱ ἄλλοι ὁμοίως. §. 23. Γελώντων
δὲ ἅμα εἶπεν ὁ Ὑστάσπας, Πολύ γε, ἔφη, μάλιστα τούτου σε, ὦ Κῦρε
ζηλῶ ἐν τῇ βασιλείᾳ. Τίνος; ἔφη ὁ Κῦρος. Ὅτι δύνασαι καὶ ψυχρὰ ἕως
31 γέλωτα παρέχειν. Καὶ ὁ Κῦρος εἶπεν· Ἔπειτα οὐκ ἂν πριαίμην γε παμ-
πόλλου ὥστε σοι ταῦτα εἰρῆσθαι, καὶ ἀπαγγελθῆναι, παρ' ἧ εὐδοκι-
μεῖν βούλει, ὅτι ἀστεῖος εἶ; Καὶ ταῦτα μὲν δὴ οὕτω διεσκώπτετο.
32 §. 24. Μετὰ δὲ ταῦτα Τιγράνῃ μὲν ἐξήνεγκε γυναικεῖον κόσμον, καὶ
ἐκέλευσε τῇ γυναικὶ δοῦναι, ὅτι ἀνδρείως συνεστρατεύετο τῷ
ἀνδρί· Ἀρταβάζῳ δὲ χρυσοῦν ἔκπωμα· τῷ δὲ Ὑρκανίῳ ἵππον, καὶ
33 ἄλλα πολλὰ καὶ καλὰ ἐδωρήσατο. Σοὶ δέ, ἔφη, ὦ Γωβρύα, δώσω
ἄνδρα τῇ θυγατρί. §. 25. Οὐκοῦν ἐμέ, ἔφη ὁ Ὑστάσπας, δώσεις,
ἵνα καὶ τὰ συγγράμματα λάβω. Ἢ καὶ ἔστι σοι, ἔφη, ὁ Κῦρος,
οὐσία ἀξία τῶν τῆς παιδός; Νὴ Δί', ἔφη, πολλαπλασίων μὲν οὖν
34 χρημάτων. Καὶ ποῦ, ἔφη ὁ Κῦρος, ἔστι σοι αὕτη ἡ οὐσία;
Ἐνταῦθα, ἔφη, ὅπουπερ καὶ σὺ κάθησαι, φίλος ὢν ἐμοί. Ἀρκεῖ
μοι, ἔφη ὁ Γωβρύας· καὶ εὐθὺς ἐκτείνας τὴν δεξιάν, Δίδου, ἔφη,
35 ὦ Κῦρε· δέχομαι γάρ. §. 26. Καὶ ὁ Κῦρος λαβὼν τὴν τοῦ Ὑστά-
σπου δεξιάν, ἔδωκε τῷ Γωβρύᾳ· ὁ δὲ ἐδέξατο. Ἐκ δὲ τούτου πολλὰ
καὶ καλὰ ἔδωκε δῶρα τῷ Ὑστάσπᾳ, ὅπως τῇ παιδὶ πέμψειε·
36 Χρυσάνταν δὲ ἐφίλησε προσαγαγόμενος. §. 27. Καὶ ὁ Ἀρτάβαζος
εἶπε, Μὰ Δί', ἔφη, ὦ Κῦρε, οὐχ ὁμοίου γε χρυσοῦ ἐμοί τε τὸ ἔκπωμα
δέδωκας, καὶ Χρυσάντᾳ τὸ δῶρον. Ἀλλὰ καὶ σοί, ἔφη, δώσω.
Ἐπήρετο ἐκεῖνος, Πότε; Εἰς τριακοστόν, ἔφη, ἔτος. Ὡς ἀναμε-
37 νοῦντος, ἔφη, καὶ οὐκ ἀποθανουμένου, οὕτω παρασκευάζου. Καὶ
τότε μὲν δὴ οὕτως ἔληξεν ἡ σκηνή· ἐξανισταμένων δ' αὐτῶν ἐξα-
νέστη καὶ ὁ Κῦρος, καὶ ξυμπροὔπεμψεν αὐτοὺς ἐπὶ τὰς θύρας.

ή. Τὰ ἔσχατα Κύρου, καὶ δημηγορία πρὸς τοὺς ἑαυτοῦ παῖδας. ΙΗ'. ζ'.

§. 1. Οὕτω δὴ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης
ὢν ὁ Κῦρος, ἀφικνεῖται εἰς Πέρσας τὸ ἕβδομον ἐπὶ τῇ αὐ-
τοῦ ἀρχῇ. Καὶ ὁ μὲν πατὴρ καὶ μήτηρ πάλαι δή, ὥσπερ εἰκός,
ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦρος ἐλθὼν ἔθυσε τὰ νομιζόμενα ἱερά,
καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ πάτρια, καὶ τὰ δῶρα

— Πρὸς τί ἂν) Συμφέρει δηλ.

31. Ἔπειτα) Ἀπορηματικὸν τὸ ἔπειτα.

36. Ὡς ἀναμ.) Σὺ οὖν, ἔφη ὁ Ὑστάσπας, οὕτω παρασκευάζου, ὥσπερ ἂν εἰ ἐγὼ ἀναμείνοιμι, καὶ οὐκ ἀποθάνοιμι.

ή. Καὶ τοῦ Χοροῦ ἡγήσατο Παρ.) Τὸ Ἡγοῦμαι σημαίνον μὲν τὸ Νομίζω ἀπερεμφάτῳ συντάσσεται· οἷον· ἡγοῦμαί σε ἀγαθὸν εἶναι· τὸ ἄρχω δὲ, γενικῇ· οἷον· ἡγοῦμαι τοῦ λαοῦ· τὸ Προσδοποιοῦμαι δὲ δοτικῇ μὲν προσώπου, πράγματος δὲ, αἰτιατικῇ μὲν, ἐὰν δεῖξιν μόνον σημαίνῃ οἷον· ἡγοῦμαί σοι τὴν ὁδόν· τοῦτ' ἔστιν ὑποδεικνύω· ἐὰν

πᾶσι διέδωκεν, ὥσπερ εἰώθει. §. 2. Κοιμηθεὶς δ' ἐν τῷ βασι- 2
λείῳ, ὄναρ εἶδε τοιόνδε· ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις,
ἢ κατὰ ἄνθρωπον, εἰπεῖν, Συσκευάζου, ὦ Κῦρε· ἥξει γὰρ εἰς
θεοὺς ἄπει. Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη, καὶ σχεδὸν ἐδό-
κει εἰδέναι, ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. §. 3. Εὐθὺς οὖν, λαβὼν 3
ἱερεῖα, ἔθυε Διΐ τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ
τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· Ζεῦ πατρῷε 4
καὶ Ἥλιε, καὶ πάντες θεοί, δέχεσθε τάδε, καὶ τελεστήρια
πολλῶν καὶ καλῶν πράξεων, καὶ χαριστήρια, ὅτι ἐσημήνατέ μοι
καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις,
ἃ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. Πολλή δ' ὑμῖν χάρις, ὅτι κά- 5
γὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν, καὶ οὐδεπώποτε ἐπὶ
ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. Αἰτοῦμαι δ' ὑμᾶς, 6
δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι
εὐδαιμονίαν· ἐμοὶ δέ, οἷόν περ αἰῶνα δεδώκατε, τοιαύτην καὶ
τελευτὴν δοῦναι. §. 4. Ὁ μὲν δὴ ταῦτα ποιήσας, καὶ οἴκαδε ἀπελ- 7
θών, ἔδοξεν ἀναπαύσασθαι, καὶ κατεκλίθη. Ἐπεὶ δὲ ὥρα ἦν, 8
οἱ τεταγμένοι προσίοντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλε- 9
γεν, ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπὶ ὥρα ἦν,
δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο, δι-
ψῆν δ' ἐδόκει, καὶ ἔπιεν ἡδέως. §. 5. Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συ- 10
νέβαινεν αὐτῷ τὰ αὐτὰ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς

δὲ τὸ ἡγεμών, γενικῶς· οἷον οὐρανίοις δὲ, ὅτε σημεῖά τινα αἴσια ἢ ὡς ἄλλως ἔχοντα, ἐν οὐρανῷ ἐφαίνοντο· οἷον· ἀστραπαί, βρονταί, καὶ εἴτι τοιοῦτο· ὡς ἐν ἑ. 3. »ἔνθα λέγει· »ὅτι μέν, ὦ παῖ, θεοί ἵλεώ τε καὶ εὐμε- »νεῖς πέμπουσί σε, καὶ ἐν ἱεροῖς δῆλον, »καὶ ἐν οὐρανίοις σημείοις· « ἐν οἰωνοῖς δὲ, ὅτε διὰ τῶν πτηνῶν ἐμαντεύοντο τὸ μέλλον, οἷον· ὅτε ἐφαίνετο αὐτὸς, ἢ ἄλλοτι τοιοῦτο· ἐν δὲ φήμαις τέλος, ὅτε τι λέγεται παρ' ἀνθρώποις, μήπω γεγενημένον, καὶ γιγνόμενον ἔπειτα, καὶ ἀληθεῦον· Εὐστάθιος δὲ Ἰλ. Κ. σελ. 799. »φήμη, φησὶν, οὐ τὴν »ἁπλῶς ἀνθρωπίνην δηλοῖ λαλιὰν, ἀλλά τινα θειοτέραν, δηλωτικὴν τοῦ μέλ- »λοντος «

ἡγοῦμαί σοι τῆς ὁδοῦ· ἤτοι ἡγεμών σοι γίνομαι τῆς ὁδοῦ.

— Ὥσπερ εἰώθ.) Εἰώθει δὲ θύων διαδιδόναι πᾶσι δῶρα, ἀγῶνας θέμενος, ὡς ς'. καὶ ζ'. εἴρηται.

2. Προσελθὼν κρείττ.) Αἱ ὀνομαστικαὶ πρὸς τὸ ἔδοξε· τὸ δὲ Ἤ κατὰ ἄνθρωπον, τοῦ συγκριτικοῦ ἐστι, Κρειττων· τὸ γὰρ συγκριτικὸν καὶ μετὰ τοῦ Ἤ ἤτοι μόνου ὁμοιοπτώτως, ἢ σὺν τῇ Κατὰ μετὰ αἰτιατικῆς λέγεται.

3. Ἐπὶ τῶν ἄκρ.) Τῶν ὀρέων δηλ. οἱ γὰρ Πέρσαι οὔτε ἀγάλματα, οὔτε ναοὺς, καὶ βωμοὺς ἐποίουν· θύουσι δὲ Διὶ ἐπὶ τὰ ὑψηλότατα τῶν ὀρέων ἀναβαίνοτες τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλοῦντες· Θύουσι δὲ καὶ Ἡλίῳ, καὶ Σελήνῃ, καὶ Γῇ. καὶ Πυρὶ, καὶ Ὕδατι, καὶ Ἀνέμοις. Ἡρόδοτ. Α'. ρλά.

4. Καὶ ἐν ἱερ. καὶ τλ.) Ἐν ἱεροῖς μέν· ἐπειδὴ ὁπότε ἔθυον, τότε σπλάγχνα τῶν θυμάτων, καὶ τὰ ὀστᾶ παρατηροῦντες ἔλεγον ἐκ σημείων τινῶν ὅτι καλὰ, ἢ κατὰ σημαίνει τὰ ἱερά. Ἐν

5. Πολλὴ δ' ὑμῖν χ.) Ἤτοι· κατὰ πολλὰ εὐχαριστῶ ὑμῖν.

6. Οἷον περ αἰών.) Αἰῶνα ἐν ταύθα λέγει τὸν χρόνον τοῦ βίου.

9. Τῷ δὲ ἡ ψυχ.) Σύνηθες δὲ τοῦτο καὶ παρ' ἡμῖν. Ἡ ψυχή αὐτοῦ ἢ, ἡ καρδία αὐτοῦ οὐκ ἐξήτει βρῶμα.

— Ἡδέως δέ.) Ἀλλὰ μεθ' ἡδονῆς·

παῖδας· (οἱ δ' ἔτυχον συνηκολουθηκότες αὐτῷ, καὶ ὄντες ἐν Πέρ-
11σαις). Ἐκάλεσε δὲ καὶ τοὺς φίλους, καὶ τὰς Περσῶν ἀρχάς· παρόντων δὲ πάντων, ἦρχετο τοιοῦδε λόγου·
12 §. 6. αἵδε ἐμοί, καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν (ἐκ πολλῶν τοῦτο σαφῶς γιγνώσκω) ὑμᾶς δὲ χρή, ὅταν τελευτήσω, ὥσπερ εὐδαίμονος ἐμοῦ
13καὶ λέγειν καὶ ποιεῖν πάντα. Ἐγὼ γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι· ἐπί τε ἥβησα, τὰ ἐν νεανίσκοις· τέλειός τε ἀνὴρ γενόμενος τὰ ἐν ἀδράσι· σὺν τῷ
14χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν, ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ἠσθόμην τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον, καὶ οὔτ'
15ἐπιχειρήσας οὔτ' ἐπιθυμήσας οἶδα ὅτου ἠτύχησα. §. 7. Καὶ τοὺς μὲν φίλους ἐπείδον δι' ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας· καὶ τὴν πατρίδα, πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ, νῦν προτετιμημένην καταλείπω· ὧν τ' ἐκτη-
16σάμην, οὐδέν οἶδα, ὅ,τι οὐ διεσωσάμην. Καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως, ὥσπερ ἠὐχόμην· φόβος δὲ μοι συμπαροιμαρτῶν, μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκούσαιμι ἢ πάθοιμι χαλεπὸν, οὐκ εἴα τελέως μέγα φρονεῖν,
17οὐδ' εὐφραίνεσθαι ἐκπεπταμένως. §. 8. Νῦν δ' ἣν τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὓς περ ἔδοσάν μοι οἱ θεοὶ γενέσθαι· καταλείπω δὲ πατρίδα καὶ φίλους εὐδαιμονοῦντας· ὥστε πῶς οὐκ ἂν ἐγὼ δικαίως μακαριζόμενος τὸν ἀεὶ χρό-
18νον μνήμης τυγχάνοιμι; §. 9. Δεῖ δὲ καὶ τὴν βασιλείαν μὲ ἤδη σαφηνίσαντα καταλιπεῖν· ὡς ἂν μὴ ἀμφίλογος γενομένη πράγ-
19ματα ὑμῖν παράσχῃ. Ἐγὼ οὖν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ προβουλεύειν καὶ τὸ ἡγεῖσθαι, ἐφ' ὅ,τι ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ,

---

11. Καὶ Τὰς ἀρχ.) Τὸ ἀρρησημένον ἀντὶ τοῦ συγκεχριμένου εἶπεν· ἤτοι· ἀντὶ, τοὺς ἄρχοντας, εἶπε, τὰς ἀρχάς.

12. Ὥσπερ εὐδ.) Σόλων γὰρ ὁ Ἀθηναῖος δεικνύοντι Κροίσῳ τῷ Λυδῶν βασιλεῖ τοὺς θησαυροὺς, καὶ βουλομένῳ εὐδαίμονι εἶναι· ἔλεγεν ὅτι οὐδεὶς εὐδαίμων πρὸς τῆς τελευτῆς τοῦ βίου. Ηρόδ. Α'. λδ'. Ὅθεν καὶ Κῦρος πρὸς τὸ τέλος ὢν, εὐδαίμονα μετὰ θάνατον οἴεται αὐτόν.

13. Τὰ ἐν νεαν. τὰ ἐν ἀνδρ.) Ἐννοεῖται ἀπὸ κοινοῦ, Νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι.

14. Ὅτου ἠτύχ.) Οἷον· Καὶ γιγνώσκω ὅτι, ὅ,τι ἐπεθύμησα, ἢ ᾧ τινι ἐπεχείρησα, τούτου ἐπέτυχον.

15. Ὧν τ' ἐκτησ.) Γιγνώσκω ὅτι πάντα, ὅσα ἐκτησάμην, καὶ διέσωσα.

16. Ἐν τῷ ἐπιόντ.) Τῷ ἐρχομένῳ, μέλλοντι δηλ. τὸ δέ τοι Μὴ ἀπὸ ἐνεστῶτος πρὸς ὑποτακτικὸν φερόμενον, ἐνταῦθα πρὸς εὐκτικὸν, δυνητικοῦ ἡγουμένου.

— Ἐκπεπταμ.) ἀνέτως καὶ ἐκτεταμένως.

17. Ὥστε καὶ τλ.) Ἤτοι ὥστε δικαίως ἐγὼ μνημονευθήσομαι, καὶ μακαρισθήσομαι αἰωνίως.

§. 9. 18. Σαφηνίσ.) Σαφῶς δηλ. δηλώσαντα, ὅπως βασιλεύσετε, καταλιπεῖν ὑμῖν.

καὶ πλειόνων, κατὰ τὸ εἰκός, ἐμπείρῳ. §. 10. Ἐπαιδεύθην δὲ καὶ 20
αὐτὸς οὕτως ὑπὸ τῆς δε τῆς ἐμῆς τε καὶ ὑμετέρας πατρίδος,
τοῖς πρεσβυτέροις οὐ μόνον ἀδελφοῖς ἀλλὰ καὶ πολίταις καὶ ὁ-
δῶν καὶ θάκων καὶ λόγων ὑπείκειν· καὶ ὑμᾶς δὲ, ὦ παῖδες, 21
οὕτως ἐξ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτιμᾶν,
τῶν δὲ νεωτέρων προτετιμῆσθαι· ὡς οὖν παλαιὰ καὶ εἰθισμένα
καὶ ἔννομα λέγοντος ἐμοῦ, οὕτως ἀποδέχεσθαι. §. 11. Καὶ σὺ 22
μὲν, ὦ Καμβύση, τὴν βασιλείαν ἔχε, θεῶν τε διδόντων καὶ ἐμοῦ,
ὅσον ἐν ἐμοί· σοὶ δὲ, ὦ Ταναοξάρη, σατράπην εἶναι δίδωμι Μή-
δων τε καὶ Ἀρμενίων, καὶ τρίτων Καδουσίων. Ταῦτα δέ σοι 23
διδοὺς, νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας
τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δέ σοι ἀλυποτέραν.
§. 12. Ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιθεὶς ἔσῃ, οὐχ ὁ- 24
ρῶ· ἀλλὰ πάντά σοι τὰ δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρέσται.
Τὸ δὲ δυσκαταπρακτοτέρων τε ἐρᾶν, καὶ τὸ πολλὰ μεριμνᾶν, 25
καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν, κεντριζόμενον ὑπὸ τῆς πρός
τἀμὰ ἔργα φιλονεικίας, καὶ τὸ ἐπιβουλεύειν καὶ τὸ ἐπιβουλεύε-
σθαι, ταῦτα τῷ βασιλεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρ-
τεῖν· ἃ, σάφ' ἴσθι, τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέ-
χει. §. 13. Οἶσθα μὲν οὖν καὶ σὺ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ 26
χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῴζόν ἐστιν, ἀλλ' οἱ πι-
στοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον.
Πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· (πᾶσι γὰρ 27
ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τἄλλα τὰ πεφυκότα
πᾶσι τὰ αὐτὰ φαίνεται) ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκα-
στον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἐστὶν οὐθαμοῦ σὺν τῇ βίᾳ,
ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. §. 14. Εἰ οὖν καὶ ἄλλους τινὰς 28
πειράσῃ συμφύλακας τῆς βασιλείας ποιεῖσθαι, μηθαμόθεν πρότε-
ρον ἄρχου, ἢ ἀπὸ τοῦ ὁμόθεν γινομένου. Καὶ πολῖταί τοι ἄνθρω- 29

---

20. Ὑπείκειν.) Ὑπείκω σοι τῆς ὁδοῦ, καὶ παραχωρῶ σοι τοῦ θρόνου, καὶ ὅσα τὸ ἐκκλίνειν ἀπό τινος δηλ. ὁτιοῦν. Ἡ μὲν προσώπου περιποιητικῶς συντάσσεται· γενικὴ δὲ πράγματος, κατὰ τὰ ἐλαττωτικὰ ἐλλειπτικῶς τῆς Ἀπό.

21. Ὡς οὖν· καὶ τλ.) Περὶ τοῦ Ὡς ὅρα γ'. 6. ἐν τῷ Ὡς οὐ πχυτομένου μου.

22. Καὶ σὺ μὲν) Πρὸς τὸν πρεσβύτερον αὐτοῦ υἱὸν Καμβύσην στρέφει τὸν λόγον· καὶ ἑπομένως πρὸς τὸν νεώτερον Ταναοξάρην.

— Ὅσον ἐν ἐμ.) Καθ' ὅσον κεῖται ἐν τῇ ἐμῇ ἐξουσίᾳ.

23. Ἀλυποτέρ.) Οὐ γὰρ ἔξεις τὰ βασιλείας δεινὰ, καὶ φροντίδας αὐτῆς

24. Οὐχ ὁρῶ.) πρὸς μετοχὴν φέρεται εἰδικὴν κατ' ἀνάλυσιν λεγομένην διὰ τοῦ Ὅτι· οἶον· ὁρῶ σε φρόνιμον ὄντα· ἤτοι· ὅτι εἶ φρόνιμος· ὁπότε μέντοι ἐν ὑπερβιβατῷ περεντίθεται τῷ λόγῳ· τότε εἰλείπει τὸ, Ὅτι. Οὕτω δὲ φιλεῖ γίγνεσθαι καὶ ἐν τῷ Οἶδα, Οἶμαι, καὶ τοῖς τοιούτοις.

25. Σαφ' ἴσθι.) Τὰ αὐτὰ ῥητέον, ὅσα καὶ περὶ τοῦ Οὐχ ὁρῶ, εἴρηται.

27. Ἀλλὰ τοὺς πιστούς· καὶ τλ.) Ἀλλὰ δεῖ ἕκαστον ἀποταμιεύεσθαι ὑπὲρ ἑαυτοῦ τοὺς πιστούς, καὶ ποιεῖν τοὺς ἀνθρώπους πιστοὺς ἑαυτῷ εἶναι.

28. Τοῦ ὁμόθεν γιν.) Περὶ τῶν συγγενῶν λέγει.

ποι ἀλλοδαπῶν οἰκειότεροι, καὶ σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πα-
30τέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; §. 15. Μὴ οὖν, ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα τοῖς ἀδελφο-
ματαιά ποτε ποιήσηται, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ
31ὑμετέρα φιλία. Ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ, τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν, οὕτω καλὸν, ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δὴ ἄνδρα μέγα δυνάμενον οὕτως ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν ἀδελφοῦ μεγάλου ὄντος, οὕτως, ὡς τὸν ἀδελφόν;
32 §. 16. Μήτε οὖν ἧττον μηδείς σου τούτῳ ὑπακουέτω, μήτε προθυμότερον παρέστω· οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε τἀγαθὰ
33οὔτε τὰ δεινὰ ἢ σοί. Ἐννόει δὲ καὶ τάδε τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν, ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν, ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάντων κάλλιον προτιμᾶν, ἢ τὸν ἀδελφόν;
34Μόνου τοι, ὦ Καμβύση, πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ
35οὐδὲ φθόνος παρὰ τῶν ἄλλων ἀφικνεῖται. §. 17. Ἀλλὰ πρὸς θεῶν πατρῴων, ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ γάρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε οἰδέναι, ὡς οὐδὲν εἰμὶ ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν τοι τὴν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ',
36οἷς διεπράττετο, τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. §. 18. Τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς οὔπω κατενοήσατε, οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλουσιν; οἵους δὲ παλαμναίους τοῖς

---

29. Οὗτοι οἰκειοτ.) τοὺς ἀδελφοὺς ἐνταῦθα ἐννοεῖ· εἰς φιλαδελφίαν γὰρ κινεῖ τὸν Καμβύσην.

§. 15. 30. Μὴ ποιήσετε) Ἐννοεῖται τὸ, Ὁρᾶτε, ἢ προσέχετε· ἀφ' οὗ ἐξαρτᾶται τὸ Μή· πρὸς ἀμφοτέρους δὲ ἀποτείνει τὸν λόγον.

31. Ἑαυτοῦ τοι) Ὁ Τοι αἰτιολογικὸς ἀντὶ τοῦ Γάρ.

— Οὕτω καλ.) Ὁ γὰρ ἀδελφὸς μέγας ὢν, οὐδενὶ ἄλλῳ δύναται γενέσθαι οὕτω καλὸν χρῆμα, ὅσον τῷ ἀδελφῷ.

32. Μήτε οὖν ἧττ.) Πρὸς τὸν νεώτερον ἀποτείνεται.

33. Ἢ τούτῳ) Τῷ πρεσβυτέρῳ ἀδελφῷ

34. Μόνου τοι καὶ τλ.) Ὁ Νοῦς. Ὃν τινα ἄλλον ἔνδοξον ἄνδρα προτιμήσεις ἐν ταῖς βουλαῖς, ἔξεις τοὺς φθονοῦντας ἐκείνῳ· τῷ ἀδελφῷ δὲ παρ' ἀδελφῷ μέγα δυναμένῳ οὐδεὶς ἂν φθονήσειε. Καὶ διὰ τῶν αὐτῶν λέξεων. Ἐπὶ μόνου τοῦ δελφοῦ, ἐὰν ᾖ πρῶτος παρ' ἀδελφοῦ, οὐδεὶς παρὰ τῶν ἄλλων ἐφικνεῖται φθόνος.

35. Ὡς οὐδὲν ἔσομαι ἐγὼ ἔτι.) Σωκρατικὸν τὸν Κῦρον ἐποίησε Ξενοφῶν· μηδὲν βέβαιον λέγοντα περὶ τῶν μετὰ θάνατον εἶναι.

— Ἑωρᾶτε) Καὶ τοῦτο γνώμη Σωκράτους· ὡς λέγει ὁ αὐτὸς Ξενοφῶν Ἀπομν. Α'. δ'.

36. Ἐμβάλ.) Αἱ ψυχαὶ δηλονότι. Ἀνώρθωται δὲ τὸ σχῆμα διὰ τὸ Οἵους. Ὁ νοῦς· Οὐκ ἔτι κατανοεῖτε ὅτι αἱ

ἀνοσίοις ἐπιπέμπουσι; Τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν
ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν; §. 19. Οὔ- 37
τοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην, ὡς ἡ ψυχή,
ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ· ὅταν δὲ τούτου ἀπαλ-
λαγῇ, τέθνηκεν. Ὁρῶ γάρ, ὅτι καὶ τὰ θνητὰ σώματα, ὅ-
σον ἂν ἐν αὐτοῖς χρόνον ᾖ ἡ ψυχή, ζῶντα παρέχεται. §. 20. Οὐδέ 38
γε ὅπως ἄφρων ἔσται ἡ ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος δί-
χα γένηται οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ κα-
θαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶ-
ναι. Διαλυομένου δὲ ἀνθρώπου, δῆλά ἐστιν ἕκαστα ἀπιόντα 39
πρὸς τὸ ὁμόφυλον, πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη οὔτε παροῦ-
σα οὔτε ἀπιοῦσα ὁρᾶται. §. 21. Ἐννοήσατε δὲ, ἔφη, ὅτι ἐγγύτερον 40
μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀν-
θρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται, καὶ τότε τι
τῶν μελλόντων προορᾷ· τότε γάρ, ὡς ἔοικε, μάλιστα ἐλευθε-
ροῦται. §. 22. Εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα, ὥσπερ ἐγὼ οἶομαι, καὶ 41
ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδού-
μενοι ποιεῖτε, ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ
ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ 42
ὄντας, καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων τά-
ξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον καὶ ἀναμάρτητον, καὶ ὑ-
πὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι, μή-
ποι ἀσεβὲς μηδὲν, μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσηται.
Μετὰ μέντοι θεοὺς καὶ ἀνθρώπων τὸ πᾶν γένος, τὸ ἀεὶ ἐπι- 43
γιγνόμενον, αἰδεῖσθαι· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύ-
πτονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔρ-
γα. Ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν ἀδίκων φαίνηται, δυνα- 44
τοὺς ὑμιᾶς ἐν πᾶσιν ἀνθρώποις ἀναδείξει· εἰ δὲ εἰς ἀλλήλους ἄδικόν
τι φρονήσετε, ἐκ πάντων τῶν ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι
ἀποβαλεῖτε. Οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' 45
εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ προσή-

---

ψυχαὶ τῶν ἄδικα παθόντων ἐμβάλλουσι μὲν τοῖς μιαιφόνοις μεγίστους φόβους· πέμπουσι δὲ τοῖς ἀνοσίοις φοιτοὺς δαίμονας τιμωροὺς τῶν φόνων.

38. Ἐκκριθῇ) Διακριθῇ κατὰ μέρος χωρὶς τῆς κράσεως καὶ μίξεως τοῦ σώματος.

40. Τό τε δήπου) Ἐν τῷ ὕπνῳ δηλ.

— Ἐλευθεροῦται.) Ἀπὸ τοῦ σωματικοῦ δεσμοῦ· τὸ δὲ Μάλιστα ἁπλῶς λαμβάνεται πρὸς διασάφησιν τοῦ καιροῦ τοῦ διὰ τοῦ Τότε.

§ 22. 41. Ἃ ἐγὼ δέομ.) Ἐννοεῖται, Ποιεῖν ὑμᾶς.

42. Εἰ δὲ μὴ οὕτ.) Ἐννοεῖται ἔχει ταῦτα.

— Ἀλλὰ θεούς γε.) Ὁ Ἀλλὰ προσθετικός· ὥσπερ ὁ Γε μειωτικός· ἴν' ᾖ· Ἀλλὰ κἂν τοὺς θεούς· καὶ τλ.

§. 23. 43. Ἀνάγκη.) Ἐλλείπει Ἐστίν. Ἀλλ' ἀνάγκη ἐστὶ ζῆν τὰ ἡμέτερα ἔργα ἐμφανῆ ὄντα πᾶσι

45. Τὸν προσήκοντ.) Ἀδελφὸν δηλ.

46κοντα. §. 24. Εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω, οἵους χρὴ
πρὸς ἀλλήλους εἶναι· εἰ δὲ μή, καὶ παρὰ τῶν προγεγενημέ-
47νων μανθάνετε· αὕτη γὰρ ἀρίστη διδασκαλία. Οἱ μὲν γὰρ
πολλοὶ διαγεγένηνται φίλοι μὲν γονεῖς παισί, φίλοι δὲ ἀδελφοὶ
ἀδελφοῖς· ἤδη δέ τινες τούτων καὶ ἐναντία ἀλλήλους ἔπρα-
ξαν· ὁποτέροις ἂν οὖν αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόν-
48τα, ταῦτα δὴ αἱρούμενοι, ὀρθῶς ἂν βουλεύοισθε. §. 25. Καὶ τούτων
μὲν ἴσως ἤδη ἄλις. Τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τε-
λευτήσω, μήτε ἐν χρησῷ θῆτε μήτε ἐν ἀργύρῳ μηδὲ ἐν ἄλλῳ
49μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. Τί γὰρ τούτου μα-
καριώτερον, τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλά, πάντα
50δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; Ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρω-
πος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐερ-
51γετοῦντος ἀνθρώπους. §. 26. Ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλιπεῖν μοι φαί-
52νεται ἡ ψυχή, ὅθενπερ, ὡς ἔοικε, πᾶσιν ἄρχεται ἀπολείπουσα. Εἴ
τις οὖν ὑμῶν ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασθαι, ἢ ἅμα τοὐμοῦ
ζῶντος ἔτι προσιδεῖν ἐθέλει, προσίτω· ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι,
αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν σῶμα ἰδέτω
53μηδ' αὐτοὶ ὑμεῖς. §. 27. Πέρσας μέντοι πάντας καὶ τοὺς συμμά-
χους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε, συνησθησομένους ἐ-
μοί, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν
παθεῖν, μήτε ἦν μετὰ τοῦ θείου γένωμαι, μήτε ἦν μηδὲν ἔτι
ὦ· ὁπόσοι δ' ἂν ἔλθωσι, τούτους εὖ ποιήσαντες, ὁπόσα ἐπ'
54ἀνδρὶ εὐδαίμονι νομίζεται, ἀποπέμπετε. §. 28. Καὶ τοῦτο, ἔφη,
μέμνησθέ μου τελευταῖον· τοὺς φίλους εὐεργετοῦντες, καὶ τοὺς
55ἐχθροὺς δυνήσεσθε κολάζειν. Καὶ χαίρετε, ὦ φίλοι παῖδες,
καὶ τῇ μητρὶ ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ· καὶ πάντες δὲ οἱ

---

§. 24. 46. Πρὸς ἀλλήλους εἶναι.) Ἐννοεῖται τὸ, Εὖ ἂν ἔχοι. Συνήθης ἡ ἔλλειψις αὕτη.

— Εἰ δὲ μή.) Διδάσκω καὶ τλ. Τότε δὴ μανθάνετε καὶ ἀπὸ ἐκείνων, ὅτα ἐγένετο πρότερον.

47. Καὶ ἐναντία . . . ἔπραξ.) Οὐκ ἐγένοντο δηλ. φίλοι.

— Συνενεγκόντ.) Ὅτι πρὸς ὄφελος αὐτῶν ἀπέβησαν.

48. Ἅλις) Ἐννοεῖται, Ἔστιν εἰρημένον.

50. Τοῦ εὐεργετοῦντ.) τῆς γῆς δηλ. εὐεργετούσης τοὺς ἀνθρώπους.

51. Ὅθεν περί.) Ἐκεῖθεν δηλ. ὅθεν

52. Μηδ' αὐτοὶ ὑμ.) Ἴδετε τὸ ἐμὸν σῶμα.

§. 27. 53. Μήτε, ἦν μετὰ τοῦ θ. γέν.) Τῆς ψυχῆς ἀθανάτου οὔσης.

— Μήτε ἦν μηδὲν ἔτι ὦ.) Τῆς ψυχῆς θνητῆς οὔσης· τὸ δ' ὅλον Ἐπεὶ δὴ ἀγνοοῦμέν φησιν, εἴγε ἀθάνατος ἢ θνητὴ ὑπάρχει ἡ ψυχή, ἐγὼ ὅμως ἐν τῷ ἀσφαλεῖ ἔσομαι, καὶ ἀπείρατος κακῶν, ὅπως ἂν ᾖ· ἀλλ' αὕτη γε δόξα Ξενοφῶντος.

55. Καὶ χαίρετε, ὦ παῖδ.) Ἀσπασμός ἐστιν ἀπιόντων καὶ ἀποχωρούντων τὸ χαίρεται· ὡς τὸ παρ' ἡμῖν. Ἄφιεμι ὑμῖν ὑγιείαν· ἢ Εὔχομαι ὑγιείαν.

— Καὶ τῇ μητρί· καὶ τλ.) Ὡς ἐκ μέρους μου ἀπαγγείλατε τοῦτον τὸν τελευταῖον ἀσπασμόν.

παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε. Ταῦτ εἰπὼν, καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐτελεύτησεν.

θ΄. Σύγκρισις τῶν μεταγενεστέρων Περσῶν πρὸς τοὺς πάλαι. Η΄. ή.

ϛ. 1. Ὅτι μὲν δὴ καλλίστη καὶ μεγίστη τῶν ἐν τῇ Ἀσίᾳ ἡ τοῦ Κύρου βασιλεία ἐγένετο, αὐτὴ ἑαυτῇ μαρτυρεῖ. Ὡρίσθη γὰρ πρὸς ἕω μὲν, τῇ Ἐρυθρᾷ Θαλάττῃ, πρὸς ἄρκτον δὲ, τῷ Εὐξείνῳ πόντῳ, πρὸς ἑσπέραν δὲ, Κύπρῳ καὶ Αἰγύπτῳ, πρὸς μεσημβρίαν δὲ, Αἰθιοπίᾳ. Τοσαύτη δὲ γενομένη μιᾷ γνώμῃ τοῦ Κύρου ἐκυβερνᾶτο, καὶ ἐκεῖνός τε τοὺς ὑφ᾽ ἑαυτῷ, ὥσπερ ἑαυτοῦ παῖδας, ἐτίμα τε καὶ ἐθεράπευεν, οἵ τε ἀρχόμενοι Κῦρον ὡς πατέρα ἐσέβοντο. ϛ. 2. Ἐπεὶ μέντοι Κῦρος ἐτελεύτησεν, εὐθὺς μὲν αὐτοῦ οἱ παῖδες ἐστασίαζον, εὐθὺς δὲ πόλεις καὶ ἔθνη ἀφίσταντο, πάντα δ᾽ ἐπὶ τὸ χεῖρον ἐτρέπετο. Ὡς δ᾽ ἀληθῆ λέγω, ἄρξομαι διδάσκων ἐκ τῶν Θείων. Οἶδα γὰρ, ὅτι πρότερον μὲν βασιλεὺς καὶ οἱ ὑπ᾽ αὐτῷ καὶ τοῖς τὰ ἔσχατα πεποιηκόσιν, εἴτε ὅρκους ὀμόσαιεν, ἠμπέδουν, εἴτε δεξιὰς δοῖεν, ἐβεβαίουν. ϛ. 3. Εἰ δὲ μὴ τοιοῦτοι ἦσαν, καὶ τοιαύτην δόξαν εἶχον, ὥσπερ οὐδὲ νῦν πιστεύει οὐδὲ εἷς ἔτι, ἐπεὶ ἔγνωσται ἡ ἀσέβεια αὐτῶν, οὕτως οὐδὲ τότε ἐπίστευσαν ἂν οἱ τῶν σὺν Κύρῳ ἀναβάντων στρατηγοί· νῦν δὲ δὴ τῇ πρόσθεν αὐτῶν δόξῃ πιστεύσαντες, ἐνεχείρισαν ἑαυτούς, καὶ ἀναχθέντες πρὸς βασιλέα, ἀπετμήθησαν τὰς κεφαλάς. Πολλοὶ δὲ καὶ τῶν συστρατευσάντων βαρβάρων, ἄλλοι ἄλλαις πίστεσιν ἐξαπατηθέντες, ἀπώλοντο. ϛ. 4. Πολὺ δὲ καὶ τάδε χείρονες νῦν εἰσι. Πρόσθεν μὲν γὰρ εἴ τις ἢ διακινδυνεύσειε πρὸ βασιλέως, ἢ πόλιν, ἢ ἔθνος ὑποχείριον ποιήσειεν, ἢ ἄλλο τι καλὸν, ἢ ἀγαθὸν αὐτῷ διαπράξειεν, οὗτοι ἦσαν οἱ τιμώμενοι· νῦν δέ καὶ ἤν τις, ὥσπερ Μαθριδάτης τὸν πατέρα Ἀριοβαρζάνην προδοὺς, καὶ ἤν τις, ὥσπερ Ῥεσμίθρης τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς τῶν φίλων παῖδας ὁμήρους παρὰ τῷ Αἰγυπτίῳ ἐγκαταλιπών, καὶ τοὺς μεγίστους ὅρκους παραβάς, βασιλεῖ δόξῃ τι σύμφορον ποιῆ-

---

ϑ΄. 2. Τῇ ἐρυθρᾷ θαλ.) Αἰσθητικαὶ αὗται τοῦ παθητικοῦ εἰσιν Ὡρίσθη.

5. Καὶ τοῖς τὰ ἔσχατα πεποιηκ.) Ἐλλείπει Αὐτοὺς κακὰ Καὶ πρὸς τοὺς τὰ μέγιστα αὐτοὺς ποιήσαντας κακά, ὀμόσαντες μὲν ἠμπέδουν τοὺς ὅρκους. δεξιὰς δὲ δόντες, ἐβεβαίουν.

§. 3 6. Οὕτως οὐδὲ τότε καὶ τλ.) Κῦρος ὁ Δαρείου καὶ Παρυσάτιδος, ἀναβὰς κατὰ τοῦ ἀδελφοῦ Ἀρταξέρξου, ἐν τῇ μάχῃ ἀπέθανεν· ἦσαν δὲ σὺν αὐτῷ Ἑλλήνων μύριοι· ὧν στρατηγὸς ἦν Κλέαρχος. Τοῦτον καὶ τοὺς συστρατηγοῦντας Ἑλλήνων Τισσαφέρνης ὁ τῆς Ἀρταξέρξου βασιλέως γυναικὸς ἀδελφὸς, ὅρκοις βεβαιώσας εἰς Ἑλλάδα καταγαγεῖν, καὶ πολλὰ πιστὰ δοὺς, ἀπατήσας, ἀπέκτεινεν. Ξενοφ. Κύρ. Ἀναβ. Β΄, γ΄. 10 . . .

9. Πολὺ δὲ καὶ τῇ ὁ.) Καὶ κατὰ τοῦτο δηλ. τὸ ἑξῆς οἱ Πέρσαι πολὺ χείρονες νῦν εἰσίν.

—Εἴ τις.) Ἀντὶ τοῦ, Ὅσοι ἂν, Καὶ ἐπεὶ ἀορίστως λαμβάνεται πλῆθος σημαῖνον, καὶ πρὸς πληθυντικὸν ἀποδίδοται τὸ Οὗτοι.

11 σαι, οὗτοί εἰσι οἱ ταῖς μεγίσαις τιμαῖς γεραιρόμενοι. §. 5. Ταῦτα
οὖν ὁρῶντες οἱ ἐν τῇ Ἀσίᾳ πάντες ἐπὶ τὸ ἀσεβὲς καὶ τὸ ἄδικον τε-
τραμμένοι εἰσίν· ὁποῖοί τινες γὰρ ἂν οἱ προστάται ὦσι, τοιοῦτοι
12 καὶ οἱ ὑπ' αὐτοὺς ὡς ἐπὶ τὸ πολὺ γίγνονται. Ἀθεμιστότεροι δ' ἡ νῦν ἢ
πρόσθεν ταύτῃ γεγένηνται.
13 §. 6. Εἰς γεμὴν χρήματα τῆδε ἀδικώτεροι· οὐ γὰρ μόνον τοὺς
πολλὰ ἡμαρτηκότας, ἀλλὰ ἤδη τοὺς οὐδὲν ἠδικηκότας συλλαμβά-
νοντες, ἀναγκάζουσι πρὸς οὐδὲν δίκαιον χρήματα ἀποτίνειν· ὥστε
14 οὐδὲν ἧττον οἱ πολλὰ ἔχειν δοκοῦντες τῶν πολλὰ ἠδικηκότων φο-
βοῦνται· καὶ εἰς χεῖρας οὐδ' οὗτοι ἐθέλουσι τοῖς κρείττοσιν ἰέναι, οὐ-
15 δέ γε ἀθροίζεσθαι εἰς βασιλικὴν στρατείαν θαῤῥοῦσι. §. 7. Τοιγαροῦν
ὅς τις ἂν πολεμῇ αὐτοῖς, πᾶσιν ἔξεστιν ἐν τῇ χώρᾳ αὐτῶν ἀναστρέφε-
σθαι ἄνευ μάχης, ὅπως ἂν βούλωνται, διὰ τὴν ἐκείνων περὶ μὲν θεοὺς
16 ἀσέβειαν, περὶ δὲ ἀνθρώπους ἀδικίαν. Αἱ μὲν δὴ γνῶμαι ταύτῃ
τῷπαντὶ χείρους νῦν ἢ τὸ παλαιὸν αὐτῶν.
17 §. 8. Ὡς δὲ οὐδὲ τῶν σωμάτων ἐπιμέλονται, ὥσπερ πρόσθεν, νῦν
αὖ τοῦτο διηγήσομαι. Νόμιμον γὰρ δὴ ἦν αὐτοῖς, μήτε πτύειν, μήτε
ἀπομύττεσθαι. Δῆλον δέ, ὅτι ταῦτα, οὐ τοῦ ἐν τῷ σώματι ὑγροῦ
ἔτι φειδόμενοι ἐνόμισαν, ἀλλὰ βουλόμενοι διὰ πόνων καὶ ἱδρῶτος τὰ
σώματα σώζεσθαι. Νῦν δὲ τὸ μὲν μὴ πτύειν, μηδὲ ἀπομύττεσθαι,
18 διαμένει, τὸ δὲ πονεῖν οὐδαμοῦ ἐπιτηδεύεται. §. 9. Καὶ μὴν πρόσθεν
μὲν ἦν αὐτοῖς μονοσιτεῖν νόμιμον, ὅπως ὅλῃ τῇ ἡμέρᾳ χρῶντο καὶ
εἰς τὰς πράξεις καὶ εἰς τὸ διαπονεῖσθαι· νῦν γε μὴν τὸ μὲν μονο-
σιτεῖν ἔτι διαμένει, ἀρχόμενοι δὲ τοῦ σίτου, ἡνίκα περ οἱ πρωϊαί-
τατα ἀριστῶντες, μέχρι τούτου ἐσθίοντες καὶ πίνοντες διάγουσιν,
ἕς τε περ οἱ ὀψιαίτατα κοιμώμενοι.
19 §. 10. Ἦν δὲ αὐτοῖς νόμιμον μηδὲ προοψίδας εἰσφέρεσθαι εἰς τὰ
συμπόσια, δηλονότι νομίζοντες, τὸ μὴ ὑπερπίνειν ἧττον ἂν καὶ σώ-

---

§ 5. 11. Τεταμμένοι εἰσίν.) Ἤτοι ἐτράπησαν· οὐ γὰρ ποιεῖ τρίτον πληθυντικὸν ὁ παρακείμενος, ὅτε τὸ ἐνικὸν πρὸ τοῦ Ται ἔχει σύμφωνον.

12. Ταύτῃ.) Ἐπὶ ταύτῃ τῇ αἰτίᾳ, διὰ τοῦτο· ὁ δέ τοι Δυσυμπερασματικός.

§ 6. 13. Τῇ δε.) Ἀντὶ τοῦ Οὕτως ἐπιῤῥηματικῶς.

15. Τοιγαροῦν καὶ κτλ.) Ὁ νοῦς. Διὰ ταῦτα ἄρα τὰ αἴτια, ἔξεστι πᾶσιν· ὅσοι ἂν βούλωνται αὐτοῖς πολεμεῖν, ἀναστρέφεσθαι ἐν τῇ χώρᾳ αὐτῶν, ὅπως ἂν βούλωνται, χωρὶς τινὸς μάχης, διὰ τὸ μὴ ἐθέλειν δεδιότας εἰς βασιλικὴν στρατείαν ἀθροίζεσθαι· ὅτοι ἔχουσι χρήματα.

— Ταύτῃ.) Ἀντὶ τοῦ Οὕτως.

16. Τῷ παντί.) Ἐν παντὶ πράγματι, ἢ παντάπασιν.

18. Ἕς τε περ) Ἕως περί· τὸ γὰρ Ἕς τε, καὶ ἀντὶ τοῦ Ἕως λαμβάνεται· ἐννοεῖται δὲ τὸ διάγουσιν.

§ 10. 19. Ἦν δὲ αὐτοῖς νόμ.) Ὁπόταν Πέρσαι εἰς συμπόσιον εἱστιῶντο ἐκ τοῦ συμποσίου ἐξήρχοντο καὶ ἀπενίπτοντο, οὐδὲ συνεχωρεῖτο τὰ ἀγγεῖα, δι' ὧν νίπτονται, εἰσφέρεσθαι εἰς τὸ συμπόσιον καὶ τοῦτο ἵνα μὴ πίνωσι πολύ· πίνοντες γὰρ πολὺ οὐ δύνανται ἐξέρχεσθαι ὀρθούμενοι· ἀλλὰ σφαλλόμενοι, ὅπερ αἰσχύνην φέρει.

— Τὸ μὴ ὑπερπίν.) Ὁ Νοῦς, νομίζον-

ματα καὶ γνώμας σφάλλειν· νῦν δὲ τὸ μὲν μὴ εἰσφέρεσθαι ἔτι αὖ διαμένει, τοσοῦτον δὲ πίνουσιν, ὥστε ἀντὶ τοῦ εἰσφέρειν αὐτοὶ ἐκφέρονται, ἐπειδὰν μηκέτι δύνωνται ὀρθούμενοι ἐξιέναι.

§. 11. Ἀλλὰ μὴν κἀκεῖνο ἦν αὐτοῖς ἐπιχώριον, τὸ μεταξὺ πορευο- 20
μένους μήτε ἐσθίειν, μήτε πίνειν, μήτε τῶν διὰ ταῦτα ἀναγκαίων μηδὲν ποιοῦντας φανεροὺς εἶναι· νῦν δ' αὖ τὸ μὲν τούτων ἀπέχεσθαι ἔτι διαμένει, τὰς μέντοι πορείας οὕτω βραχείας ποιοῦνται, ὡς μηδὲν ἂν ἔτι θαυμάσαι τὸ ἀπέχεσθαι τῶν ἀναγκαίων.

§. 2. Ἀλλὰ μὴν καὶ ἐπὶ θήραν πρόσθεν μὲν τοσαυτάκις ἐξήεσαν, 21
ὥστε ἀρκεῖν αὐτοῖς τε καὶ ἵπποις γυμνάσια τὰς θήρας· ἐπεὶ δὲ Ἀρταξέρξης ὁ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἧττους τοῦ οἴνου ἐγένοντο, οὐκέτι ὁμοίως οὔτε αὐτοὶ ἐξήεσαν, οὔτε τοὺς ἄλλους ἐξῆγον ἐπὶ τὰς 22
θήρας, ἀλλὰ καὶ οἵτινες φιλόπονοι γένοιντο, καὶ σὺν τοῖς περὶ αὐτοὺς ἱππεῦσιν ἅμα θηρῶεν, φθονοῦντες αὐτοῖς δῆλοι ἦσαν, καὶ ὡς βελτίονας αὐτῶν ἐμίσουν.

§. 13. Ἀλλά τοι καὶ τοὺς παῖδας τὸ μὲν παιδεύεσθαι ἐπὶ ταῖς θήρ- 23
αις ἔτι διαμένει· τὸ μέντοι τὰ ἱππικὰ μανθάνειν καὶ μελετᾶν ἀπέσβηκε, διὰ τὸ μὴ ἰέναι, ὅπου ἂν ἀποφαινόμενοι εὐδοκιμοῖεν. Καί ὅτε γε οἱ παῖδες, ἀκούοντες ἐκεῖ πρόσθεν τὰς δίκας δικαίως 24
δικαζομένας, εὐδόκουν μανθάνειν δικαιότητα, καὶ τοῦτο παντάπασιν ἀνέστραπται· σαφῶς γὰρ ὁρῶσι νικῶντας, ὁπότεροι ἂν πλεῖον διδῶσιν. §. 14. Ἀλλὰ καὶ τῶν φυομένων ἐκ τῆς γῆς τὰς δυ- 25
νάμεις οἱ παῖδες πρόσθεν μὲν ἐμάνθανον, ὅπως τοῖς μὲν ὠφελίμοις χρῶντο, τῶν δὲ βλαβερῶν ἀπέχοιντο, νῦν δὲ ἐοίκασι ταῦτα 26
διδασκομένοις, ὅπως ὅτι πλεῖστα κακοποιῶσιν· οὐδαμοῦ γοῦν πλείους ἢ ἐκεῖ οὔτε ἀποθνήσκουσιν οὔτε διαφθείρονται ὑπὸ φαρμάκων.

τες ὅτι τὸ μὴ ὑπερπίνειν ἧττον σφάλλει τὰ σώματα καὶ τὰς γνώμας· ὅπερ ἐστίν· ἧττον ποιεῖ τὰ σώματα καὶ τὰς γνώμας σφάλλεσθαι.

— Νῦν δὲ τὸ μὲν εἰσφέρ.) Τὰς προχοΐδας δηλ. ἀγγεῖα δὲ αὗται δι' ὧν ἐκχεῖται τὸ ὕδωρ εἰς τὸ τὰς χεῖρας νίπτεσθαι.

— Ἀντὶ τοῦ εἰσφέρ.) Τὰς προχοΐδας.

— Αὐτοὶ ἐκφ.) Βασταζόμενοι ὑπὸ τῶν ὑπηρετῶν ἔξω φέρονται τοῦ συμποσίου, ἔνθα δεῖ τὰς χεῖρας νίπτειν· ἐπειδὰν κτλ.

20. Ὡς μηδ' ἂν ἔτι θαυμ.) Ὥστε οὐκ ἔτι ἐστὶν ἄξιος θαύματος· τὸ ἀπέχεσθαι.

21. Ἥττους τοῦ οἴνου ἐγέν.) Ἰδίωμα Ἑλληνισμοῦ ἀντὶ ἐνικήθησαν ὑπὸ τοῦ πάθους τῆς μέθης, ἢ ἐκυρίευσεν αὐτὸν ἡ οἰνοποσία.

22 Δῆλοι ἦσ.) Ἀντὶ Ἐφαίνοντο· κατὰ περίφρασιν.

§ 13. 23. Ἀπέσβηκε) Οὐδετέρως κατὰ τὸ καθ' ἡμᾶς· ἔσβυτεν ἡ ἐπιθυμία· καὶ τὰ τοιαῦτα· οὕτω καὶ ἀπέσβηκε τὸ τὰ ἱππικὰ μανθάνειν καὶ μελετᾶν.

— Διὰ τὸ μὴ ἰέν.) Παιδεύονται γὰρ τὴν κυνηγετικήν· ἀλλ' ἐπειδὴ οὐκ ἐξέρχονται ἐπὶ τὰς θήρας, ἔνθα ἂν δύναιντο εὐδόκιμοι ἀποφανῆναι, ἀπέσβηκε τὸ τὰ ἱππ. καὶ τλ.

24. Ὁπότεροι ἂν) Ὅποιον δηλονότι μέρος δώσει πλείω χρήματα, ἐκεῖνο νικᾷ ἐν ταῖς δίκαις.

26. Νῦν δὲ καὶ τλ.) Ἀντὶ τοῦ, νῦν δὲ δικάσονται ταύτας ἵνα καὶ τλ.

— Ἢ ἐκεῖ) Ἐν τῇ Περσίᾳ δηλ.

27 §. 15. Ἀλλὰ μὴν καὶ θρυπτικώτεροι πολὺ νῦν, ἢ ἐπὶ Κύρου, εἰσί. Τότε μὲν γὰρ ἔτι τῇ ἐκ Περσῶν παιδείᾳ καὶ ἐγκρατείᾳ ἐχρῶντο, τῇ δὲ Μήδων στολῇ καὶ ἁβρότητι· νῦν δὲ τὴν μὲν ἐκ Περσῶν καρτερίαν περιορῶσιν ἀποσβεννυμένην, τὴν δὲ τῶν Μήδων μα-
28 λακίαν διασώζονται. §. 16. Σαφηνίσαι δὲ βούλομαι καὶ τὴν θρύψιν αὐτῶν. Ἐκείνοις γὰρ πρῶτον μὲν τὰς εὐνὰς οὐ μόνον ἀρκεῖ μαλακῶς ὑποστρώννυσθαι, ἀλλ' ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ ταπίδων τιθέασιν, ὅπως μὴ ἀντερείδῃ τὸ δάπεδον, ἀλλ' ὑ-
29 πείκωσιν αἱ τάπιδες. Καὶ μὴν τὰ πεττόμενα ἐπὶ τράπεζαν ὅσα τε πρόσθεν εὕρητο, οὐδὲν αὐτῶν ἀφήρηται, ἄλλα τε ἀεὶ καινὰ ἐπιμηχανῶνται· καὶ ὄψα γε ὡσαύτως· καὶ γὰρ καινοποιητὰς
30 ἀμφοτέρων τούτων κέκτηνται. §. 17. Ἀλλὰ μὴν καὶ ἐν τῷ χειμῶνι οὐ μόνον κεφαλὴν καὶ σῶμα καὶ πόδας ἀρκεῖ αὐτοῖς ἐσκεπάσθαι, ἀλλὰ καὶ περὶ ἄκραις ταῖς χερσὶ χειρίδας δασείας καὶ
31 δακτυλήθρας ἔχουσιν. Ἔν γε μὴν τῷ θέρει οὐκ ἀρκοῦσιν αὐτοῖς οὔθ' αἱ τῶν δένδρων, οὔθ' αἱ τῶν πετρῶν σκιαί, ἀλλ' ἐν ταύταις
32 ἑτέρας σκιὰς ἄνθρωποι μηχανώμενοι αὐτοῖς παρεστᾶσι. Καὶ μὴν ἐκπώματα ἣν μὲν ὡς πλεῖστα ἔχωσι, τούτῳ καλλωπίζονται· ἣν δ' ἐξ ἀδίκου φανερῶς ἢ μεμηχανημένα, οὐδὲν τοῦτο αἰσχύνονται· πολὺ γὰρ ἥδεται ἐν αὐτοῖς ἡ ἀδικία τε καὶ αἰσχροκέρδεια.

33 §. 19. Ἀλλὰ καὶ πρόσθεν μὲν ἦν ἐπιχώριον αὐτοῖς, μὴ δρᾶσθαι πεζῇ πορευομένοις, οὐκ ἄλλου τινὸς ἕνεκα ἢ τοῦ ὡς ἱππικωτάτους γίγνεσθαι· νῦν δὲ ῥώματα πλείω ἔχουσιν ἐπὶ τῶν ἵππων, ἢ ἐπὶ τῶν εὐνῶν· οὐ γὰρ τῆς ἱππείας οὕτως, ὥσπερ τοῦ μαλακῶς καθῆσθαι,
34 ἐπιμέλονται. §. 20. Τὰ γεμὴν πολεμικὰ πῶς οὐκ εἰκότως νῦν τῷ παντὶ χείρους ἢ πρόσθεν εἰσίν; οἷς ἐν μὲν τῷ παρελθόντι χρόνῳ ἐπιχώριον ἦν, τοὺς μὲν τὴν γῆν ἔχοντας ἀπὸ ταύτης ἱππότας παρέχεσθαι, οἱ δὴ καὶ ἐστρατεύοντο· τοὺς δὲ φρουροῦντας, εἰ δέοι
35 στρατεύεσθαι πρὸ τῆς χώρας, μισθοφόρους εἶναι· νῦν δὲ τούς τε θυρωροὺς καὶ τοὺς σιτοποιοὺς καὶ τοὺς ὀψοποιοὺς καὶ οἰνοχόους καὶ λουτροχόους καὶ παρατιθέντας καὶ ἀναιροῦντας καὶ κατακοιμίζοντας καὶ ἀνιστάντας καὶ τοὺς κοσμητάς, οἱ ὑποχρίουσί τε

---

27. Ἀβρότητι) Ἀντὶ, τῇ δὲ Μήδων στολῇ καὶ ἁβρότητι οὐ.

28. Οὐ μόνον ἀρχ.) Ἀττικώτερον δοκεῖ τὸ τοιοῦτο ἅπαξ τοῦ οὐ λεγομένου· ἀντὶ τοῦ, οὐ μόνον οὐκ ἀρκεῖ.

— Ἐπὶ ταπίδων τιθ.) Ἐπὶ προσκεφαλαίων δηλ. τινῶν μαλακῶν.

29. Καὶ μὴν καὶ τὰ πεττ.) Ὅτι δηλ. πέσσονται εἶτ' οὖν ἕψονται.

§. 27. 30. Οὐ μόνον κτλ.) Καὶ ἐνταῦθα τὸ οὐ μόνον ἀρκεῖ ὡς ἐν 28 ἀνωτέρω.

31. Ἀλλ' ἐν ταύτ. καὶ τλ.) Καὶ οἱ ὑπηρέται δηλ. μηχανῶνται καὶ παρεστᾶσιν αὐτοῖς καὶ ἑτέρας σκιάς.

34. Τῷ παντὶ) Ἐλλείπει ἡ ἐν· ἤτοι κατὰ πάντα εἰσὶ χείρους νῦν, ἢ πρόσθεν κατὰ τὰ πολεμικά· ὁ δὲ Γεμὴν προσθετικός.

καὶ ἐντρίβουσοιν αὐτούς, καὶ τὰ ἄλλα ῥυθμίζουσι, τούτους πάντας ἱππέας οἱ δυνάσται πεποιήκασιν, ὅπως μισθοφορῶσιν αὐτοῖς.

§ 21. Πλῆθος μὲν οὖν καὶ ἐκ τούτων φαίνεται, οὐ μέντοι ὄφελός γε 36
οὐδὲν αὐτῶν εἰς πόλεμον· δῆλοι δὲ καὶ αὐτὰ τὰ γιγνόμενα· κατὰ τὴν χώραν γὰρ αὐτῶν ῥᾷον οἱ πολέμιοι, καὶ οἱ φίλοι ἀναστρέφονται.

§. 22. Καὶ γὰρ δὴ ὁ Κῦρος τοῦ μὲν ἀκροβολίζεσθαι ἀποπαύσας, 37
θωρακίσας δὲ καὶ αὐτοὺς καὶ ἵππους, καὶ ἓν παλτὸν ἑκάστῳ δοὺς εἰς χεῖρα, ὁμόθεν τὴν μάχην ἐποιεῖτο· νῦν δὲ οὔτε ἀκροβολίζονται ἔτι οὔτ' εἰς χεῖρας συνιόντες μάχονται.

§. 23. Καὶ οἱ πεζοὶ ἔχουσι μὲν γέρρα καὶ κοπίδας καὶ σαγάρεις, 38
ὥσπερ ἐπὶ Κύρου τὴν μάχην ποιησόμενοι· εἰς χεῖρας δὲ ἰέναι οὐδ' οὗτοι ἐθέλουσιν. §. 24. Οὐδέ γε τοῖς δρεπανηφόροις ἅρμασιν ἔτι 39
χρῶνται, ἐφ' ᾧ Κῦρος αὐτὰ ἐποιήσατο. Ὁ μὲν γὰρ τιμαῖς αὐ- 40
ξήσας τοὺς ἡνιόχους, καὶ ἀγαθοὺς ποιήσας, εἶχε τοὺς εἰς τὰ ὅπλα ἐμβαλοῦντας· οἱ δὲ νῦν οὐδὲ γιγνώσκοντας τοὺς ἐπὶ τοῖς ἅρμασιν, οἴονται σφίσιν ὁμοίους τοὺς ἀνασκήτους τοῖς ἠσκηκόσιν ἔσεσθαι.

§ 25. Οἱ δὲ ὁρμῶσι μέν, πρὶν δ' ἐν τοῖς πολεμίοις εἶναι, οἱ μὲν ἐκόν- 41
τες ἐκπίπτουσιν, οἱ δ' ἐξάλλονται· ὥστ' ἄνευ ἡνιόχων γιγνόμενα τὰ ζεύγη πολλάκις πλείω κατὰ τοὺς φίλους ἢ τοὺς πολεμίους ποιεῖ.

§ 26. Ἐπεὶ μέντοι καὶ αὐτοὶ γιγνώσκουσιν, οἷα σφίσι τὰ πολεμι- 42
κήρια ὑπάρχει, ὑφίενται, καὶ οὐδεὶς ἔτι ἄνευ τῶν Ἑλλήνων εἰς πόλεμον καθίσταται, οὔτε ὅταν ἀλλήλοις πολεμῶσιν, οὔτε ὅταν οἱ Ἕλληνες αὐτοῖς ἀντιστρατεύωνται· ἀλλὰ καὶ πρὸς τούτους ἐγνώκασι μεθ' Ἑλλήνων τοὺς πολέμους ποιεῖσθαι.

§. 27. Ἐγὼ μὲν δὴ οἶμαι, ἅπερ ὑπεθέμην, ἀπειργάσθαι μοι. 43
Φημὶ γὰρ Πέρσας καὶ τοὺς σὺν αὐτοῖς καὶ ἀσεβεστέρους περὶ θεούς, καὶ ἀνοσιωτέρους περὶ συγγενεῖς, καὶ ἀδικωτέρους περὶ τοὺς ἄλλους, καὶ ἀνανδροτέρους τὰ εἰς τὸν πόλεμον νῦν ἢ πρόσθεν ἀποδεδεῖχθαι· εἰ δέ τις τἀναντία ἐμοὶ γινώσκει, τὰ ἔργα αὐτῶν ἐπισκοπῶν, εὑρήσει αὐτὰ μαρτυροῦντα τοῖς ἐμοῖς λόγοις.

---

35. Τούτους πάντ.) Ἐπανάληψις κεφαλαιώδης τῶν κατεπαριθμημένων, ὅτι καὶ διὰ δεικτικῆς γίνεται ἡ ἐπανάληψις αὕτη· ἐπαριθμήσεως δηλονότι ἡγουμένης.

38. Ποιήσομεν) Ὡς ποιησόμενοι τὴν μάχην, καθάπερ ἐν τοῖς χρόνοις τοῦ Κύρου.

39. Ἐφ' ᾧ Κῦρ.) Δι' ἐκεῖνα τὰ πράγματα, δι' ἃ Κῦρος αὐτὰ ἐποιήσατο.

40. Οὐδὲ γιγνώσκ.) Οὐκ ἔχουσιν ἐξαιρέτους ἐπὶ τοῖς ἅρμασι, μηδὲ γιγνώσκουσιν ὅτι οὗτοι εἰσὶν οἱ ἐφ' ἅρματος μαχόμενοι· ἀλλ' ὁ τυχὼν ἐπιβαίνει τοῦ ἅρματος.

41. Οἱ δὲ) Τῶν ἁρμάτων ἐπιβαίνοντες δηλ.

42. Ὑφίεντ.) Παρομολογοῦνται.

— Καὶ πρὸς τούτους) Τοὺς Ἕλληνας δηλ.

43. Ἐγὼ μέν. . . ἀπειράγσθ.) Τὸ μὲν ἐγὼ πρὸς τὸ οἶμαι τὸ δὲ μοι παθητικῶς πρὸς τὸ ἀπειργάσθαι, ἐν ἀναλύσει οὖν. Ἐγὼ μὲν δὴ νομίζω, ὅτι, ὅσα ὑπεσχέθην, ταῦτα καὶ ἀποδέδειχται ὑπ' ἐμοῦ. Ποικιλίας δὲ χάριν τοῦτο· ἦρκει γὰρ εἰπεῖν· ἐγὼ μὲν δὴ οἶμαι, ἀπείργασμαι, ἅπερ ὑπεθέμην.

ΞΕΝΟΦΩΝΤΟΣ ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ ΣΩΚΡΑΤΟΥΣ.

ΒΙΒΛΙΑ ΤΕΣΣΑΡΑ.

ΒΙΒΛΙΟΝ Α΄. ΚΕΦ. I.

§ 1. Πολλάκις ἐθαύμασα, τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. Ἡ μὲν γὰρ γραφὴ κατ᾽ αὐτοῦ τοιάδε τις ἦν· Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεούς, οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων.

§ 2. Πρῶτον μὲν οὖν, ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει θεούς, ποίῳ ποτ᾽ ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν, πολλάκις μὲν οἴκοι[2], πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν. Καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν· διετεθρύλλητο γάρ, ὡς φαίη Σωκράτης, τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν. Ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν.

§ 3. Ὁ δὲ οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι, μαντικὴν νομίζοντες, οἰωνοῖς τε χρῶνται καὶ φήμαις[2] καὶ συμβόλοις[3] καὶ θυσίαις. Οὗτοί τε γὰρ ὑπολαμβάνουσιν, οὐ τοὺς ὄρνιθας οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν· κἀκεῖνος οὕτως ἐνόμιζεν.

§ 4. Ἀλλ᾽ οἱ μὲν πλεῖστοι φασὶν ὑπό τε τῶν ὀρνίθων καὶ τῶν ἀπαντώντων ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι. Σωκράτης δὲ ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε· τὸ δαιμόνιον γάρ, ἔφη, σημαίνειν. Καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος. Καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε.

§ 5. Καίτοι τίς οὐκ ἂν ὁμολογήσειεν αὐτὸν βούλεσθαι μήτ᾽ ἠλίθιον μήτ᾽ ἀλαζόνα φαίνεσθαι τοῖς συνοῦσιν; ἐδόκει δ᾽ ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς ὑπὸ θεοῦ φαινόμενα κἄτα ψευδόμενος ἐφαίνετο. Δῆλον οὖν, ὅτι οὐκ ἂν προέλεγεν, εἰ μὴ ἐπιστευεν ἀληθεύσειν. Ταῦτα δὲ τίς ἂν ἄλλῳ πιστεύσειεν ἢ θεῷ; Πιστεύων δὲ θεοῖς, πῶς οὐκ εἶναι θεοὺς ἐνόμιζεν;

§ 6. Ἀλλὰ μὴν ἐποίει καὶ τάδε πρὸς τοὺς ἐπιτηδείους.[2] Τὰ μὲν

---

§. 2. 2. Οἶκοι) Βωμὸς γὰρ ἵδρυτο ἐν τῇ αὐλῇ ἑκάστης ἑλληνικῆς οἰκίας, ἐφ᾽ οὗ θύειν νενόμιστο τοῖς θεοῖς. — §. 3. 2. Φήμαις) Ταῖς ἐκ τῶν ἀπαντώντων ἀνθρώπων ἢ ζώων ἄλλων τυχηραῖς φωναῖς.—3. συμβόλοις) «Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας, »τουτέστι κληδόνας, καὶ πταρμούς, ἢ φω»νάς, ἢ φήμας, ἢ ἀπαντήσεις, συμβολὰ »φησι λέγεσθαι· ὡς Ἀρχίλοχος· μετέρ»χομαίσε, σύμβουλον ποιούμε»νος.» (Σχολ. εἰς τὰ Πινδάρ. Ὀλύμπ. XII-10.)—§ 6. 2πρὸς τοὺς ἐπιτηδείους) «Ἐπιτήδειος, ὁ φίλος· ἀνεπιτήδειος ὁ ἐχθρός.» Ἡσύχ. — 3. Ὡς ἐνόμιζεν) Εἰσὶν οἳ, Ὡς ἐνόμιζον, πληθυντικῶς, γραπτέον εἶναι ᾠήθησαν, διὰ τὸ προηγησάμενον ἐ-

γὰρ ἀναγκαῖα συνεβούλευε καὶ πράττειν, ὡς ἐνόμιζεν[3] ἄριστ' ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων ὅπως ἂν ἀποβήσοιτο, μαντευσομένους ἔπεμπεν, εἰ ποιητέα.

§ 7. Καὶ τοὺς μὲν μέλλοντας οἴκους τε καὶ πόλεις καλῶς οἰκήσειν μαντικῆς ἔφη προσδεῖσθαι. Τεκτονικὸν γὰρ ἢ χαλκευτικὸν ἢ γεωργικὸν ἢ ἀνθρώπων ἀρχικὸν ἢ τῶν τοιούτων ἔργων ἐξεταστικὸν ἢ λογιστικὸν ἢ οἰκονομικὸν ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα καὶ ἀνθρώπου γνώμῃ αἱρετὰ[2] ἐνόμιζεν εἶναι.

§ 8. Τὰ δὲ μέγιστα τῶν ἐν τούτοις[2] ἔφη τοὺς θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις. Οὔτε γὰρ τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον, ὅστις καρπώσεται· οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον, ὅστις οἰκήσει· οὔτε τῷ στρατηγικῷ δῆλον, εἰ συμφέρει στρατηγεῖν· οὔτε τῷ πολιτικῷ δῆλον, εἰ συμφέρει τῆς πόλεως προστατεῖν· οὔτε τῷ καλὴν γήμαντι, ἵνα εὐφραίνηται, δῆλον, εἰ διὰ ταύτην ἀνιάσεται· οὔτε τῷ δυνατοὺς ἐν τῇ πόλει κηδεστὰς λαβόντι δῆλον, εἰ διὰ τούτων στερήσεται τῆς πόλεως.

§ 6. Τοὺς δὲ μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν[2] δὲ ἔφη· δαιμονᾶν καὶ τοὺς μαντευομένους, ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν· οἷον, εἴ τις ἐπερωτῴη, πότερον ἐπισάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον ἢ μὴ ἐπισάμενον· ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν ἢ μὴ ἐπισάμενον· ἢ ἃ ἔξεστιν ἀριθμήσαντας ἢ μετρήσαντας ἢ στήσαντας εἰδέναι· τοὺς τὰ τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους ἀθέμιστα[3] ποιεῖν ἡγεῖτο· ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοί, μανθάνειν· ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστί, πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι· τοὺς θεοὺς γάρ, οἷς ἂν ὦσιν ἵλεῳ, σημαίνειν.

§ 10. Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ. Πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ἤει, καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν ὅπου πλείστοις μέλλοι συνέσεσθαι· καὶ ἔλεγεν μὲν ὡς τὸ πολὺ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν.

§ 11. Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς οὐδὲ ἀνόσιον οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. Οὐδὲ γὰρ

πιτηδείους. — § 7. 2. αἱρετὰ) Ἐξ ἐπιδιορθώσεως τοῦ Σ (συναδούσης καὶ τῆς μεταφράσεως τοῦ B. eligere posse), AT αἱρετέα. — § 8. 2. Τὰ δὲ μέγιστα τῶν ἐν τούτοις) Διαγραπτέον εἶναι τὸ δεῖ- τερον ἄρθρον ἔγνωσαν οἱ πρὸ ἐμοῦ·

§ 9. 2. δαιμονᾶν.) «Δαιμονᾷ, ὑπὸ δαίμονος κατέχεται» φησὶν Ἡσύχιος. Ἔστι δὲ ἴσον τῷ Μαίνεται. — 3. ἀθέμιστα.] «Ἀθεμίστων, παρανόμων ἀδίκων.» Ἡ-

περὶ τῆς τῶν πάντων φύσεως, ἥπερ τῶν ἄλλων οἱ πλεῖστοι[2], διελέγετο, σκοπῶν, ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔφυ, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων. Ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἀπεδείκνυε.

§ 12. Καὶ πρῶτον μὲν περὶ αὐτῶν ἐσκόπει, πότερά ποτε νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι, ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν, ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦνται, ἡγοῦνται τὰ προσήκοντα πράττειν.

§ 13. Ἐθαύμαζε δέ, εἰ μὴ φανερὸν αὐτοῖς ἐστιν, ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ ταὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους.

§ 14. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δὲ οὐδ' ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν· καὶ τοὺς μὲν οὐθ' ἱερὸν οὔτε βωμὸν οὔτε ἄλλο τῶν θείων οὐδὲν τιμᾶν, τοὺς δὲ καὶ λίθους καὶ ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι· τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι[2], τοῖς δὲ ἄπειρα[3] τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ κινεῖσθαι πάντα, τοῖς δὲ οὐδὲν ἄν ποτε κινηθῆναι· καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δὲ οὔτ' ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτε ἀπολέσθαι.

§ 15. Ἐσκόπει δὲ περὶ αὐτῶν καὶ τάδε· ἆρ', ὥσπερ οἱ τἀνθρώπεια μανθάνοντες ἡγοῦνται τοῦθ' ὅ τι ἂν μάθωσιν, ἑαυτοῖς τε καὶ τῶν ἄλλων ὅτῳ ἂν βούλωνται, ποιήσειν[2], οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες νομίζουσιν, ἐπειδὰν γνῶσιν αἷς ἀνάγκαις ἕκαστα γίγνεται, ποιήσειν, ὅταν βούλωνται, καὶ ἀνέμους καὶ ὕδατα καὶ ὥρας καὶ ὅτου ἂν ἄλλου δέωνται τῶν τοιούτων; ἢ τοιοῦτο μὲν οὐδὲν οὐδ' ἐλπίζουσιν, ἀρκεῖ δ' αὐτοῖς γνῶναι μόνον, ἢ τῶν τοιούτων ἕκαστα γίγνεται.

§ 16. Περὶ μὲν οὖν τῶν ταῦτα πραγματευομένων τοιαῦτα ἔλεγεν. Αὐτὸς δὲ περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο, σκοπῶν, τί

εὐχ.—§. 11. 2. ἥπερ τῶν ἄλλων οἱ πλεῖστοι.] Φέρεται παρὰ τῷ Εὐσεβίῳ διάφορος γραφὴ ἥδε, ἢ περὶ τῶν ἄλλων, ὡς οἱ πλεῖστοι.— ἔφυ.] Ἐκ ΔΓ. ΕΓ. ἔχει. —§. 14. 2. τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι,] ὥσπερ Ξενοφάνει, Παρμενίδῃ τε καὶ Μελίσσῳ, περὶ ὧν ἔπιθι Διογένην τὸν Λαέρτιον (IX, 18—24.) καὶ τὰς εἰς αὐτὸν σημειώσεις τοῦ Μεναγίου. Τὴν δὲ Παρμενίδου δόξαν πλατύτερον εὑρήσεις ἐν τῷ Πλάτωνος διαλόγῳ τῷ ἐπιγραφομένῳ Παρμενίδῃ (σελ. 126-166.) Μνημονεύει, τοῦ Μελίσσου καὶ Ἱποκράτης (Περὶ φυσ. ἀνθρώπ. σελ. 264.)—3. Τοῖς δὲ ἄπειρα,] ὥσπερ τοῖς περὶ Λεύκιππον καὶ Ἐπίκουρον.— §. 15. 2. ποιήσειν.] Ποιεῖν· μέντοι, φησὶν ὁ Σ. ἔγνωσαν οἵ γε νῦν φυσικοί, μιμούμενοι τὰ μετέωρα διὰ τῆς ἠλεκτρικῆς δυνάμεως· ἔχουσι δ' οὖν προγιγνώσκειν αὐτὰ, καὶ τὴν ἀπό τινων βλάβην φυλάττεσθαι.

εὐσεβὲς, τί ἀσεβές· τί καλὸν, τί αἰσχρόν· τί δίκαιον, τί ἄδικον· τί σωφροσύνη, τί μανία· τί ἀνδρία, τί δειλία· τί πόλις, τί πολιτικός· τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων· καὶ περὶ τῶν ἄλλων, ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς καὶ ἀγαθοὺς εἶναι, τοὺς δὲ ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι.

§ 17. Ὅσα μὲν οὖν μὴ φανερὸς ἦν ὅπως ἐγίγνωσκεν, οὐδὲν θαυμαστόν, ὑπὲρ τούτων περὶ αὐτοῦ παραγνῶναι[2], τοὺς δικαστάς· ὅσα δὲ πάντες ἤδεσαν, θαυμαστόν, εἰ μὴ τούτων ἐνεθυμήθησαν.

§ 18. Βουλεύσας[2] γάρ ποτε, καὶ τὸν βουλευτικὸν ὅρκον ὀμόσας, ἐν ᾧ ἦν κατὰ τοὺς νόμους βουλεύσειν, ἐπιστάτης[3] ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ* τοὺς ἀμφὶ Θράσυλον καὶ Ἐρασινίδην[4]* ἀποκτεῖναι πάντας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων· ἀλλὰ περὶ πλείονος ἐποιήσατο εὐορκεῖν, ἢ χρήσασθαι τῷ δήμῳ παρὰ τὸ δίκαιον, καὶ φυλάξασθαι τοὺς ἀπειλοῦντας.

§ 19. Καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων, οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν. Οὗτοι μὲν γὰρ οἴονται, τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δὲ οὐκ εἰδέναι· Σωκράτης δ' ἡγεῖτο πάντα μὲν θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι, καὶ σημαίνειν τοῖς ἀνθρώποις, περὶ τῶν ἀνθρωπείων πάντων.

§ 20. Θαυμάζω οὖν, ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι, Σωκράτην περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβὲς μὲν οὐδέν ποτε* περὶ τοὺς θεοὺς* οὔτ' εἰπόντα οὔτε πράξαντα, τοιαῦτα δὲ καὶ λέγοντα καὶ πράττοντα περὶ θεῶν, οἷά τις ἂν καὶ λέγων καὶ πράττων εἴη τε καὶ νομίζοιτο εὐσεβέστατος.

ΚΕΦΑΛΑΙΟΝ II.

§ 1. Θαυμαστὸν δέ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας, ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὃς, πρὸς τοῖς εἰρημένοις, πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστα-

---

§ 17. 2. παραγνῶναι.] κακῶς γνῶναι, κακῶς κρῖναι. § 18. 2. βουλεύσας,] τῆς βουλῆς τῶν πεντακοσίων γεγονώς. — 3. ἐπιστάτης.] Ἴδε Ἁρποκρατίωνα καὶ Σουίδαν, λέξ. ἐπιστάτης. — 4. τοὺς ἀμφὶ Θράσυλον καὶ Ἐρασινίδην.] Τὰς πέντε ταύτας λέξεις εὐλόγως ἀποκλειστέας εἶναι τοῦ κειμένου ἔκριναν οἱ πρὸ ἡμῶν, ὡς ἐξήγησιν γραμματικοῦ τινὸς εἰσφρήσασαν εἰς τὸ κείμενον. Εἰ γὰρ καὶ τῶν ἐννέα ἦταν ὅ τε Θράσυλος καὶ ὁ Ἐρασινίδης, οὐκ ἐξῆν ἐνθάδε μνημονεῦσαι αὐτῶν. Τὴν δὲ κατὰ τῶν ἐννέα τούτων ἄνομον καταδίκην ζήτει παρ' αὐτῷ τούτῳ τῷ Ξενοφῶντι (Ἑλληνικ. Α΄, ζ΄.) Μνημονεύει τοῦ Ἐρασινίδου καὶ Ἀριστοφάνης (Βατρι. 1196), εἰρωνικῶς καθαπτόμενος τῶν καταγνόντων παρανόμως αὐτοδικαστῶν.

Εὐδαίμων ἂν ἦν,
Εἰ λαττρατήγητέν γε μετ' Ἐρασινίδου.

τος ἦν· εἶτα πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος· ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος[2] πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα.

§ 2. Πῶς οὖν, αὐτὸς ὢν τοιοῦτος, ἄλλους ἂν ἢ ἀσεβεῖς ἢ παρανόμους ἢ λίχνους ἢ ἀφροδισίων ἀκρατεῖς ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; Ἀλλ' ἔπαυσε μὴν[2] τούτων πολλοὺς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παρασχών, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι.

§ 3. Καίτοι γε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου· ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὤν, ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ, μιμουμένους ἐκεῖνον τοιούσδε γενήσεσθαι.

§ 4. Ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. Τὸ μὲν οὖν ὑπερεσθίοντα ὑπερπονεῖν ἀπεδοκίμαζε, τὸ δέ, ὅσα γ' ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν εὐδοκίμαζε. Ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν ἔφη.

§ 5. Ἀλλ' οὐ μὴν θρυπτικός γε, οὐδὲ ἀλαζονικὸς ἦν, οὐτ' ἀμπεχόνην, οὐθ' ὑποδέσει οὔτε τῇ ἄλλῃ διαίτῃ. Οὐ μὴν οὐδ' ἐρασιχρημάτους γε τοὺς συνόντας ἐποίει· τῶν μὲν γὰρ ἄλλων ἐπιθυμιῶν ἔπαυε, τοὺς δὲ ἑαυτοῦ ἐπιθυμοῦντας οὐκ ἐπράττετο χρήματα.

§ 6. [Τοὺς] τούτου δ' ἀπεχομένους[2] ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι· τοὺς δὲ λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδισὰς ἑαυτῶν ἀπεκάλει, διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι διαλέγεσθαι παρ' ὧν ἂν λάβοιεν τὸν μισθόν.

§ 7. Ἐθαύμαζε δέ, εἴ τις, ἀρετὴν ἐπαγγελλόμενος, ἀργύριον πράττοιτο, καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν, φίλον ἀγαθὸν κτησάμενος, ἀλλὰ φοβοῖτο, μὴ ὁ γενόμενος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι μὴ τὴν μεγίστην χάριν ἔξοι.

§ 8. Σωκράτης δὲ ἐπηγγείλατο μὲν οὐδενὶ πώποτε τοιοῦτον οὐδέν· ἐπίστευε τῶν ξυνόντων αὐτῷ τοὺς ἀποδεξαμένους, ἅπερ αὐτὸς ἐδοκίμαζεν, εἰς τὸν πάντα βίον ἑαυτῷ τε καὶ ἄλλοις φίλους ἀγαθοὺς ἔσεσθαι. Πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους; εἰ μὴ ἄρα ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν.

§ 9. Ἀλλά, νὴ Δία, ὁ κατήγορος ἔφη, ὑπερορᾶν ἐποίει τῶν καθεστώτων νόμων τοὺς συνόντας, λέγων ὡς μωρῶν εἴη[2] τοὺς μὲν

---

§ 1. 2. πάνυ μικρὰ κεκτημένος] Αὐτὸς γὰρ ὁ Σωκράτης ἔλεγε περὶ ἑαυτοῦ (Ξενοφ. Οἰκονομικ. 11, § 5), «Ἐγὼ μὲν οἶμαι, εἰ ἀγαθοῦ ὠνητοῦ ἐπιτύχοιμι, εὑρεῖν ἂν μοι σὺν τῇ οἰκίᾳ καὶ τὰ» (ἴσ. γρ. μου σὺν τῇ οἰκίᾳ τὰ) ὄντα πάντα πάνυ ῥᾳδίως πέντε μνᾶς.» Αἱ δὲ πέτε μναῖ, πεντακοσίων που τῶν παρὰ τοῖς Γάλοις καλουμένων φράγκων εἰσὶν ἄξιαι.—§ 2. 2. Ἀλλ' ἔπαυσε μήν.] Ἐξ ὀψιαιτέρας διορθώσεως τοῦ Σ, ἀντὶ τοῦ, Ἀλλ' ἔπαυτε μέν.—§ 6. 2. τούτου δ' ἀπεχομένους.] ΔΓ. ἀπεχόμε-

τῆς πόλεως ἄρχοντας ἀπὸ κυάμου καθίστασθαι, κυβερνήτῃ δὲ μηδένα θέλειν κεχρῆσθαι κυαμευτῷ, μηδὲ τέκτονι, μηδ' αὐλητῇ, μηδ' ἐπ' ἄλλα τοιαῦτα, ἃ πολλῷ ἐλάττονας βλάβας ἁμαρτανόμενα ποιεῖ τῶν περὶ τὴν πόλιν ἁμαρτανομένων· τοὺς δὲ τοιούτους λόγους ἐπαίρειν ἔφη τοὺς νέους καταφρονεῖν τῆς καθεστώσης πολιτείας, καὶ ποιεῖν βιαίους.

§ 10. Ἐγὼ δὲ οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας, καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας, ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεισιν ἔχθραι καὶ κίνδυνοι,[2] διὰ δὲ τοῦ πείθειν ἀκινδύνως τε καὶ μετὰ φιλίας τὰ αὐτὰ γίγνεται. Οἱ μὲν γὰρ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ πεισθέντες ὡς κεχαρισμένοι[3] φιλοῦσιν. Οὐκ οὖν τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων[4] τὰ τοιαῦτα πράττειν ἐστίν.

§ 11. Ἀλλὰ μὴν καὶ συμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ' ἂν οὐκ ὀλίγων,[2] ὁ δὲ πείθειν δυνάμενος οὐδενός, καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν. Καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει· τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον, ἢ ζῶντι πειθομένῳ χρῆσθαι;

§ 12. Ἀλλ' ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω, Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην.[2] Κριτίας[3] μὲν τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο, Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος καὶ ὑβριστότατος, *καὶ βιαιότατος.[4]*

νος, ὁ Σωκράτης ὠφελούτι τοῦ λαμβάνειν μισθόν· καὶ οὐκ ἀπίθανος ἡ γραφή, πλὴν εἰ μή τις προαιροῖτο γράφειν, τοὺς τούτου δ' ἀπεχομένους.—§ 9. 2. ὡς μωρῶν εἴη.] ΔΓ, μωρόν.— § 10. 2. πρόσεισιν ἔχθραι καὶ κίνδυνοι.] Παρὰ δὲ τὸ Στοβαίῳ (σελ. 324) γράφεται ἐνικῶς, Πρόσεστιν ἔχθρα καὶ κίνδυνος.—3. κεχαρισμένοι.] Παθητικῶς ἐκδεκτέον εἶναι τὴν μετοχὴν (οἷον, χάριν λαβόντες ἢ κομισαμένοι) ἔφασάν τινες τῶν πρὸ ἡμῶν· οἷς καλῶς ποιῶν οὐχ ὁμολογεῖ ὁ Σ.—4. τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων,] τουτέστιν, ἄνευ νοῦ, οἷοί εἰσιν οἱ τύραννοι, καὶ ὅλως οἱ αὐτογνωμόνως ἄρχοντες ἢ δύνανται. — § 11. 2 συμμάχων . . . δέοιτ' ἂν οὐκ ὀλίγων.] καὶ οὐδὲ τούτων πιστῶν· τυράννοις γὰρ ἢ λησταῖς (οἷοί εἰσιν οἱ τολμῶντες βιάζεσθαι) τίνες ἂν ἄλλοι συμμαχήσειαν, ἢ ὅλως ὑπουργήσειαν, ἢ λησταί τε καὶ τύραννοι.— §12. 2. Ἀλλ' ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω, Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην κτλ.] Οὐδεὶς ἂν ἐπίστευσεν ἐπὶ τοσοῦτον κακίας ἢ μᾶλλον ἀπονοίας ἐλάσαι τὸν κατήγορον, ὥστε καὶ τῶν ἡμαρτημένων Κριτίᾳ τε καὶ Ἀλκιβιάδῃ, ὑπεύθυνον βούλεσθαι ποιεῖν τὸν διδάσκαλον Σωκράτην, εἰ γε μὴ Ξενοφῶν ἦν ὁ ἱστορῶν τὴν δίκην. Προσμαρτυρεῖ δ' οὖν αὐτῷ καὶ ὁ ῥήτωρ Αἰσχύνης (Κατὰ Τιμάρχ. σελ. 168), λέγων οὐ πολλοῖς ἔτεσιν ὕστερον, « Ἔπειθ' ὑμεῖς, ὦ Ἀθηναῖοι, Σωκράτην μὲν τὸν σοφιστὴν ἀπεκτείνατε, ὅτι Κριτίαν ἐφάνη πεπαιδευκώς, ἕνα τῶν τριάκοντα, τῶν τὸν δῆμον καταλυσάντων κτλ. 3. Κριτί.] εἷς τῶν τριάκοντα τυραννησάντων Ἀθήνηστι.—4. ἀκρατέστατος καὶ ὑβριστότατος *καὶ βιαιότατος*.] Ἀφώρισαν τοῦ κειμένου τὰς τελευταίας δύο λέξεις Σ τε καὶ ἕτεροι. Ἀνθ' ἁπασῶν δὲ φέρεται ΔΓ, κλεπτιστάτός τε καὶ βιαιότατος καὶ φονικώτατος, ἣν πρὸς τὸν Κριτίαν μᾶλλον ἢ τὸν Ἀλκιβιάδην ἀνήκειν ὑπονοεῖ ὁ Σ.—

§ 13. Ἐγὼ δ', εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν ἐποιησάτην, οὐκ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτην συνουσίαν αὐτοῖν, ὡς ἐγένετο, διηγήσομαι.

§ 14. Ἐγενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων Ἀθηναίων, βουλομένω τε πάντα δι' ἑαυτῶν πράττεσθαι, καὶ πάντων ὀνομαστοτάτω γενέσθαι. Ἤθεσαν δὲ, Σωκράτην ἀπ' ἐλαχίστων μὲν χρημάτων αὐταρκέστατα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα, τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λόγοις ὅπως βούλοιτο.

§ 15. Ταῦτα δὲ ὁρῶντε, καὶ ὄντε οἷω προείρησθον, πότερόν τις αὐτῷ φῇ τοῦ βίου τοῦ Σωκράτους ἐπιθυμήσαντε καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος εἶχεν, ὀρέξασθαι τῆς ὁμιλίας αὐτοῦ, ἢ νομίσαντε, εἰ ὁμιλησαίτην ἐκείνῳ, γενέσθαι ἂν ἱκανωτάτω λέγειν τε καὶ πράττειν.

§ 16. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι, θεοῦ διδόντος αὐτοῖν ἢ ζῆν ὅλον τὸν βίον, ὥσπερ ζῶντα Σωκράτην ἑώρων, ἢ τεθνάναι, ἑλέσθαι ἂν αὐτὼ μᾶλλον τεθνάναι. Δήλω δ' ἐγενέσθην, ἐξ ὧν ἐπραξάτην· ὡς γὰρ τάχιστα κρείττονε τῶν συγγιγνομένων ἡγησάσθην εἶναι, εὐθὺς ἀποπηδήσαντε Σωκράτους ἐπραττέτην τὰ πολιτικά, ὥνπερ ἕνεκα Σωκράτους ὠρεχθήτην.

§ 17. Ἴσως οὖν εἴποι τις ἂν πρὸς ταῦτα, ὅτι χρῆν τὸν Σωκράτην μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς συνόντας ἢ σωφρονεῖν. Ἐγὼ δὲ πρὸς τοῦτο μὲν οὐκ ἀντιλέγω· πάντας δὲ τοὺς διδάσκοντας ὁρῶ αὐτοὺς δεικνύντας τε τοῖς μανθάνουσιν, ἥπερ αὐτοὶ ποιοῦσιν ἃ διδάσκουσι, καὶ τῷ λόγῳ προσβιβάζοντας.[2]

§ 18. Οἶδα δὲ καὶ Σωκράτην δεικνύντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα, καὶ διαλεγόμενον κάλλιστα περὶ ἀρετῆς καὶ τῶν ἄλλων ἀνθρωπίνων. Οἶδα δὲ κἀκείνω σωφρονοῦντε, ἔστε Σωκράτει συνήστην, οὐ φοβουμένω μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ Σωκράτους, ἀλλ' οἰομένω τότε, κράτιστον εἶναι τοῦτο πράττειν.

§ 19. Ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν, ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων ὑβριστής, οὐδὲ ἄλλο οὐδέν, ὧν μάθησίς ἐστιν, ὁ μαθὼν ἀνεπιστήμων ἄν ποτε γένοιτο.[2] Ἐγὼ δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω· ὁρῶ γάρ, ὥσπερ τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους· οὔτε γάρ, ἃ δεῖ, πράττειν, οὔτε, ὧν δεῖ, ἀπέχεσθαι δύνανται.

---

§ 17. 2. Προσβιβάζοντας) Ἐκ ΔΓ, προείλετο τοῦτο ὁ Σ. τοῦ προβιβάζοντας, καὶ μαρτυρίοις ἐπιστώσατο. Ἐν μέντοι τοῖς ἑξῆς (ν. § 1, σελ. 28) καὶ διὰ τῆς πρὸ, προθέσεως ἐρεῖ Ξενοφῶν, προυβίβαζε.—§ 19. 2. οὐδὲ ἄλλο οὐδέν... ἀνεπιστήμων ἄν ποτε γένοιτο) Ἐλλειπτικῶς τῆς κατά, κατ' ἄλλο οὐδέν. Ταὐτὸ δὲ δύναται τῷ οὐδ' ἄλλου οὐδενὸς ἀνεπιστήμων ἄν ποτε γένοιτο.

§ 20. Διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, εἴργουσιν ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν, κατάλυσιν. Μαρτυρεῖ δὲ καὶ τῶν ποιητῶν ὅ τε λέγων[2],

Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι, 3 ἢν δὲ κακοῖσι
Συμμιγέῃς,[4] ἀπολεῖς καὶ τὸν ἐόντα νόον,

καὶ ὁ λέγων,[5]

Αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ 6 μὲν κακός, ἄλλοτε δ' ἐσθλός.

§ 21. Κἀγὼ δὲ μαρτυρῶ τούτοις· ὁρῶ γάρ, ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐγγιγνομένην. Ὅταν δὲ τῶν νουθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπιθυμεῖ· τούτων δὲ ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι.

§ 22. Ὁρῶ δὲ καὶ τοὺς εἰς τὴν φιλοποσίαν προαχθέντας, καὶ τοὺς εἰς ἔρωτας ἐκκυλισθέντας[2], ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι, καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. Πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι, πρὶν ἐρᾶν, ἐρασθέντες οὐκ ἔτι δύνανται· καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται.

§ 23. Πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα πρόσθεν, αὖθις μὴ σωφρονεῖν, καὶ δίκαια δυνηθέντα πράττειν, αὖθις ἀδυνατεῖν; Πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητέα εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη. Ἐν τῷ γὰρ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι.

§ 24. Καὶ Κριτίας δὴ καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει συνήστην, ἐδυνάσθην, ἐκείνῳ χρωμένω συμμάχῳ, τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· ἐκείνου δὲ ἀπαλλαγέντε, Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν[2], ἐκεῖ συνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις· Ἀλκιβιάδης δ' αὖ διὰ μὲν κάλλος ὑπὸ πολλῶν καὶ σεμνῶν γυναικῶν θηρώμενος, διὰ δύναμιν δὲ τὴν ἐν τῇ πόλει

---

§ 20 2. Ὅ τε λέγων) Θέογνις (35). — 3. Διδάξεαι) Ἐν δὲ τοῖς Θεόγνιδος ἔπεσι νῦν φέρεται μαθήτεαι. — 4. Συμμιγέης) Ἐν τοῖς Θεόγνιδος, συμμιχθῇς, μετὰ ΔΓ, συμμιγῇς· συμμιγῇς, ἐξ ὧν ὁ ἔναγχος ἐκδοὺς (Bekker. σελ. 63) τὸν Θέογνιν οὐκ ἀλόγως ἔγραψε συμμίσγῃς. — 5. καὶ ὁ λέγων) Ἄδηλος οὗτος ὁ ποιητής. — 6. τοτὲ μὲν) Παρὰ δὲ τῷ Στοβαίῳ, ποτὲ μέν, σημειωταμένων τῶν κριτικῶν. — § 22. 2. τοὺς εἰς ἔρωτας ἐκκυλισθέντας) Λέγεται ἑλληνικῶς, εἰς ἔρωτας ἐκκυλίεσθαι, διὰ τῆς ἐκ, καὶ ἔρωσιν ἐγκυλίεσθαι, διὰ τῆς ἐν, συντιθειμένης τῷ ῥήματι· ὅθεν ἡ παρ' ἡμῖν συνήθεια ἀμφοτέρας ἔστωτε τὰς προθέσεις ἐν τῷ ἐξεκυλίσθη, ὃ ταυτὸν δύναται τῷ παρ' Ὁμήρῳ (Ἰλιάδ. Ζ, 42),

Αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη.

— § 24. 2. φυγὼν εἰς Θετταλίαν) Ἐπιθι τὰ περὶ Κριτίου ἱστορημένα τῷ Ξενοφῶντι ἐν τοῖς Ἑλληνικοῖς (II, 3. § 36), καὶ ἄ-

καὶ τοῖς συμμάχοις ὑπὸ πολλῶν καὶ δυνατῶν κολακεύειν ἀνθρώπων διαθρυπτόμενος, ὑπὸ δὲ τοῦ δήμου τιμώμενος, καὶ ῥᾳδίως πρωτεύων, ὥσπερ οἱ τῶν γυμνικῶν ἀγώνων ἀθληταὶ ῥᾳδίως πρωτεύοντες ἀμελοῦσι τῆς ἀσκήσεως, οὕτω κἀκεῖνος ἠμέλησεν αὐτοῦ.

§ 25. Τοιούτων δὲ συμβάντων αὐτοῖν, καὶ ὠγκωμένω μὲν ἐπὶ γένει, ἐπηρμένω δ' ἐπὶ πλούτῳ, πεφυσημένω δ' ἐπὶ δυνάμει, διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένω, καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους γεγονότε τί θαυμαστόν, εἰ ὑπερηφάνω ἐγενέσθην;

§ 26. Εἶτα, εἰ μέν τι ἐπλημμελησάτην, τούτου Σωκράτην δ κατήγορος αἰτιᾶται· ὅτι δὲ νέω ὄντε αὐτῶ (ἡνίκα καὶ ἀγνωμονεστάτω[2] καὶ ἀκρατεστάτω εἰκὸς εἶναι) Σωκράτης παρέσχε[3] σώφρονε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ ἄξιος εἶναι.

§ 27. Οὐ μὴν τάγε ἄλλα οὕτω κρίνεται. Τίς μὲν γὰρ αὐλητής, τίς δὲ καὶ κιθαριστής,[2] τίς δὲ ἄλλος διδάσκαλος ἱκανοὺς ποιήσας τοὺς μαθητάς, ἐὰν πρὸς ἄλλους ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; Τίς δὲ πατήρ, ἐὰν ὁ παῖς αὐτοῦ συνδιατρίβων τῷ σώφρων ᾖ, ὕστερον δὲ ἄλλῳ τῳ συγγενόμενος πονηρὸς γένηται, τὸν πρόσθεν αἰτιᾶται; ἀλλ' οὐχ ὅσῳ ἂν παρὰ τῷ ὑστέρῳ χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν πρότερον; Ἀλλ' οἵγε πατέρες αὐτοὶ συνόντες τοῖς υἱέσι, τῶν παίδων πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν ἐὰν αὐτοὶ σωφρονῶσιν.

§ 28. Οὕτω δὲ καὶ Σωκράτην δίκαιον ἦν κρίνειν· εἰ μὲν αὐτὸς ἐποίει τί φαῦλον, εἰκότως ἂν ἐδόκει πονηρὸς εἶναι· εἰ δὲ αὐτὸς σωφρονῶν διετέλει, πῶς ἂν δικαίως τῆς οὐκ ἐνούσης αὐτῷ κακίας αἰτίαν ἔχοι.

§ 29. Ἀλλ' εἰ καὶ μηδὲν αὐτὸς πονηρὸν ποιῶν, ἐκείνους φαῦλα πράττοντας ὁρῶν ἐπῄνει, δικαίως ἂν ἐπετιμᾶτο. Κριτίαν μὲν τοίνυν αἰσθανόμενος ἐρῶντα Εὐθυδήμου, καὶ πειρῶντα χρῆσθαι, καθάπερ οἱ πρὸς ταφροδίσια τῶν σωμάτων ἀπολαύοντες, ἀπέτρεπε φάσκων ἀνελεύθερόν τε εἶναι καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ, τὸν ἐρώμενον, ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι,

---

περ ἐκεῖ ἐσημειώτατο ὁ Σ. — § 26. 2. ἀγνωμονεστάτω) Ἐπὶ τοῦ ἀνοητοτάτω, ἐνθάδε — 3. παρέσχε) ΔΓ, παρέστχετο. — § 27. 2. καὶ κιθαριστὴς) Διαγραπτέος ἴσως ὁ σύνδεσμος. — § 29. 2. προσαιτεῖν ὥσπερ τοὺς πτωχοὺς ἱκετεύοντα, καὶ ΔΕΟΜΕΝΟΝ ΙΩΣ ΔΟΥΝΑΙ, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ) ΗΔ, ἀντὶ τοῦ ΔΕΟΜΕΝΟΝ ΠΡΟΣΔΟΥΝΑΙ· ὅπερ εὐλόγως καὶ οἱ πρὸ ἐμοῦ ὑποπτόν τε ἔκριναν, καὶ ἄλλοι ἄλλως συντάξαι τε καὶ ἐξηγήσασθαι ἐπεβάλοντο. Ὁ δὲ Σ. τὸ Προσδοῦναι εἰς τὸ Μεταδοῦναι μετατρέπειν δεῖν ᾤετο. Ὁ νοῦς (κατά γε τὴν ἡμετέραν διόρθωσιν καὶ στίξιν), Προσαιτεῖν, ἱκετεύοντα καὶ τρόπον τινὰ δεόμενον, ὥσπερ ἱκετεύουσι καὶ δέονται οἱ πτωχοί, δοῦναι αὐτῷ, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ καὶ χρησίμου, οἷά ἐστι τὰ διδό-

προσαιτεῖν ὥσπερ τοὺς πτωχούς, ἱκετεύοντα καὶ δεόμενόν πως δοῦναι, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ.[2]

§ 30. Τοῦ δὲ Κριτίου τοῖς τοιούτοις οὐχ ὑπακούοντος, οὐδὲ ἀποτρεπομένου, λέγεται, τὸν Σωκράτην, ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμου, εἰπεῖν, ὅτι οἱ ὑϊκὸν δοκοίη [τι] πάσχειν[2] ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκυνήσασθαι,[3] ὥσπερ τὰ ὑΐδια τοῖς λίθοις.

§ 31. Ἐξ ὧν δὴ καὶ ἐμίσει τὸν Σωκράτην ὁ Κριτίας, ὥστε καί, ὅτε, τῶν Τριάκοντα ὤν, νομοθέτης μετὰ Χαρικλέους ἐγένετο, ἀπεμνημόνευσεν αὐτῷ, καὶ ἐν τοῖς νόμοις ἔγραψε, λόγων τέχνην μὴ διδάσκειν, ἐπηρεάζων ἐκείνῳ, καὶ οὐκ ἔχων ὅπη ἐπιλάβοιτο, ἀλλὰ τὸ κοινῇ τοῖς φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον[2] ἐπιφέρων αὐτῷ, καὶ διαβάλλων πρὸς τοὺς πολλούς. Οὔτε γὰρ ἔγωγε αὐτὸς τοῦτο πώποτε Σωκράτους ἤκουσα[3], οὔτ' ἄλλου φάσκοντος ἀκηκοέναι ἠσθόμην.[4]

§ 32. Ἐδήλωσε δέ· ἐπεὶ γὰρ οἱ Τριάκοντα πολλοὺς μὲν τῶν πολιτῶν καὶ οὐ τοὺς χειρίστους ἀπέκτεινον, πολλοὺς δὲ προετρέποντο ἀδικεῖν, εἶπέ που ὁ Σωκράτης, ὅτι θαυμαστὸν οἱ δοκεῖ εἶναι, εἴ τις, γενόμενος βοῶν ἀγέλης νομεὺς καὶ τὰς βοῦς ἐλάττους τε καὶ χείρους ποιῶν, μὴ ὁμολογοίη κακὸς βουκόλος εἶναι· ἔτι δὲ θαυμαστότερον, εἴ τις, προστάτης γενόμενος πόλεως καὶ ποιῶν τοὺς πολίτας ἐλάττους καὶ χείρους μὴ αἰσχύνοιτο, μηδ' οἴοιτο κακὸς εἶναι προστάτης τῆς πόλεως.

§ 33. Ἀπαγγελθέντος δὲ αὐτοῖς τούτου, καλέσαντες ὅ τε Κριτίας καὶ ὁ Χαρικλῆς τὸν Σωκράτην, τόν τε νόμον ἐδείκνυτην αὐτῷ καὶ τοῖς νέοις ἀπειπέτην μὴ διαλέγεσθαι. Ὁ δὲ Σωκράτης ἐπήρετο αὐτώ, εἰ ἐξείη πυνθάνεσθαι, εἴ τι ἀγνοοῖτο τῶν προηγορευμένων· τὼ δ' ἐφάτην.

§ 34. Ἐγὼ τοίνυν, ἔφη, παρασκεύασμαι μὲν πείθεσθαι τοῖς νόμοις· ὅπως δὲ μὴ δι' ἄγνοιαν λάθω τι παρανομήσας, τοῦτο

μενα τοῖς πτωχοῖς.—§ 30. 2. ὅτι οἱ ὑϊκὸν δοκοίη τι πάσχειν κ. τ. λ.) ΗΔ ἡ προσθήκη τοῦ τι, τούτῳ διαφέρουσα ἧς ἕτεροι παρήνουν, ὅτι ἐκεῖνοι γράφειν ἠβούλοντο, ὅτι τι ὑϊκὸν κτλ. διαγράφοντες τὴν ἀντωνυμίαν. Τὴν δὲ τρίτην λέξιν διὰ διφθόγγου γράφουσι Φώτιός τε καὶ Σουΐδας, τοῦτο παρατιθέμενοι Ξενοφῶντος τὸ χωρίον, ἐξηγούμενοί τε, «Ἰεικόν, ὑὸς ἴδιον, χείρου ἔργον.» — 3. προσκυνήσασθαι) ΔΓ, προσκυᾶσθαι. — § 31. 2. τὸ κοινῇ τοῖς φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον) τὸ τὸν ἥττω λόγον κρείττω ποιεῖν, ὡς φησι Διογένης ὁ Λαέρτιος (β' 20). — 3. οὔτε γὰρ ἔγωγε αὐτὸς τοῦτο πώποτε Σωκράτους ἤκουσα κ. τ. λ.) Τοῦτο, ποῖον; Ὁ Σ. ἐξηγεῖται, τὸ κοινῇ τοῖς φιλοσόφοις ἐπιτιμώμενον. Ἴσως γραπτέον ΤΟΙΟΥΤΟ, τουτέστιν, οὐκ ἤκουσα πώποτε Σωκράτους τοιοῦτόν τι ποιοῦντος, οἷον ποιεῖν ἐφίλουν οἱ σοφισταί, τὸν ἥττω λόγον κρείττω δεικνύναι πειρώμενοι.— 4. οὔτ' ἄλλου φάσκοντος ἀκηκοέναι ἠσθόμην) Ἡ συνάρτησις, οὔτ' ἠσθόμην ἄλλου, φά-

βούλομαι σαφῶς μαθεῖν παρ' ὑμῶν, πότερον τὴν τῶν λόγων τέχνην σὺν τοῖς ὀρθῶς λεγομένοις εἶναι νομίζοντες, ἢ σὺν τοῖς μὴ ὀρθῶς,[2] ἀπέχεσθαι κελεύετε αὐτῆς. Εἰ μὲν γὰρ σὺν τοῖς ὀρθῶς, δῆλον ὅτι ἀφεκτέον εἴη τοῦ ὀρθῶς λέγειν· εἰ δὲ σὺν τοῖς μὴ ὀρθῶς δῆλον ὅτι πειρατέον ὀρθῶς λέγειν.

§ 35. Καὶ ὁ Χαρικλῆς ὀργισθεὶς αὐτῷ, ἐπειδή, ἔφη, ὦ Σώκρατες, ἀγνοεῖς, τάδε σοι εὐμαθέστερα ὄντα προαγορεύομεν, τοῖς νέοις ὅλως μὴ διαλέγεσθαι. Καὶ ὁ Σωκράτης, ἵνα τοίνυν, ἔφη, μὴ ἀμφίβολον ᾖ, ὡς ἄλλο τι ποιῶ ἢ τὰ προηγορευμένα, ὁρίσατέ μοι μέχρι πόσων ἐτῶν δεῖ νομίζειν νέους τοὺς ἀνθρώπους. Καὶ ὁ Χαρικλῆς, Ὅσου περ, εἶπε, χρόνου βουλεύειν οὐκ ἔξεστιν, ὡς οὔπω φρονίμοις οὖσι, μηδὲ σὺ διαλέγου νεωτέροις τριάκοντα ἐτῶν.[2]

§ 36. Μηδέ, ἄν τι ὠνῶμαι, ἔφη, ἢν πωλῇ νεώτερος τριάκοντα ἐτῶν, ἔρωμαι ὁπόσου πωλεῖ; Ναὶ τά γε τοιαῦτα,[2] ἔφη ὁ Χαρικλῆς· ἀλλά τοι σύ γε, ὦ Σώκρατες, εἴωθας, εἰδὼς πῶς ἔχει, τὰ πλεῖστα ἐρωτᾶν. Ταῦτα οὖν μὴ ἐρώτα. Μηδ' ἀποκρίνωμαι οὖν, ἔφη, ἄν τις με ἐρωτῶν τάχα ἐξετάσῃ, ποῦ οἰκεῖ Χαρικλῆς; ἢ, ποῦ ἐστι Κριτίας;

§ 37. Ναὶ τά γε τοιαῦτα, ἔφη, ὁ Χαρικλῆς. Ὁ δὲ Κριτίας, Ἀλλὰ τῶν δέ τοι σε ἀπέχεσθαι, ἔφη, δεήσει, ὦ Σώκρατες, τῶν σκυτέων[2] καὶ τῶν τεκτόνων καὶ τῶν χαλκέων· καὶ γὰρ οἶμαι αὐτοὺς ἤδη κατατετρίφθαι διαθρυλλουμένους ὑπὸ σοῦ. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῶν ἑπομένων τούτοις, τοῦ τε δικαίου[3] καὶ τοῦ ὁσίου καὶ τῶν ἄλλων τῶν τοιούτων; Ναὶ μὰ Δί', ἔφη ὁ Χαρικλῆς, καὶ τῶν βουκόλων γε· εἰ δὲ μή, φυλάττου, ὅπως μὴ καὶ σὺ ἐλάττους τὰς βοῦς ποιήσῃς.

§ 38. Ἐνθα καὶ δῆλον ἐγένετο, ὅτι, ἀπαγγελθέντος αὐτοῖς τοῦ περὶ τῶν βοῶν λόγου, ὠργίζοντο τῷ Σωκράτει. Οἷα μὲν οὖν ἡ συνουσία ἐγεγόνει Κριτίᾳ πρὸς Σωκράτην, καὶ ὡς εἶχον πρὸς ἀλλήλους, εἴρηται.

§ 39. Φαίην δ' ἂν ἔγωγε, μηδενὶ μηδεμίαν εἶναι παίδευσιν παρὰ τοῦ μὴ ἀρέσκοντος. Κριτίας δὲ καὶ Ἀλκιβιάδης, οὐκ ἀρέσκοντος αὐτοῖς Σωκράτους, ὡμίλησάτην, ὃν χρόνον ὡμιλείτην αὐτῷ, ἀλλ'

σκοντος ἀκηκοέναι.—§ 34. 2. σὺν τοῖς ὀρθῶς λεγομένοις ... ἢ σὺν τοῖς μὴ ὀρθῶς κ. τ. λ.) Ἀντὶ τῆς ἐν προθέσεως ἐκδεκτέον εἶναι τὴν Σὺν οἴεται ὁ Σ. — § 35. 2. νεωτέροις τριάκοντα ἐτῶν) Οὐκ ἐξὴν ἄρα βουλεύειν Ἀθήνησι νεώτερον ἐτῶν τριάκοντα Σ.—§ 36. 2. τά γε τοιαῦτα) ἐρώτα. — § 37. 2. τῶν σκυτέων κ. τ. λ.) Ἃ καὶ Καλλικλῆς ἐπιτιμᾷ τῷ Σωκράτει, παρὰ τῷ Πλάτωνι (Γοργ. § 39.) « Ἀντὶ σκυτέας τε καὶ »κναφέας καὶ μαγείρους λέγων καὶ ἰα»τροὺς οὐδὲν παύῃ. » — 3. καὶ τῶν ἑπομένων τούτοις, τοῦ τε δικαίου κ. τ. λ.) καὶ ἀπέχεσθαι τῶν ἑπομένων τοῖς σκυτεῦσι κ. τ. λ. τουτέστιν ἐκείνων τῶν λόγων, οὓς, ἐπιφέρειν εἴωθα τοῖς περὶ τῶν σκυτέων λόγοις, τοὺς περὶ τοῦ δικαίου

εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι τῆς πόλεως. Ἔτι γὰρ Σωκράτει συνόντες οὐκ ἄλλοις τισὶ μᾶλλον ἐπιχείρουν διαλέγεσθαι ἢ τοῖς μάλιστα πράττουσι τὰ πολιτικά.

§ 40. Λέγεται γάρ, Ἀλκιβιάδην, πρὶν εἴκοσιν ἐτῶν εἶναι, Περικλεῖ ἐπιτρόπῳ μὲν ὄντι ἑαυτοῦ, προστάτῃ δὲ τῆς πόλεως, τοιάδε διαλεχθῆναι περὶ νόμων.

§ 41. Εἰπέ μοι, φάναι, ὦ Περίκλεις, ἔχοις ἂν με διδάξαι, τί ἐστι νόμος; Πάντως δήπου, φάναι τὸν Περικλέα. Δίδαξον δή πρὸς τῶν θεῶν, φάναι τὸν Ἀλκιβιάδην· ὡς ἔγωγ' ἀκούων τινῶν ἐπαινουμένων, ὅτι νόμιμοι[2] ἄνδρες εἰσίν, οἶμαι μὴ ἂν δικαίως τούτου τυχεῖν τοῦ ἐπαίνου τὸν μὴ εἰδότα, τί ἐστι νόμος.

§ 42. Ἀλλ' οὐδέν τι χαλεποῦ πράγματος ἐπιθυμεῖς, ὦ Ἀλκιβιάδη, φάναι τὸν Περικλέα, βουλόμενος γνῶναι τί ἐστι νόμος· πάντες γὰρ οὗτοι νόμοι εἰσίν, οὓς τὸ πλῆθος συνελθὸν καὶ δοκιμάσαν ἔγραψε, φράζον ἃ τε δεῖ ποιεῖν καὶ ἃ μή. Πότερον δὲ τἀγαθὰ ἐνόμισαν[2] δεῖν ποιεῖν ἢ τὰ κακά; Τἀγαθά, νὴ Δία, φάναι, ὦ μειράκιον, τὰ δὲ κακά, οὔ.

§ 43. Ἐὰν δὲ μὴ τὸ πλῆθος, ἀλλ', ὥσπερ ὅπου ὀλιγαρχία ἐστίν, ὀλίγοι συνελθόντες γράψωσιν, ὅτι χρὴ ποιεῖν, ταῦτα τί ἐστι; Πάντα, φάναι, ὅσαγ' ἂν τὸ κρατοῦν τῆς πόλεως βουλευσάμενον ἃ χρὴ ποιεῖν γράψῃ, νόμος καλεῖται. Καὶ ἂν τύραννος οὖν κρατῶν τῆς πόλεως γράψῃ τοῖς πολίταις, ἃ χρὴ ποιεῖν, καὶ ταῦτα νόμος ἐστί; Καὶ ὅσα τύραννος ἄρχων, φάναι, γράφει, καὶ ταῦτα νόμος καλεῖται.

§ 44. Βία δὲ, φάναι, καὶ ἀνομία τί ἐστιν, ὦ Περίκλεις; ἆρ' οὐχ ὅταν ὁ κρείττων τὸν ἥττω μὴ πείσας, ἀλλὰ βιασάμενος ἀναγκάσῃ ποιεῖν ὅ τι ἂν αὐτῷ δοκῇ; Ἐμοί γε δοκεῖ, φάναι τὸν Περικλέα. Καὶ ὅσα ἄρα τύραννος μὴ πείσας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων, ἀνομία ἐστί. Δοκεῖ μοι, φάναι τὸν Περικλέα· ἀνατίθεμαι γάρ τοι, ὅσα τύραννος μὴ πείσας γράφει, νόμον εἶναι.

§ 45. Ὅτα δὲ οἱ ὀλίγοι τοῖς πολλοῖς μὴ πείσαντες ἀλλὰ κρατοῦντες γράφουσι, πότερον βίαν φῶμεν, ἢ μὴ φῶμεν εἶναι; Πάντα μοι δοκεῖ, φάναι τὸν Περικλέα, ὅσα τις μὴ πείσας ἀναγκάζει τινὰ ποιεῖν, εἴ τε γράφων, εἴ τε μή, βία μᾶλλον ἢ νόμος εἶναι. Καὶ ὅσα ἄρα τὸ πᾶν πλῆθος κρατοῦν τῶν

δηλονότι κ. τ. λ. ὡς ὀρθῶς ἐξηγήσαντο οἱ πρὸ ἡμῶν. — § 41. 2. νόμιμοι) ΔΓ νομικοί, ὃ καὶ ὁ B. ἐξέφρασε, διὰ τοῦ juris consulti. — §. 42. 2. ἐνόμισαν) νομίσαν ἔγραψαν ἐξ ΕΔ, ὅ τε Σ. καὶ ἕτεροι, συναρμόζοντες δηλονότι πρὸς τὰς προηγησαμένας οὐδετέρας μετοχάς. Προέχει ἡ ῥηματικὴ γραφὴ (ἐνόμισαν), ἣν ἡρμήνευσε καὶ ὁ B. sanxerunt.

τὰ χρήματα ἐχόντων, γράφει μὴ πεῖσαν, βία μᾶλλον ἢ νόμος ἂν εἴη.

§ 46. Μάλα τοι, φάναι τὸν Περικλέα, ὦ Ἀλκιβιάδη. Καὶ ἡμεῖς,[2] τηλικοῦτοι ὄντες, δεινοὶ τὰ τοιαῦτα ἦμεν· τοιαῦτα γὰρ καὶ ἐμελετῶμεν καὶ ἐσοφιζόμεθα, οἷά περ καὶ σὺ νῦν ἐμοὶ δοκεῖς μελετᾶν. Τὸν δὲ Ἀλκιβιάδην φάναι· Εἴθε σοι, ὦ Περίκλεις τότε συνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτα ἦσθα!

§ 47. Ἐπεὶ τοίνυν τάχιστα τῶν πολιτευομένων ὑπέλαβον κρείττονες εἶναι, Σωκράτει μὲν οὐκ ἔτι προσῆεσαν (οὔτε γὰρ αὐτοῖς ἄλλως ἤρεσκεν· εἴτε προσέλθοιεν, ὑπὲρ ὧν ἡμάρτανον ἐλεγχόμενοι ἤχθοντο), τὰ δὲ τῆς πόλεως ἔπραττον, ὥνπερ ἕνεκεν καὶ Σωκράτει προσῆλθον.

§ 48. Ἀλλὰ Κρίτων τε Σωκράτους ἦν ὁμιλητής, καὶ Χαιρεφῶν, καὶ Χαιρεκράτης, καὶ Ἑρμοκράτης, καὶ Σιμμίας, καὶ Κέβης, καὶ Φαιδώνδης,[2] καὶ ἄλλοι, οἱ ἐκείνῳ συνῆσαν, οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ', ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι, καὶ οἴκῳ καὶ οἰκέταις καὶ οἰκείοις καὶ φίλοις καὶ πόλει καὶ πολίταις δύναιντο καλῶς χρῆσθαι. Καὶ τούτων οὐδείς, οὔτε νεώτερος οὔτε πρεσβύτερος ὤν, οὔτ' ἐποίησε κακὸν οὐδέν, οὔτ' αἰτίαν ἔσχεν.

§ 49. Ἀλλὰ Σωκράτης γ', ἔφη ὁ κατήγορος, τοὺς πατέρας προπηλακίζειν ἐδίδασκε, πείθων μὲν τοὺς συνόντας, αὐ-

---

§ 42 6. Μάλα τοι . . . ὦ Ἀλκιβιάδη. Καὶ ἡμεῖς κ. τ. λ.] Οὕτως ἔστικται παρὰ πᾶσιν, ὥστε τὸ Μάλα τοι βεβαιωτικὸν εἶναι τῶν προλελεγμένων, Βία μᾶλλον ἢ νόμος ἂν εἴη. Εἰ δ' ἀντὶ τῆς μετὰ τὸ Ἀλκιβιάδη τελείας στιγμῆς, ὑποστίξοις μόνον, γράφων, «Μάλα τοι, φάναι τὸν Περικλέα, ὦ Ἀλκιβιάδη, καὶ ἡμεῖς, τηλικοῦτοι ὄντες, δεινοὶ τὰ τοιαῦτα ἦμεν,« ὁ νοῦς ἔσται, Μάλα τοι καὶ ἡμεῖς δεινοὶ ἦμεν. — §. 48. 2. Φαιδώνδης.] Φαιδώνδας γράφεται παρ' ἑτέροις (Διογ. Λαερτ. V. 80) εἴτ' αὐτὸς οὗτος, εἴθ' ὁμώνυμος τούτου· καὶ ἔστιν ἡ γραφὴ ἀναλογωτέρα, ἐπεκτάσει τοῦ Φαιδώνδου ὀνόματος, ὥσπερ ὁ Φρυνώνδας παρὰ τὸ Φρύνων, καὶ ὁ Χαρώνδας παρὰ τὸ Χάρων, καὶ ὁ Χαιρώνδας παρὰ τὸ Χαίρων, καὶ ὁ Διώνδας παρὰ τὸ Δίων. Ἀπόρηται δὲ περὶ τοῦ Ἐπαμινώνδας· οὐ γὰρ μόνον διὰ τοῦ ῑ ἀλλὰ καὶ διὰ διφθόγγου, ὡς πλειστάχου παρὰ τῷ Πλουτάρχῳ, Ἐπαμεινώνδας, καὶ παρὰ τῷ Ξενοφῶντι, ἔν γέ τισι τῶν ἀντιγράφων, εὕρηται. Ἡ μὲν οὖν διὰ τοῦ ῑ γραφὴ παρὰ τὸ Ἐπαμίνων κύριον ὄνομα ἐπεκτετᾶσθαι δηλοῖ· καὶ ἔοικε μαρτυρεῖν τούτῳ ἡ παρ' Ἱπποκράτει ἑκατέρου γραφή· ὁ γὰρ αὐτὸς αὐτῷ ἄρρωστος, Ἐπαμίνων καλεῖται (Ἐπιδημ. ά, τμ. β'. σελ. 663) καὶ »Ἐπαμινώνδας« (σελ. 669). Ἡ δὲ διὰ διφθόγγου, παρὰ τὸ Ἐπαμείνων, κύριον ὄνομα, ὅπερ εὕρηται παρὰ τῷ Ἀθηναίῳ (σελ. 217) κατὰ γενικὴν πτῶσιν »Ἐπαμείνονος, μετὰ ΔΓ, »Ἐπαμίνωνος,« ἄρχοντος Ἀθήνησιν, ὃν ὁ Σικελιώτης Διόδωρος (XII, 46) Ἐπαμινώνδαν καλεῖ. Ἀλλ' οὐδέτερον τούτων, οὔθ' ὁ Ἐπαμίνων, σημαίνει τί, τῶν Ἑλληνικῶν ὀνομάτων σημαντικῶν ὄντων. Μήποτε οὖν δέῃ γράφειν »Ἐπαμινώνδας» (ὥσπερ καὶ ὁ Κασωβὼν παρήνει τὸ παρὰ τῷ Ἀθηναίῳ »Ἐπαμείνονος« τρέπειν εἰς τὸ »Ἐπαμύνωνος), παρὰ τὴν «Ἐπαμυνῶν μετοχήν· ὥσπερ γὰρ παρὰ τὴν ἁπλῆν, «Ἀμύνων,« παρήχθη κύριον ὄνομα ὁ παρὰ τῷ Κωμικῷ (Νεφ. 686) «Ἀμυνίας,« οὐκ ἀπεικὸς καὶ παρὰ τὴν σύνθετον γεγονέναι τὸν »Ἐπαμύνωνα» καὶ τὸν »Ἐπαμυνώνδα· — §. 49. 2. πείθων μὲν τοὺς συνόντας, αὐτοὺς

τοὺς σοφωτέρους ποιεῖν τῶν πατέρων,[2] φάσκων δὲ, κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι, τεκμηρίῳ χρώμενος, ὡς τὸν ἀμαθέστερον ὑπὸ τοῦ σοφωτέρου νόμιμον εἴη δεδέσθαι.

ζ 50. Σωκράτης δὲ τὸν μὲν ἀμαθίας ἕνεκα δεσμεύοντα δικαίως ἂν καὶ αὐτὸν ὥετο δεδέσθαι ὑπὸ τῶν ἐπισταμένων, ἃ μὴ αὐτὸς ἐπίσταται· καὶ τῶν τοιούτων ἕνεκα πολλάκις ἐσκόπει τί διαφέρει μανίας ἀμαθία· καὶ τοὺς μὲν μαινομένους ὥετο συμφερόντως ἂν δεδέσθαι καὶ αὐτοῖς καὶ τοῖς φίλοις, τοὺς δὲ μὴ ἐπισταμένους τὰ δέοντα δικαίως ἂν μανθάνειν παρὰ τῶν ἐπισταμένων.

ζ 51. Ἀλλὰ Σωκράτης γε, ἔφη ὁ κατήγορος, οὐ μόνον τοὺς πατέρας, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς ἐποίει ἐν ἀτιμίᾳ εἶναι παρὰ τοῖς αὐτῷ συνοῦσι, λέγων, ὡς οὔτε τοὺς κάμνοντας οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροί, τοὺς δὲ οἱ συνδικεῖν ἐπιστάμενοι.

ζ 52. Ἔφη δὲ, καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν, ὡς οὐδὲν ὄφελος εὔνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δυνήσονται· μόνους δὲ φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα, καὶ ἑρμηνεῦσαι δυναμένους. Ἀναπείθοντα οὖν τοὺς νέους αὐτὸν ὡς αὐτὸς εἴη σοφώτατός τε καὶ ἄλλους ἱκανώτατος ποιῆσαι σοφοὺς, οὕτω διατιθέναι τοὺς αὐτῷ συνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν.[2]

ζ 53. Ἐγὼ δὲ αὐτὸν οἶδα μὲν καὶ περὶ πατέρων τε καὶ τῶν ἄλλων συγγενῶν *τε* καὶ περὶ φίλων ταῦτα λέγοντα· καὶ πρὸς τούτοις γε, ὅτι, τῆς ψυχῆς ἐξελθούσης, ἐν ᾗ μόνῃ γίγνε-

---

σοφωτέρους ποιεῖν τῶν πατέρων,] Οἱ πρὸ ἐμοῦ ἔγραψαν «πείθων μὲν τοὺς »συνόντας αὐτῷ σοφωτέρους ποιεῖν τῶν »πατέρων». Καὶ καλῶς ἂν εἶχεν, εἰ προσετίθεταν τὸ φερόμενον παρά τισιν αὐτοὺς, ἢ ἑαυτοὺς, μετὰ τὸ «σοφωτέρους.« Συντομώτερον ἔδοξέ μοι τρέπειν τὴν ἀντωνυμίαν αὐτῷ εἰς τὴν αὐτοὺς, ἄλλως τε καὶ ἐπεὶ Ξενοφῶν πολλάκις καὶ κατ' ἔλλειψιν τῆς ὀρθικῆς φιλεῖ χρῆσθαι τῷ Συνόντας, οἷον ἐν τοῖς ἑξῆς A, IV, §. 1. VI, §. 3, καὶ ἀλλαχοῦ. — §. 52. 2. μηδαμοῦ . . . εἶναι πρὸς ἑαυτὸν,] μηδενὸς ἀξίους κρίνεσθαι, ἐν μηδενὶ λόγῳ εἶναι ἢ τιμῇ τοὺς ἄλλους παραβαλλομένους πρὸς ἑαυτόν. Τοιοῦτόν ἐστι καὶ τὸ τοῦ Πλάτωνος (Γοργ. §. 11, σελ. 160)· «ΟΥ'ΔΑΜΟΥ ἂν φανῆναι τὸν »ἰατρόν» τουτέστι φανῆναι οὐδενὸς ἄξιον (Γαλλ. un homme de rien). Καὶ τὸ τοῦ Σοφοκλέους δὲ (Ἀντιγ. 182),

Καὶ μεῖζον' ὅστις ἀντὶ τῆς αὑτοῦ
πάτρας,
Φίλον νομίζει, τοῦτον ΟΥΔΑΜΟΥ,
λέγω,

τουτέστιν, οὐδενὸς ἄξιον κρίνω, ἐν οὐδενὶ λόγῳ τίθεμαι. Οὐδαμινοὶ δὲ καὶ παρ' αὐτοῖς τοῖς βαρβάροις ὠνομάζοντο οἱ τὴν ζωὴν τῆς ἐλευθερίας προαιρούμενοι· παραπλησίῳ γὰρ κἀκεῖνοι κηρύγματι τοὺς οἰκείους ἐκάλουν εἰς μάχας: Quiconque n'est pas un homme DE RIEN, sorte de sa maison et vienne, «Οστις ἂν μὴ τῶν ΜΗΔΑΜΟΥ »ἀνθρώπων τυγχάνῃ ὤν, καταλιπὼν τὴν οἰκίαν παραγιγνέσθω» (Aug. THIERRY, Histoir. dela conquête d'Angleterre par les Normands, tom. I, pag. 113.

παι φρόνησις, τὸ σῶμα τοῦ οἰκειοτάτου ἀνθρώπου τὴν ταχίστην ἐξενέγκαντες ἀφανίζουσιν.

§ 54. Ἔλεγε δὲ, ὅτι καὶ ζῶν ἕκαστος ἑαυτοῦ, ὃ πάντων μάλιστα φιλεῖ, τοῦ σώματος ὅ τι ἂν ἀχρεῖον ᾖ καὶ ἀνωφελὲς, αὐτός τε ἀφαιρεῖ καὶ ἄλλῳ παρέχει[2]. Αὐτοί τε γὰρ αὐτῶν ὄνυχάς τε καὶ τρίχας καὶ τύλους[3] ἀφαιροῦσι, καὶ τοῖς ἰατροῖς παρέχουσι μετὰ πόνων τε καὶ ἀλγηδόνων καὶ ἀποτέμνειν καὶ ἀποκάειν, καὶ τούτου χάριν οἴονται δεῖν αὐτοῖς καὶ μισθὸν τίνειν· καὶ τὸ σίκλον ἐκ τοῦ στόματος ἀποπτύουσιν ὡς δύνανται πορρωτάτω, διότι ὠφελεῖ μὲν οὐδὲν αὐτοὺς ἐνόν, βλάπτει δὲ πολὺ μᾶλλον.

§ 55. Ταῦτα μὲν οὖν ἔλεγεν, οὐ τὸν μὲν πατέρα ζῶντα κατορύττειν διδάσκων, ἑαυτὸν δὲ κατατέμνειν· ἀλλ' ἐπιδεικνύων, ὅτι τὸ ἄφρον ἄτιμόν ἐστι. Καὶ παρεκάλει ἐπιμελεῖσθαι τοῦ ὡς φρονιμώτατον εἶναι καὶ ὠφελιμώτατον, ὅπως, ἐάν τε ὑπὸ πατρὸς ἐάν τε ὑπὸ ἀδελφοῦ ἐάν τε ὑπ' ἄλλου τινὸς βούληται τιμᾶσθαι, μὴ, τῷ οἰκοῖος εἶναι πιστεύων, ἀμελῇ, ἀλλὰ πειρᾶται, ὑφ' ὧν ἂν βούλοιτο[2] τιμᾶσθαι, τούτοις ὠφέλιμος εἶναι.

§ 56. Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα, καὶ τούτοις μαρτυρίοις χρώμενον, διδάσκειν τοὺς συνόντας κακούργους εἶναι καὶ τυραννικούς· Ἡσιόδου μὲν τὸ,

Ἔργον δ' οὐδὲν ὄνειδος[2], ἀεργείη δὲ τ' ὄνειδος,

[καὶ] τοῦτο δὴ λέγειν[3] αὐτὸν, ὡς ὁ ποιητὴς κελεύει μηδενὸς ἔργου, μήτε ἀδίκου μήτε αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει.

§ 57. Σωκράτης δ' ἐπεὶ διωμολογήσατο, τὸ μὲν ἐργάτην εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακὸν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθὸν, τὸ δὲ ἀργεῖν κακόν· τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαί τε ἔφη, καὶ ἐργάτας *ἀγαθοὺς* εἶναι· τοὺς δὲ κυβεύοντας ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας ἀργοὺς ἀπεκάλει. Ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δὲ τ' ὄνειδος.

§ 58. Τὸ δὲ Ὁμήρου ἔφη ὁ κατήγορος πολλάκις αὐτὸν λέγειν, ὅτι Ὀδυσσεὺς

---

§ 54. 2. παρέχει] ἀφαιρεῖν. — 3. τύλους,] des cors, Γαλλιστί. Ἡ δὲ παρ' ἡμῖν συνήθεια »Πέτσιασμα» καλεῖ τὸν τύλον, οἱονεί τοῦ πετσίου (ὅ ἐστι τοῦ δέρματος) παχυσμὸν ὄντα. — §. 55. 2. ὑφ' ὧν ἂν βούλοιτο.] ΔΓ. . . βούληται. § 56. 2. Ἔργον δ' οὐδὲν ὄνειδος κ. τ. λ.] Ἐκ τῶν Ἡσιόδου (Ἔργ. καὶ ἡμ. 311.) — 3. καὶ τοῦτο δὴ λέγειν] Ἐκ ΔΓ προσείληφα τὸν πρῶτον σύνδεσμον. —

Ὅντινα μὲν βασιλῆα2 καὶ ἔξοχον ἄνδρα κιχείη,
Τόνδ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
Δαιμόνι', οὔ σε ἔοικε, κακὸν ὡς, δειδίσσεσθαι,
Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Οὐ δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ·
Δαιμόνι', ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε,
Οἳ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
Οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ.

Ταῦτα δὲ αὐτὸν ἐξηγεῖσθαι[3], ὡς ὁ Ποιητὴς ἐπαινοίη παίεσθαι τοὺς δημότας[4] καὶ πένητας.

§ 59. Σωκράτης δ' οὐ ταῦτ' ἔλεγεν (καὶ γὰρ ἑαυτὸν[2] οὕτω γ' ἂν ᾤετο δεῖν παίεσθαι), ἀλλ' ἔφη, δεῖν τοὺς μήτε λόγῳ μήτε ἔργῳ ὠφελίμους ὄντας, καὶ μήτε στρατεύματι μήτε πόλει μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι δέοι, βοηθεῖν ἱκανοὺς, ἄλλως τε [καὶ] ἐὰν πρὸς τούτῳ καὶ θρασεῖς ὦσι, πάντα τρόπον κωλύεσθαι, κἂν πάνυ πλούσιοι τυγχάνωσιν ὄντες.

§ 60. Ἀλλὰ Σωκράτης γε, τἀναντία τούτων, φανερὸς ἦν καὶ δημοτικὸς καὶ φιλάνθρωπος ὤν. Ἐκεῖνος γὰρ πολλοὺς ἐπιθυμητὰς καὶ ἀστοὺς καὶ ξένους λαβών, οὐδένα πώποτε μισθὸν τῆς συνουσίας ἐπράξατο, ἀλλὰ πᾶσιν ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ· ὧν τινες μικρὰ μέρη, παρ' ἐκείνου προῖκα λαβόντες, πολλοῦ τοῖς ἄλλοις ἐπώλουν,[2] καὶ οὐκ ἦσαν, ὥσπερ ἐκεῖνος, δημοτικοί. Τοῖς γὰρ μὴ ἔχουσι χρήματα διδόναι οὐκ ἤθελον διαλέγεσθαι.

§ 61. Ἀλλὰ Σωκράτης γε καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους κόσμον τῇ πόλει παρεῖχε, πολλῷ μᾶλλον ἢ Λίχας τῇ Λακεδαιμονίων, ὃς ὀνομαστὸς ἐπὶ τούτῳ γέγονε. Λιχας μὲν γὰρ[2] ταῖς γυμνοπαιδείαις τοὺς ἐπιδημοῦντας ἐν Λακεδαίμονι ξένους ἐδείπνιζε· Σωκράτης δὲ, διὰ παντὸς τοῦ βίου τὰ ἑαυτοῦ δα-

---

§. 58. 2. Ὅντινα μὲν βασιλῆα κ. τ. λ.] Ἐκ τῆς Ὁμήρου Ἰλιάδος (β΄, 188-191, καὶ 198-202). — 3. Ταῦτα ΔΕ αὐτὸν ἐξηγεῖσθαι.] ΗΔ, ἀντὶ τοῦ ΔΗ, συνάδουσα καὶ τῷ B. hæc vero eum interpretari. — 4. δημότας.] Σεσημείωται τοῦτο, ὡς ἴδιον Ξενοφῶντος, τῶν λοιπῶν Ἀττικῶν συγγραφέων, δημοτικοὺς νομιζόντων λέγειν, ὡς φησιν ὁ Ζωναρᾶς ἐν τῷ Λεξικῷ, «Δημότην οἱ Ἴωνες τὸν τῶν »πολλῶν ἕνα· οὕτως καὶ Ἡρόδοτος· τῶν »δὲ Ἀττικῶν μόνος Ξενοφῶν. Οἱ δ' ἄλ»λοι τοῦτον μὲν δημοτικόν· δημότην δὲ »τὸν τοῦ αὐτοῦ δήμου, ὡς φυλέτην, τὸν αὐτῆς φυλῆς, καὶ λοχίτην, τὸν ἐν τῷ αὐτῷ λόχῳ κατατεταγμένον.» — § 59. 2. καὶ γὰρ ἑαυτὸν,] ὄντα πένητα. — ἄλλως τε [καὶ] ἐὰν.] ΗΔ, ἡ προσθήκη τοῦ δευτέρου συνδέτμου· ἐγράφετο γὰρ, ἄλλως τ' ἐάν. — § 60. 2. Προῖκα λαβόντες . . . . ἐπώλουν.] Τὸν Ἀρίστιππον αἰνίττεται, ὃς πρῶτος μισθοὺς εἰσεπράξατο, ὧν, ἀμιτθὶ Σωκράτους ἠκηκόει μαθημάτων (Ἴδε Διογέν. Λαέρτ. II, 65). — § 61. 2. Λίχας μὲν γὰρ κ. τ. λ.] Προσθετέον ἴσως τὴν πρόθεσιν (Λίχας μὲν γὰρ ἐν) ἐκ τοῦ Πλουτάρχου, ὃς μνημονεύει τοῦ Λίχα ἐν ἄλλοις

πανῶν, τὰ μέγιστα πάντας τοὺς βουλομένους ὠφέλει· βελτίους γὰρ ποιῶν τοὺς συγγιγνομένους ἀπέπεμπεν.

§ 62. Ἐμοὶ μὲν δὴ Σωκράτης, τοιοῦτος ὢν, ἐοίκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου· καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις τοῦθ' εὕροι. Κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλεπτῶν ἢ λωποδυτῶν ἢ βαλαντιοτομῶν ἢ τοιχορυχῶν ἢ ἀνδραποδιζόμενος ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν.

§ 63. Ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς συμβάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο. Οὐδὲ μὴν ἰδίᾳ γε οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέβαλεν· ἀλλ' οὐδ' αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ' ἔσχε.

§ 64. Πῶς οὖν ἔνοχος ἂν εἴη τῇ γραφῇ; ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν θεούς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, φανερὸς ἦν θεραπεύων τοὺς θεοὺς μάλιστα πάντων[2] ἀνθρώπων· ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, ὅ δὴ ὁ γραψάμενος αὐτὸν ᾐτιᾶτο, φανερὸς ἦν τῶν συνόντων τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ἡ πόλις τε καὶ οἴκους εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν· ταῦτα δὲ πράττων, πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;

ΚΕΦΑΛΑΙΟΝ III.

§ 1. Ὡς δὲ δὴ καὶ ὠφελεῖν ἐδόκει μοι τοὺς ξυνόντας, τὰ μὲν ἔργῳ δεικνύων ἑαυτὸν οἷος ἦν, τὰ δὲ καὶ διαλεγόμενος, τούτων δὴ γράψω, ὁπόσα ἂν[2] διαμνημονεύσω. Τὰ μὲν τοίνυν πρὸς τοὺς θεοὺς φανερὸς ἦν καὶ ποιῶν καὶ λέγων, ἥπερ ἡ Πυθία ὑποκρίνεται τοῖς ἐρωτῶσι, πῶς δεῖ ποιεῖν, ἢ περὶ θυσίας ἢ περὶ προγόνων θεραπείας ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων· ἥ τε γὰρ Πυθία νόμῳ πόλεως ἀναιρεῖ ποιοῦντας εὐσεβῶς ἂν ποιεῖν, Σωκράτης τε οὕτω καὶ αὐτὸς ἐποίει καὶ τοῖς ἄλλοις παρῄνει, τοὺς δὲ ἄλλως πως ποιοῦντας περιέργους καὶ ματαίους ἐνόμιζεν εἶναι.

§ 2. Καὶ εὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας ὁποῖα τἀγαθά ἐστι· τοὺς δὲ εὐχομένους χρυσίον ἢ ἀργύριον ἢ τυραννίδα ἢ ἄλλο τι τῶν τοιούτων οὐδὲν διάφορον ἐνόμιζεν εὔχεσθαι, ἢ εἰ κυβείαν ἢ μάχην ἢ ἄλλο τι εὔχοιντο τῶν φανερῶς ἀδήλων ὅπως ἀποβήσοιτο.

τε (Κίμ. §. 10.) καὶ ἐν τοῖς Πολιτικοῖς παραγγέλμασι (Πλουτάρχ. τὰ Πολιτικ. xxxi, pag. 99, ἐμ. ἐκδ.)

§ 64. 2. μάλιστα πάντων] Ἐκ ΔΓ, ΑΤ, μάλιστα τῶν ἄλλων.

§ 1. 2. ὁπόσα ἄν] ΔΓ, ὁπόσων ἄν. —

§ 3. Θυσίας δὲ θύων μικρὰς ἀπὸ μικρῶν, οὐδὲν ἡγεῖτο μειοῦσθαι τῶν ἀπὸ πολλῶν καὶ μεγάλων πολλὰ καὶ μεγάλα θυόντων. Οὔτε γὰρ τοῖς θεοῖς ἔφη καλῶς ἔχειν, εἰ ταῖς μεγάλαις θυσίαις μᾶλλον ἢ ταῖς μικραῖς ἔχαιρον (πολλάκις γὰρ ἂν αὐτοῖς τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἢ τὰ παρὰ τῶν χρηστῶν εἶναι κεχαρισμένα)· οὔτ' αὖ τοῖς ἀνθρώποις ἄξιον εἶναι ζῆν, ἢ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἢν κεχαρισμένα τοῖς θεοῖς ἢ τὰ παρὰ τῶν χρηστῶν·[2] ἀλλ' ἐνόμιζε τοὺς θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων[3] τιμαῖς μάλιστα χαίρειν. Ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου,

Καδδύναμιν[4] δ' ἔρδειν ἱερ' ἀθανάτοισι θεοῖσι.

καὶ πρὸς φίλους δὲ καὶ ξένους καὶ πρὸς τὴν ἄλλην δίαιταν καλὴν ἔφη παραίνεσιν εἶναι τὴν Καδδύναμιν[5] ἔρδειν.

---

§. 3. 2. τοῖς θεοῖς ἔφη καλῶς ἔχειν, εἰ... οὔτ' αὖ τοῖς ἀνθρώποις ἄξιον εἶναι ΖΗΝ, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἢν κεχαρισμένα ΤΟΙΣ ΘΕΟΙΣ ἢ τὰ παρὰ τῶν χρηστῶν.] Ὑποπτον ἔδοξε τοῖς κριτικοῖς τὸ προλειμένον χωρίον· ὧν τινες καὶ τὸ ΖΗΝ καὶ τὸ ἑπόμενον ΤΟΙΣ ΘΕΟΙΣ ἀφώρισαν ὅλως τοῦ κειμένου· ἕτεροι δὲ ἀφοριστέον εἶναι γνόντες τὸ πρῶτον, τό γε ΤΟΙΣ ΘΕΟΙΣ μεταποιητέον εἶναι ἔκριναν εἰς τὴν ἀντωνυμίαν, ΑΥΤΟΙΣ, ἀναφερομένην εἰς τὸ τοῖς ἀνθρώποις, ὡς εἶναι τὸν νοῦν, Οὔτε τοῖς ἀνθρώποις ἄξιον εἶναι, εἰ ἔχαιρον μᾶλλον οἷς λαμβάνουσι δώροις παρὰ τῶν πονηρῶν ἢ οἷς λαμβάνουσι παρὰ τῶν χρηστῶν. Ἄμεινον ἔμοιγε δοκεῖ, ὥσπερ καὶ ἑτέροις ἔδοξε, κατὰ χώραν ἐῶντας τὴν γραφήν, ἐξηγεῖσθαι οὕτως, Ἔλεγεν ὁ Σωκράτης, οὔτε τοῖς θεοῖς πρέπον εἶναι ταῖς μεγάλαις μᾶλλον ἢ ταῖς μικραῖς χαίρειν θυσίαις· εἰ γὰρ τοῦτο οὕτως εἶχε, τουτέστιν, εἰ ταῖς μεγάλαις μᾶλλον ἔχαιρον, συνέβαινεν ἂν πολλάκις αὐτοῖς ἀποδέχεσθαι μᾶλλον τὰς προσφερομένας παρὰ τῶν πονηρῶν, εἰ πλούσιοι ὄντες καὶ πλουσίως θύειν εἶχον, ἢ τὰς παρὰ τῶν χρηστῶν, εἰ τύχοιεν οὗτοι μικρὰ θύοντες διὰ πενίαν· οὔτε πάλιν τοῖς ἀνθρώποις ἄξιον εἶναι ζῆν, εἰ οἱ θεοὶ ταῖς παρὰ τῶν πονηρῶν πλουσίων θυσίαις ἔχαιρον μᾶλλον, ἢ ταῖς παρὰ τῶν χρηστῶν πενήτων· ἄθικοι γὰρ ἂν οὕτως ἦσαν οἱ θεοί, οὐδ' ἂν τοῖς ἀνθρώποις εἶχε καλῶς, ὑπὸ θεῶν ἀδίκων κυβερνᾶσθαι.— 3. ταῖς παρὰ τῶν εὐσεβεστάτων,] κἂν ὦσι πένητες, καὶ μικρὰ θύωσι.— 4. Καδδύναμιν.] Ἐκ τῶν Ἡσιόδου (Ἔργ. καὶ ἡμ. 356.) Ἔστι δὲ, Κατὰ δύναμιν, ἀπὸ προθέσεως ἀποκοπὴν παθούσης, καὶ τροπὴν δὲ τοῦ συμφώνου εἰς τὸ Δ διὰ τὸ ἐχόμενον ἕτερον Τ, οἷα πάσχει καὶ εἰς τὸ Γ, ἐν τῷ Καγγόνυ, ἀντὶ τοῦ κα ἀγόνυ, καὶ εἰς τὸ Λ, ὡς τὸ παρὰ Ἡσυχίῳ «Ἀλλάμπαν, τὸν ἥλιον» ἀντὶ τοῦ Ἀνίαλάμπην, καὶ εἰς ἕτερα στοιχεῖα, τὰ αὐτὰ τοῖς ἀρκτικοῖς τῆς ἐχομένης λέξεως, ἢ εἰς τὰ σύστοιχα τούτων, ὡς ἐν τῷ Καπφάλαρα, ἀντὶ τοῦ Κατὰ φάλαρα. Καὶ ταῦτα μέν ἐστι καὶ παρὰ τῶν γραμματικῶν μαθεῖν· ἐμοὶ δὲ λελέχθων, εἴπως ἀπὸ τούτων τε καὶ τῶν τοιούτων διορθοῦν ἔσται μοι τὸ τέως ἀδιόρθωτον Ἀνακρέοντος χωρίον τό δε (Μελ. Θ΄, 30), ἐν ᾧ ἡ περιστερά φησι,

Πιοῦσα δ' ἌΝ ΧΟΡΕΥΣΩ
Καὶ δεσπότην ἐμοῖσι
Πτεροῖσι συγκαλύψω,

γράφοντι, ΑΓΧΟΡΕΥΣΩ, τουτέστιν, ἀναχορεύσω, ᾧ χρῆται πολλάκις ὁ Εὐριπίδης, οἷον (Βακχ. 1151.)

Ἀναχορεύσωμεν Βακχεῖον·
Ἀναβοάσωμεν συμφοράν, κ.τ.λ.

Ἔστι δὲ εἰκοτολογῆσαι τὴν διόρθωσιν καὶ ἐξ αὐτοῦ Ἀνακρέοντος, φήσαντος ἀλλαχοῦ (Μέλ. μά),

Δι' ὃν ἀμπαύεται λύπα,

ἀντὶ τοῦ, ἀναπαύεται· καὶ αὖθις (Ἐπιγραφ. β΄),

Ἄγχειται Κρονίδᾳ, κτλ.

ἀντὶ τοῦ ἀνάκειται. Τὸ δὲ μάλιστα πάντων παραπλήσιον τῷ ἡμετέρῳ Ἀγχορεύσω, ἔστι τὸ ἐν τῇ τελευταίᾳ ἐκδόσει τοῦ Σνειδεριανοῦ Λεξικοῦ καταχω-

§ 4. Εἰ δέ τι δόξειεν αὐτῷ σημαίνεσθαι παρὰ τῶν θεῶν, ἧττον ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενά [τι] ποιῆσαι[2] ἢ εἴ τις αὐτὸν ἔπειθεν ὁδοῦ λαβεῖν ἡγεμόνα τυφλὸν καὶ μὴ εἰδότα τὴν ὁδόν, ἀντὶ βλέποντος καὶ εἰδότος· καὶ τῶν ἄλλων δὲ μωρίαν κατηγόρει, οἵτινες παρὰ τὰ παρὰ τῶν θεῶν σημαινόμενα ποιοῦσί τι, φυλαττόμενοι τὴν παρὰ τοῖς ἀνθρώποις ἀδοξίαν. Αὐτὸς δὲ πάντα τἀνθρώπινα ὑπερεώρα πρὸς τὴν παρὰ τῶν θεῶν ξυμβουλίαν.[3]

§ 5. Διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη,[2] θαρραλέως καὶ ἀσφαλῶς διάγοι, καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης. Οὕτω γὰρ εὐτελὴς ἦν, ὥστε οὐκ οἶδ' εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο, ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα. Σίτῳ μὲν γὰρ[3] τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἥσθιε· καὶ ἐπὶ τοῦτον οὕτω παρασκευασμένος ἦει, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον[4] αὐτῷ εἶναι· ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη.

§ 6. Εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν ὥστε φυλάξασθαι, τὸ ὑπὲρ

ρισθὲν Ἀγχάσκω, ἀντὶ τοῦ Ἀναχάσκω. Τοιοτοῦτόν ἐστι καὶ τὸ τοῦ Ἡσυχίου, «Ἀγχάσασθαι, ἀναχωρῆσαι» ἀντὶ τοῦ Ἀναχάσασθαι· καὶ τὸ, «ΑΓΧΡΙΑΝΑΣΘΑΙ, περιαλείψασθαι, ἢ «λούσασθαι» εἰ τρέποις τὴν πρώτην λέξιν εἰς τὴν ΑΓΧΡΙΑΝΑΣΘΑΙ, παρὰ τὸ Χραίνειν, ὅ ἐστι χρίειν. Ἐλπιστέον οὖν, ὅτι καταχωρισθήσεταί ποτε ἐν τοῖς Λεξικοῖς τὸ τέως ἠγνοημένον Ἀναχρεόντειον Ἀγχορεύω.— 5. Τὴν Καδδύναμιν ἔρδην.] Ἐνταῦθα δὲ τὸ ἔρειν, πράττειν ἐστί, οὐχ ὡς ἀνωτέρω, θυσιάζειν· ἀμφότερα γὰρ σημένει. Ἔρδειν, πράττειν, »θυσιάζειν.» Ἡσυχ. —

§ 2. Υ. Σ. παρὰ τὰ σημαινόμενά τι ποιῆσαι] ΗΔ, ἡ προσθήκη τοῦ ἐγκλιτικοῦ.— § 4, 3. ξυμβουλίαν.] Μετὰ τὴν λέξιν ταύτην, ἐξερρύηκέναι τι τοῦ χωρίου ὑπολαβὼν ὁ Σ. στιγμαῖς ἐδήλωτι τὰ λείποντα· ἕτεροι δ' οὐδὲν ἐλλείπειν ἀπεφήναντο.— § 5. 2. εἰ μή τι δαιμόνιόν ἴη,] ἢν μή τις θεὸς βλάπτῃ, ἢ ἀποκωλύῃ, ὡς ἐν ἄλλοις ἐξέφρασεν ὁ Ξενοφῶν, σημειωσαμένου τοῦ Σ. Ἔστι δὲ τοῦτο παραπλήσιον τῷ παρὰ τοῖς Γάλλοις δημωδεστέρως λεγομένῳ, à moins que le diaple ne s'en mêle — 3. Σίτῳ μὲν γὰρ κτλ.] Οὐκ ἐπὶ τοῦ ἄρτου ἰδίως ἀλλ' ἐπὶ τῆς τροφῆς ἢ βρώσεως ἁπλῶς ὧδε τέτακται ὁ Σῖτος ἢ τὸ Σῖτον, ἢ Σιτίον. λέγεται γὰρ καὶ ταῦτα. Εἰκὸς γὰρ τοὺς ἀρχαίους τῆς ἀγρίας τροφῆς ἀπηλλαγμένους, τῷ λεγομένῳ κυρίως σίτῳ μόνῳ πρῶτον χρῆσθαι, εἶτα, καὶ προσγενομένων, ἑτέρων τροφῶν, πλείστῳ πασῶν ὅμως πάλιν καταρχὰς τῷ σίτῳ χρῆσθαι· ἔνθεν ἐξενίκησε συνεκδοχικῶς καὶ πᾶσα τροφὴ Σῖτος καλεῖσθαι, ἐξ οὗ καὶ ῥῆμα τὸ Σιτεῖσθαι ἢ Σιτίζεσθαι, οὐδὲν πλέον σημαῖνον τοῦ ἐσθίειν, καὶ ὄνομα θηλυκὸν ἡ Σίτησις, ἡ προσφορὰ δηλονότι τῆς τροφῆς Ἐντεῦθέν ἐστιν ἴσως θηράσασθαι καὶ τὴν μήπω εὑρεθεῖσαν ἐτυμολογίαν τοῦ παρὰ τοῖς Γερμανοῖς Mahl, τοῦ σημαίνοντος τὴν βρῶσιν· ἔοικε γὰρ τοὔνομα τῆς αὐτῆς εἶναι φύσεως καὶ παραγωγῆς ἥσπερ καὶ τὸ Mehl, τὸ δηλοῦν τὸ ἄλευρον. Παραπλήσιόν τι πέπονθε καὶ παρὰ τοῖς Σίναις (Chinois.), τὸ τῆς ὀρύζης (τὴν αὐτὴν ἐκείνοις χρείαν παρεχομένης τῷ παρ' ἡμῖν σίτῳ) ὄνομα Φάν· σημαίνει γὰρ οὐ μόνον τὴν κυρίως ὄρυζαν, ἀλλὰ καὶ πᾶσαν ἁπλῶς τροφήν· ὥστε τὸ μὲν ἀκρότισμα Τσαοφὰν (τουτέστι πρωϊνὴν ὄρυζαν) τὸ δὲ δεῖπνον Οὐαναφάν (τουτέστιν ἑσπερινὴν ὄρυζαν) καλεῖσθαι. (Ἰδ. Voyag. EN CHINE, PAR BARROW.) — Ὄψον,] ὅπερ ἡ παρ' ἡμῖν συνήθεια Προσφάγιον ὀνομάζει, οἱονεὶ πρὸς τῷ ἄρτῳ ἢ σὺν τῷ ἄρτῳ φάγιον. Ἐνδεῖ τοῖς Γάλλοις ὄνομα σημαντικὸν, τοῦ ὄψου· διὸ καί τις τῶν παρ' αὐτοῖς φιλολόγων παρήνει πάλαι καλεῖν αὐτὸ Companage, ὡς ἄν τις φαίη, Προσάρτιον, ἢ Συνάρτιον τουτέστι πᾶν

τὸν καιρὸν[2] ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. Τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν συνεβούλευε φυλάττεσθαι τὰ ἀναπείθοντα μὴ πινῶντας ἐσθίειν, μηδὲ διψῶντας πίνειν· καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας καὶ κεφαλὰς καὶ ψυχὰς ταὐτ' ἔφη εἶναι.

§ 7. Οὐκ οἴεσθε δ', ἔφη ἐπισκώπτων, καὶ τὴν Κίρκην[2] ὗς ποιεῖν, τοιούτοις πολλοῖς δειπνίζουσαν· τὸν δὲ Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ, καὶ αὐτὸν ἐγκρατῆ ὄντα, καὶ ἀποσχόμενον τοῦ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐδὲ γενέσθαι ὗν;

§ 8. Τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων· ἀφροδισίων δέ,[2] παρήνει τῶν καλῶν ἰσχυρῶς ἀπέχεσθαι· οὐ γὰρ ἔφη ῥᾴδιον εἶναι τῶν τοιούτων ἁπτόμενον σωφρονεῖν. Ἀλλὰ καὶ Κριτόβουλόν ποτε τὸν Κρίτωνος πυθόμενος, ὅτι ἐφίλησε τὸν Ἀλκιβιάδου υἱὸν[3] καλὸν ὄντα, παρόντος τοῦ Κριτοβούλου ἤρετο Ξενοφῶντα.

§ 9. Εἰπέ μοι ἔφη, ὦ Ξενοφῶν, οὐ σὺ Κριτόβουλον ἐνόμιζες εἶναι τῶν σωφρονικῶν ἀνθρώπων μᾶλλον ἢ τῶν ἀνοήτων, καὶ τῶν προνοητικῶν μᾶλλον ἢ τῶν θρασέων τε καὶ ῥιψοκινδύνων;[2] Πάνυ μὲν οὖν, ἔφη ὁ Ξενοφῶν. Νῦν τοίνυν νόμιζε αὐτὸν θερ-

---

τὸ σὺν ἄρτῳ ἐσθιόμενον **DUVERDIER**, **Bibliotèq. Franç. tom. II, pag. 302**).— § 6. 2 ὑπὲρ τὸν καιρὸν]ὑπὲρ τὸ μέτρον.— § 7. 2. ΟΥΚ ΟΪΕΣΘΕ δ', ἔφη ἐπισκώπτων, καὶ τὴν Κίρκην κτλ.] Ἐκ ΔΓ (σημειωθείσης καὶ βελτίονος εἶναι κριθείσης ὑπὸ τοῦ Σ.), ἐρωτηματικῶς πρὸς τοὺς ἀκούοντας, ἀντὶ τῆς παρ' αὐτῷ τῷ Σ. φερομένης ἀπαρεμφάτως καὶ καταφατικῶς, ΟΪΕΣΘΑΙ δ' ἔφη, κτλ. Τὸ δὲ περὶ τῆς Κίρκης διδασκέτω σε ὁ Ποιητής (Ὀδυσσ. Κ. 235 - 243, καὶ 276 - 318).— § 8. 2. Ἀφροδισίων δέ.] Προσυπακουστέον τὴν προσεχῶς προρρηθεῖσαν Περὶ πρόθεσιν.— 3. Τὸν Ἀλκιβιάδου ΥΙΟΝ κτλ.] ΑΔΕΛΦΟΝ, ὡδέ τε καὶ κατωτέρω (§17) δεῖ γράφειν, διὰ μακρῶν ἀποδεῖξαι ἐπειράθη ὁ Σ. ἐν ταῖς ἐπισημειώσεσι, καὶ ταύτην τὴν διόρθωσιν ἀπεδέξαντο οἱ μετ' αὐτόν· ὁ δὲ Α. οὐκ ὤκνησι καὶ καταχωρίσαι εἰς τὸ κείμενον ὡς ἀναμφίλεκτον. Ἔστι γε μὴν διστάσαι περὶ τῆς ἀποδείξεως· ἤρτηται γὰρ ἐξ ὑποθέσεως, ὅτι καθ' ὃν χρόνον ἔλεγε ταῦτα Σωκράτης, οὐδεὶς παρὰ τοῖς ἀρχαίοις υἱὸς Ἀλκιβιάδου γεγονὼς μνημονεύεται. Ἀλλὰ τοσοῦτον ἀπέχει τοῦ σεσιγῆσθαι, ὥστε καὶ δύο παρασχέσθαι μάρτυρας εἶναι τῆς ὑπάρξεως τοῦ νεωτάτου Ἀλκιβιάδου τούτου· Πρῶτος μὲν οὖν Λυσίας ἐστὶν ὁ ῥήτωρ, ὃ ἐν δυσὶ λόγοις ἐπιγραφομένοις Κατὰ Ἀλκιβιάδου, λειποταξίου (σελ. 515-570), Ἀλκιβιάδην, οὐ κατηγορεῖ, υἱὸν Ἀλκιβιάδου τοῦ περιβοήτου ὁμώνυμον γεγονέναι λέγει. Δεύτερος δὲ Ἰσοκράτης, ᾧ καὶ αὐτῷ λόγος ἐστὶ γεγραμμένος ὑπὲρ τοῦ νεωτέρου τούτου Ἀλκιβιάδου, ὁ περὶ τοῦ ζεύγους ἐπιγραφόμενος (σελ. 347-357, ἐμ. ἐκδ.) —τὸν Ἀλκιβιάδου ΥΙΟΝ κτλ.] Μετεμέλησε καὶ τῷ μακαρίτῃ Σνειδέρῳ γράψαντι μνήμης ἁμαρτίᾳ ΑΔΕΛΦΟΝ, ὡς ὡμολόγησεν αὐτὸς ἔπειτα ἐν ταῖς εἰς τὸ Ξενοφῶντος συμπόσιον (κεφ. VI, 160) σοφαῖς αὐτοῦ σημειώσεσι, πεισθεὶς τοῖς ἐπεσταλμένοις μοι τότε πρὸς αὐτόν. § 9. 2 μᾶλλον ἢ τῶν ΑΝΟΗΤΩΝ, καὶ τῶν προνοητικῶν μᾶλλον ἢ τῶν ΘΡΑΣΕΩΝ τε καὶ ῥιψοκινδύνων.) Ἐξ ΕΔ, ἣν ἐσήμειώσατο ὁ Σ. καὶ ἀπεδέξατο τῶν ἐκδοτῶν ἕτεροι μεταθέσει μόνῃ δύο λέξεων, ΑΤ, «μᾶλλον ἢ τῶν ΘΡΑΣΕΩΝ, καὶ τῶν προνοητικῶν μᾶλλον ἢ τῶν ΑΝΟΗΤΩΝ τε καὶ ῥιψοκινδύνων.» Εὐλογωτέρως γὰρ τοῖς σωφρονικοῖς ἀντίκεινται οἱ ἀνόητοι, ὥσπερ καὶ τοῖς προνοητικοῖς οἱ θρασεῖς, τουτέστιν οἱ ἀπρονοήτως τολμηροί. Ἰδιαιτέρως δ' Ἀνοήτους ἔλεγον τοὺς ἀκολάστους, καὶ

μυργότατόν τε εἶναι καὶ λεωργότατον[3]· οὗτος κἂν εἰς μαχαίρας κυβιστήσειε, κἂν εἰς πῦρ ἅλοιτο.[4]

§ 10. Καί τί δή, ἔφη ὁ Ξενοφῶν, ἰδὼν ποιοῦντα, ταῦτα κατέγνωκας αὐτοῦ; Οὐ γὰρ οὗτος, ἔφη, ἐτόλμησε τὸν Ἀλκιβιάδου υἱόν[2] φιλῆσαι, ὄντα εὐπροσωπότατον καὶ ὡραιότατον; Ἀλλ' εἰ μέντοι, ἔφη ὁ Ξενοφῶν, τοιοῦτόν ἐστι τὸ ῥιψοκινδύνου ἔργου, κἂν ἐγὼ δοκῶ μοι τὸν κίνδυνον τοῦτον ὑπομεῖναι.

§ 11. Ὦ τλῆμον,[2] ἔφη ὁ Σωκράτης, καὶ τί ἂν οἴει παθεῖν καλὸν φιλήσας; ἆρ' οὐκ ἂν αὐτίκα μάλα δοῦλος μὲν εἶναι ἀντ' ἐλευθέρου; πολὰ δὲ δαπανᾶν εἰς βλαβερὰς ἡδονάς; πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί τινος καλοῦ κἀγαθοῦ; σπουδάζειν δὲ ἀναγκασθῆναι ἐφ' οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν;[3]

Ἀνθητὰ τὰ ἀφροδίσια, οἷόν ἐστι καὶ τὸ τοῦ Κωμικοῦ (Νεφ. 417.)·

Οἴνου τ' ἀπέχει, καὶ γυμνασίων, καὶ τῶν ἄλλων ἀνοήτων.

Καὶ μωρὰ δέ, ὥσπερ Εὐριπίδης (Τρ. 988) αὐτὰ καλεῖ·

Τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς·

Καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει Θεᾶς.

— 3. Λεωργότατον.] Προμηθέως ἐπίθετον ὁ λεωγρὸς παρ' Αἰσχύλῳ (Προμ.) δεσμ. 5),

Τόνδε πρὸς πέτραις
Ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι·

ἔνθα διαφόρους ἐξηγήσεις ὁ σχολιαστὴς καταλέγει τοῦ ὀνόματος, μονονοὺ πάσας ἀπιθάνους. Ἡσύχιος δέ φησιν· «Λεωργὸν, κακοῦργον, πανοῦργον, ἀνδροφόνον» Ἴτων δύναται τῷ Θρασύτατον, ὡς ἡρμήνευσε καὶ ὁ B. audacissimum. Ἐδήλωσε δὲ καὶ Πολυδεύκης τοῦ ὀνόματος τὴν δύναμιν διὰ τῶν συνωνύμων· «Ἰταμὸς, ἀπονενοημένος, παραβεβλημένος, τὸ γὰρ Λεωργός, παρὰ Ξενοφῶντι, φορτικόν· ἀλλὰ, πρόχειρος εἰς τὰ δεινὰ, προπετὴς, τολμητὴς, κτλ.» Λέγει δὲ καὶ ὁ Σουίδας· «Λεωργός. «Αἰσχύλος,

«Τόνδε πρὸς πέτραις
»Ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι,

»Περὶ Προμηθέως, τουτέστι τὸν πάντολμον.» Σημειοῦ δὲ, ὅτι Πολυδεύκης, φορτικὸν ὀνομάζων τὸ παρὰ Ξενοφῶντι Λεωργός, ἀποδοκιμάζειν ἔοικε τὴν λέξιν, οὐχ ὡς ἀνάττικον, ἀλλ' ὡς ποιηταῖς μᾶλλον προσήκουσαν. Ἴσως μέντοι καὶ ὁ τὸν εἰς Πλάτωνα ἀναφερόμενον Ἀλκιβιάδην δεύτερον (σελ. 148) συγγράψας ἐχρήσατο τῷ ὀνόματι ἐν τοῖσδε· «Ἐγὼ μὲν οὐδὲν ἂν ἔχοιμι εἰπεῖν, ὦ Σώκρατες, οὕτως· » ΑΛΛΑ ΜΑΡΓΟΝ »τί μοι δοκεῖ εἶναι, καὶ ὡς ἀληθῶς πολ»λῆς φυλακῆς δεόμενον» Ἔνθα πολλοῖς τῶν κριτικῶν ἄτοπος ἔδοξεν ἡ λέξις Μάργον, ἣν καί τις αὐτῶν παρήνει τρέπειν εἰς τὸ Μέρμερον, Ἴσως ἡ ἀρχαία γραφὴ ἦν... ΑΛΛΑ ΛΕΩΡΓΟΝ τί μοι κτλ. εἰκοτολογεῖσθαί πως ἔχοντα καὶ ἐξ ὧν Ἀθήναιος (σελ. 506) λέγει, ὅτι, «ὁ δεύτερος Ἀλκιβιάδης ὑπό τινων Ξενοφῶντος εἶναι λέγεται — 4 Κἂν εἰς πῦρ ΑΛΟΙΤΟ]ΗΔ, ἀντὶ τοῦ ΑΛΛΟΙΤΟ.— § 10. 2. τὸν Ἀλκιβιάδου υἱόν.] Ἐπιθὶ τὰ μιχρὸν ἀνωτέρω (§ 8) σημειωθέντα. — § 11. 2. Ὦ τλῆμον.] Φιλοφρονουμένου μᾶλλον ἢ πενίαν ὀνειδίζοντος ἡ κλῆσις, Ὦ τλῆμον, (miséraple), καθάπερ καὶ ἐν τῇ Γάλλων φωνῇ λέγεται συνήθως ὑπὸ φίλου πρὸς φίλον, Mon pauvre ami. Τοιοῦτόν ἐστι καὶ τὸ συνώνυμον, Μέλεος, πολὺ παρὰ τῷ Κωμικῷ (Εἰρ 380)·

Ἀλλ', ὦ μέλε, ὑπὸ Διὸς ἀμαλδυνθήσομαι·

καὶ πάλιν, κατὰ συγκοπὴν ἢ ἀποκοπὴν, (Ἱππ. 671),

Ἐπειδή γ', ὦ μέλε,
Ἤσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας.

— 3. οὐδ' ἂν μαινόμενος σπουδάσειεν.] Ἴσως φησί τις τῶν κριτικῶν, ἐγέγραπτο, οὐδ' ἂν μαινόμενός τις κτλ. Οὐκ ἀπεικὸς μὲν ἐξερρυηκέναι τε τοῦ χωρίου, οὐ μὴν τὸ Τίς, ἀλλὰ τὸ Οὐδείς, οἷον, «οὐδεὶς οὐδ' ἂν μαινόμενος σπουδάσειεν,» κατὰ τὸ, «Οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησε» (Ἰσοκράτ. Ἀρειοπαγ. § 18. σελ. 147) —

§ 12. Ὦ Ἡράκλεις, ἔφη ὁ Ξενοφῶν, ὡς δεινήν τινα λέγεις δύναμιν τοῦ φιλήματος εἶναι! Καὶ τοῦτο, ἔφη ὁ Σωκράτης, θαυμάζεις; οὐκ οἶσθα, ἔφη, ὅτι τὰ φαλάγγια,[2] οὐδ' ἡμιωβολιαῖα τὸ μέγεθος ὄντα, προσαψάμενα μόνον τῷ στόματι, ταῖς τε ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους, καὶ τοῦ φρονεῖν ἐξίστησι; Ναὶ μὰ Δί', ἔφη ὁ Ξενοφῶν· ἐνίησι γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα.

§ 13. Ὦ μωρέ,[2] ἔφη ὁ Σωκράτης, τοὺς δὲ καλοὺς οὐκ οἴει φιλοῦντας ἐνιέναι τι, ὅ,τι σὺ οὐχ ὁρᾷς;[3] οὐκ οἶσθ' ὅτι τοῦτο τὸ θηρίον, ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων, ὅσῳ ἐκεῖνα μὲν ἁψάμενα, τοῦτο δὲ οὐδ' ἁπτόμενον, ἐάν τις αὐτὸ θεᾶται, ἐνίησί τι καὶ πάνυ πρόσωθεν τοιοῦτον ὥστε μαίνεσθαι ποιεῖν; ἴσως δὲ καὶ οἱ ἔρωτες τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πρόσωθεν οἱ καλοὶ τιτρώσκουσιν. Ἀλλὰ συμβουλεύω σοι, ὦ Ξενοφῶν, ὁπότ' ἂν ἴδῃς τινὰ καλόν, φεύγειν προτροπάδην. Σοὶ δέ, ὦ Κριτόβουλε, συμβουλεύω ἀπενιαυτίσαι·[4] μάλις γὰρ ἂν ἴσως ἐν τοσούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὲς γένοιο.

§ 14. Οὕτω δὴ καὶ ἀφροδισιάζειν τοὺς μὴ ἀσφαλῶς[2] ἔχοντας πρὸς ἀφροδίσια ᾤετο χρῆναι πρὸς τοιαῦτα οἷα, μὴ πάνυ μὲν δεομένου[3] τοῦ σώματος, οὐκ ἂν προσδέξαιτο ἡ ψυχή, δεομένου δέ, οὐκ ἄν[4] πράγματα παρέχοι. Αὐτὸς δὲ πρὸς ταῦτα φανερὸς ἦν οὕτω παρεσκευασμένος, ὥστε ῥᾴδιον ἀπέχεσθαι τῶν καλλίστων καὶ ὡραιοτάτων, ἢ οἱ ἄλλοι τῶν αἰσχίστων καὶ ἀωροτάτων.

§ 15. Περὶ μὲν δὴ βρώσεως καὶ πόσεως καὶ ἀφροδισίων οὕτω κατεσκευασμένος ἦν, καὶ ᾤετο οὐδὲν ἂν ἧττον ἀρκούντως ἥδεσθαι τῶν πολλὰ ἐπὶ τούτοις πραγματευομένων, λυπεῖσθαι δὲ πολὺ ἔλαττον.

---

§ 12. 2. τὰ φαλάγγια.] Ἀράχνης γένους τὸ φαλάγγιον· σώζεται ἐν τῇ συνηθείᾳ ἑκάτερα τὰ ὀνόματα.—

§ 13. 2. Ὦ μωρέ.] Καὶ τοῦτο φιλοφρονουμένου, ὅπερ ἔσωσε καὶ ἡ συνήθεια, ἐν ταῖς οὐ πάνυ φιλοφρονητικαῖς μειζόνων πρὸς ἥττονας κλήσεσιν, οἷον, Μωρὲ εἰπέ μοι, Μωρὲ δός μοι, Μωρὲ μὴ τὸ κάμῃς.—

3. ὅτι σὺ οὐχ ὁρᾷς;] Παρὰ τῷ Στοβαίῳ « ὃ σὺ οὐχ ὁρᾷς.» Ὁ Σ. συνῆψεν εἰς σύνδεσμον, «ὅτι σὺ οὐχ ὁρᾷς» ἴσως οὐ κακῶς. — 4. Ἀπενιαυτίσαι] Τίμαιος, ἐν τῷ Περὶ τῶν παρὰ Πλάτωνι λέξεων, φησίν· « Ἀπενιαυτίσαι, ἐνιαυτῷ φυγεῖν τὴν πατρίδα ἐπί τισιν ἀδικήμασιν.» Καὶ ὁ μὲν Πλάτων κυρίως χρῆται τῇ λέξει· ὁ δὲ παρὰ τῷ Ξενοφῶντι Σωκράτης ὧδε τροπικῶς ἀπενιαυτίσαι συμβουλεύει τῷ Κριτοβούλῳ, τουτέστιν ἐνιαυτὸν ὅλον μακρὰν ἑαυτὸν κατασῆσαι τῆς τοῦ ἐρωμένου ὄψεως.— § 14. 2. Οὕτω δὴ καὶ ἀφροδισιάζειν τοὺς μὴ ἀσφαλῶς. κτλ.] ΔΓ . . . τοὺς καὶ ἀσαφλῶς.— 3. Μὴ πάνυ μὲν δεομένου.] ΔΓ, μὴ πάνυ δεομένου μέν. — 4. Δεομένου δέ, οὐκ ἄν.] ΔΓ, μὴ δεομένου, οὐκ ἄν. Ἡ συνάρτησις καὶ ὁ νοῦς· Οὕτω δὴ ᾤετο καὶ τοὺς μὴ ἀσφαλῶς ἔχοντας πρὸς ἀφροδίσια (τουτέστι τοὺς ἐπισφαλεῖς εἰς ἀφροδίσια τοὺς μὴ δυναμένους αὐτῶν ἀπέχεσθαι) χρῆναι ἀφροδισιάζειν πρὸς τοιαῦτα [ἀφροδίσια] οἷα, εἰ μὴ πάνυ δεῖται αὐτῶν τὸ σῶμα, οὐκ ἂν προσδέξαιτο ἡ ψυχή· εἰ δὲ δεῖται, οὐκ ἂν παρέχοι πράγματος.

ΚΕΦΑΛΑΙΟΝ IV.

§ 1. Εἰ δέ τινες Σωκράτην νομίζουσιν, οἷς ἔνιοι γράφουσί τε καὶ λέγουσι περὶ αὐτοῦ τεκμαιρόμενοι,[2] προτρέψασθαι μὲν ἀνθρώπους ἐπ᾽ ἀρετὴν κράτιστον γεγονέναι, προαγαγεῖν δὲ[3] ἐπ᾽ αὐτὴν οὐχ ἱκανόν· σκεψάμενοι, μὴ μόνον ἃ ἐκεῖνος κολαστηρίου ἕνεκα[4] τοὺς παντ᾽ οἰομένους εἰδέναι ἠρώτων ἤλεγχεν, ἀλλὰ καὶ ἃ λέγων συνημέρευε τοῖς συνδιατρίβουσι, δοκιμαζόντων,[5] εἰ ἱκανὸς ἦν βελτίους ποιεῖν τοὺς συνόντας.

§ 2. Λέξω δὲ πρῶτον, ἃ ποτε αὐτοῦ ἤκουσα περὶ τοῦ δαιμονίου διαλεγομένου πρὸς Ἀριστόδημον τὸν Μικρὸν ἐπικαλούμενον. Καταμαθὼν γάρ αὐτὸν οὔτε θύοντα τοῖς θεοῖς, οὔτ᾽ εὐχόμενον, οὔτε μαντικῇ χρώμενον, ἀλλὰ καὶ τῶν ποιούντων ταῦτα καταγελῶντα· Εἰπέ μοι, ἔφη, ὦ Ἀριστόδημε, ἔστιν οὕστινας ἀνθρώπων τεθαύμακας ἐπὶ σοφίᾳ; Ἔγωγ᾽, ἔφη. Καὶ ὃς, λέξον ἡμῖν, ἔφη, τὰ ὀνόματα αὐτῶν.

§ 3. Ἐπὶ μὲν τοίνυν ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ διθυράμβῳ Μελανιππίδην, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα, ἐπὶ δὲ ἀνδριαντοποιΐᾳ Πολύκλειτον, ἐπὶ δὲ ζωγραφίᾳ Ζεῦξιν.

§ 4. Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά τε καὶ ἀκίνητα ἀξιοθαυμαστότεροι εἶναι, ἢ οἱ ζῶα ἔμφρονά τε καὶ ἐνεργά; Πολύ, νὴ Δία, ἢ ζῶα, εἴπερ γε μὴ τύχῃ τινί, ἀλλὰ ὑπὸ γνώμης ταῦτα γεγένηται. Τῶν δὲ ἀτεκμάρτως ἐχόντων ὅτου ἕνεκά ἐστι, καὶ τῶν φανερῶς ἐπ᾽ ὠφελείᾳ ὄντων, πότερα τύχης καὶ πότερα γνώμης ἔργα κρίνεις; Πρέπει μὲν τὰ ἐπ᾽ ὠφελείᾳ γιγνόμενα[2] γνώμης εἶναι ἔργα.

§ 5. Οὐκοῦν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους ἐπ᾽ ὠφελείᾳ προσθεῖναι αὐτοῖς, δι᾽ ὧν αἰσθάνονται, ἕκαστα; ὀφθαλ-

---

§ 1. 2. ΟΙΣ ἔνιοι γράφουσι .... τεκμαιρόμενοι.] ΗΔ, ἀντὶ τοῦ Ὡς ἔνιοι κτλ. Λ᾽σύσατος γὰρ ἡ μετοχὴ, τεκμαιρόμενοι, δόξειεν ἂν ὥσπερ καὶ ἔδοξε καὶ πράγματα παρέσχε τοῖς πρὸ ἡμῶν) μετὰ τοῦ ὁμοιωματικοῦ ἐπιῤῥήματος εἰ δ᾽ ἀποδέχοιο τὴν ἡμετέραν διόρθωσιν, ὁ νοῦς τοῦ, τεκμαιρόμενοι οἷς κτλ. ἔσται δηλονότι τεκμαιρόμενοι ἐξ ὧν ἔνιοι γράφουσί τε καὶ λέγουσι περὶ Σωκράτους. —3. Προτρέψασθαι μέν.... προαγαγεῖν δὲ κτλ.] Ἄριστα ὁ Σ. ἡρμήνευσεν ἐξ ἑτέρων παραλλήλων χωρίων, τί διαφέρει τὸ προτρέψασθαι τοῦ προαγαγεῖν. Ἠττιῶντο γάρ τινες Σωκράτην, ὡς κράτιστον μὲν δεῖξαι τὴν ὁδὸν τῆς ἀρετῆς, οὐχ ἱκανὸν δὲ καὶ ὁδηγῆσαι, καὶ εἰς τέλος αὐτῆς ἀγαγεῖν τοὺς προτρεπομένους.— 4. Κολαστηρίου ἕνεκα,] ἕνεκα τοῦ Κολάζειν τοὺς οἰομένους πάντα εἰδέναι. Ὁ δὲ Β. μεταφράσας causa tentamenti, δῆλός ἐςιν ἀναγνοὺς ἢ διορθούμενος πειραςηρίου ἕνεκα.— 5. Δοκιμαζόντων,] δοκιμαζέτωσαν, κρινέτωσαν.— § 4. 2. τὰ ἐπ᾽ ὠφελείᾳ γιγνόμενα.] Ἀποκατέςησα τὴν καὶ ὑφ᾽ ἑτέρων δοκιμασθεῖσαν γραφὴν, ἀνθ᾽ ἧς ὁ Σ. καὶ ἕτεροι ἔγραψαν, γενόμενα.— § 5. 2. ὀφθαλμοὺς μὲν, ὥσθ᾽ ὁρᾶν .... ὦτα δὲ

μοὺς μέν, ὥσθ' ὁρᾶν τὰ ὁρατά, ὦτα δέ,[2] ὥστ' ἀκούειν τὰ ἀκουστά; ὀσμῶν γε μήν, εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ' ἂν αἴσθησις ἦν γλυκέων καὶ δριμέων καὶ πάντων τῶν διὰ στόματος ἡδέων[3] εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη;

§ 6. Πρὸς δὲ τούτοις, οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργῳ ἐοικέναι, τὸ, ἐπεὶ ἀσθενὴς μέν ἐστιν ἡ ὄψις, βλεφάροις αὐτὴν θυρῶσαι, ἃ, ὅταν[2] μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται;[3] ὡς δ' ἂν μηδὲ[4] ἄνεμοι βλάπτωσιν, ἡθμὸν[5] βλεφαρίδας ἐμφῦσαι· ὀφρῦσί τε ἀπογεισῶσαι[6] τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ' ὁ ἐκ τῆς κεφαλῆς ἰδρὼς κακουργῇ· τὸ δὲ τὴν ἀκοὴν δέχεσθαι μὲν πάσας φωνάς, ἐμπίπλασθαι δὲ μή ποτε· καὶ τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζῴοις οἵους τέμνειν εἶναι, τοὺς δὲ γομφίους οἵους παρὰ τούτων δεξαμένους λεκίνειν· καὶ στόμα μέν, δι' οὗ ὧν ἐπιθυμεῖ τὰ ζῶα εἰσπέμπεται, πλησίον ὀφθαλμῶν καὶ ῥινῶν κατατεθεῖναι· ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ [ἦν[7]], ἀποστρέψαι τοὺς τούτων ὀχετούς, καὶ ἀπενεγκεῖν, ἢ δυνατὸν προσωτάτω, ἀπὸ τῶν αἰσθήσεων· ταῦτα οὕτω προνοητικῶς πεπραγμένα, ἀπορεῖς, πότερα τύχης ἢ γνώμης ἔργα ἐστίν;

κτλ.] Πρῶτον Σωκράτην κινῆται, ἢ γοῦν αὐξῆται, τὴν περὶ τοῦ οὗ ἕνεκα, τουτέστι τῶν τελικῶν αἰτίων (les causes finales) τῶν γιγνομένων θεωρίαν φησίν (ὡς ἐσημειώτατο ὁ Σ.) ὁ Ἀριστοτέλης· λέγει γὰρ (περὶ ζ. μορ. I. 1), «Ἥψατο μὲν »Δημόκριτος πρῶτος, ὡς οὐκ ἀναγκαίου »δὲ τῇ φυσικῇ θεωρίᾳ, ἀλλ' ἐκφερόμε»νος ὑπ' αὐτοῦ τοῦ πράγματος· ἐπὶ Σω»κράτους δὲ τοῦτο μὲν ηὐξήθη, τὸ δὲ »ζητεῖν τὰ περὶ φύσεως ἔλιξε· πρὸς δὲ »τὴν χρήσιμον ἀρετὴν καὶ τὴν πολιτικὴν »ἀπέκλιναν οἱ φιλοσοφοῦντες.» — 3. Τῶν διὰ στόματος ἡδέων.] Οὐκ ἀλόγως ὕποπτον ἔδοξε τῷ τελευταίῳ ἐκδότῃ, τὸ ἡδέων· ὤφειλε γὰρ εἶναι αἰσθητῶν. — γνώμων] κριτής. — § 6. 2. ἃ, ὅταν] ΔΓ, καὶ ὅταν — 3. ἀναπετάννυται . . . συγκλείεται.] ΔΓ, ἀναπετάννυσθαι . . . συγκλείεσθαι. — 4. ὡς δ' ἂν μηδέ] ΔΓ, ὡς δὲ μή. — 5. ἡθμόν] ΔΓ, ἰσθμόν. Τοῦ πρώτου τὸ ὑποκοριστικὸν ἐξηγεῖται ὁ Ἡσύχιος· «Ἠθμάριον, διυλιστήριον» ὅπερ ἐστὶ τὸ ἐν τῇ συνθείᾳ Σακκελιστήριον. Ἰσθμὸς δέ ἐστι, «στενὸν χωρίον μεταξὺ δύο θαλασσῶν» ὡς ἐξηγεῖται πάλιν Ἡσύχιος. — 6. ἀπογεισῶσαι,] γείσοις σκεπάσαι. Ἔστι δὲ Γεῖσον, καθ' Ἡσύχιον, «τὸ ἐν ταῖς οἰκίαις ἢ τειχῶν (γρ. τῶν »τοίχων) ἐξέχον κυμάτιον κτλ. ὅπερ οἱ Γάλλοι διὰ τοῦ Couttière ἢ Larmier ἐκφράζουσιν. Ἢ παρ' ἡμῖν συνήθεια Νεροχύτην αὐτὸ καλεῖ· οἱ δὲ Γραικορωμαῖοι νομικοὶ καὶ Σταλαγμόν, καὶ Χρηστήριον, ὡς εὕρηται ἐν ταῖς Λαββαίου γλώσσαις. «Χρηστήρια οἱ νεροχύται.» ὅθεν ἐτυμᾶται τὸ σύνθετον ῥῆμα Ἀπογειτῶται, προστεθείσθω, ὅτι καὶ Πολυδεύκης ὡς Ξενοφώντειον ἐσημειώτατο τοῦτο, «Ὀφρύων γεῖτα, αἱ προβολαί, καὶ Ὀφρύσιν »ἀπογεισῶται, φησὶν ὁ Ξενοφῶν. Εἴρηται δὲ καὶ ἑτέροις Λεξικογράφοις, »Γεῖσα ἅπαντα τὰ ἐξέχοντα τῶν τοίχων» (BEKKER, Anecdot. Græc. pag. — 33), παρ' οἷς καὶ σύνθετον ἕτερον ὄνομα καὶ ῥῆμα μνημονεύεται (σελ 227), «Γεισύπους τὸ ξύλον τὸ ὑποβληθὲν καὶ φέρων »τὴν Γεῖσαν· Γεῖσα δέ ἐστιν ἡ σφήνη, »δι' ἧς δηλονότι ΠΑΡΑΥΤΩΝ ὑδροῤῥόη »ἐφέρετο.» Ἔνθα σημειούσθω, ὅτι καὶ ἡ Γεῖσα θηλυκῶς ἐλέγετο· τὸ δὲ Παραυτῶν, κἂν εἰ διαιρῶν γράφοις, παρ' αὐτῶν, οὐδὲν μᾶλλον σαφὲς ἔσαι. Ἴσως ἐγέγραπτο ΜΑΡΑ ΤΟΝ ΤΟΙΧΟΝ. Φασὶ δ' οὖν (σελ. 213) καὶ «Γεισιποδες, αἱ τῶν δο»κῶν προταγεῖσαι πρόοχαί, καὶ Γεισιπο»δίζειν τὸ προσβάλλειν τὰ γεῖσα ἐν τοῖς »τοίχοις. — Γείσωσις τὸ τῆς στέγης ἔκθετον» — 7. ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ ἦν] ΗΔ ἡ προσθήκη τοῦ ὑπαρκτικοῦ ῥήματος. —

§ 7. Οὐ μὰ τὸν Δί', ἔφη, ἀλλ' οὕτω γε σκοπουμένῳ πάνυ ἔοικε ταῦτα σοφοῦ τινὸς δημιουργοῦ καὶ φιλοζώου τεχνήματι. Τὸ δὲ ἐμφῦσαι μὲν ἔρωτα τῆς τεκνοποιΐας, ἐμφῦσαι δὲ ταῖς γεναμέναις ἔρωτα τοῦ ἐκτρέφειν, τοῖς δὲ τραφεῖσι μέγιστον μὲν πόθον τοῦ ζῆν, μέγιστον δὲ φόβον τοῦ θανάτου; Ἀμέλει καὶ ταῦτα ἔοικε μηχανήμασί[2] τινος ζῶα εἶναι βουλευσαμένου.

§ 8. Σὺ δὲ σαυτὸν φρόνιμόν τε δοκεῖς ἔχειν, ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει φρόνιμον εἶναι; καὶ ταῦτα, εἰδὼς ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι πολλῆς οὔσης ἔχεις, καὶ ὑγροῦ βραχὺ πολλοῦ ὄντος, καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος λαβόν τι τὸ σῶμα συνήρμοσταί σοι·[2] νοῦν δὲ μόνον ἆρα οὐδαμοῦ ὄντα σε εὐτυχῶς πως δοκεῖς συναρπάσαι, καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα[3] δι' ἀφροσύνην τινὰ οὕτως οἴει εὐτάκτως ἔχειν;

§ 9. Μὰ Δί'· οὐ γὰρ ὁρῶ τοὺς κυρίους [αὐτῶν[2]], ὥσπερ τῶν ἐνθάδε γιγνομένων τοὺς δημιουργούς. Οὐδὲ γὰρ τὴν ἑαυτοῦ σύ γε ψυχὴν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν· ὥστε κατά γε τοῦτο ἔξεστί σοι λέγειν, ὅτι οὐδὲν γνώμῃ ἀλλὰ τύχῃ πάντα πράττεις.

§ 10. Καὶ ὁ Ἀριστόδημος, Οὔτοι, ἔφη, ἐγώ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ' ἐκεῖνο μεγαλοπρεπέστερον ἡγοῦμαι, ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι. Οὐκοῦν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ὂν ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον καὶ τιμητέον αὐτό.[2]

§ 11. Εὖ ἴσθι, ἔφη, ὅτι, εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν. Ἔπειτ' οὐκ οἴει φροντίζειν; οἳ πρῶτον μὲν μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν· ἡ δὲ ὀρθότης καὶ προορᾶν πλεῖον ποιεῖ δύνασθαι, καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι, καὶ ἧττον κακοπαθεῖν καὶ ὄψιν καὶ ἀκοὴν καὶ στόμα *ἐνεποίησαν·[2*] ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς[3] πόδας ἔδω-

---

— §. 7. 2. μηχανήμασι) Ἴσ. γρ. ἐνικῶς, μηχανήματι, κατὰ τὸ προηγησάμενον, τεχνήματι. — § 8. 2. ἑκάστου μικρὸν μέρος ΛΑΒΟΝ ΤΙ τὸ σῶμα συνήρμοσταί σοι) ΗΔ, ἀντὶ τῆς δοτικῆς ΛΑΒΟΝΤΙ. Ἡ συνάρτησις. Τὸ σῶμα, λαβὸν μικρόν τι μέρος ἑκάστου, συνήρμοσταί σοι.—3. καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα κ. τ. λ.) ΔΓ, καὶ τάδε ὑπερμεγέθη· καὶ τὰ ὑπερμεγέθη. Ἴσως γραπτέον, ἢ τάδε τὰ ὑπερμεγέθη· καὶ ὁ Β. γὰρ τὸν διαζευκτικὸν (aut hæc) οὐ τὸν συμπλεκτικὸν ἐξέφρασεν. Ἴσως δὲ καὶ οὐδέτερον, ἀρχουμένους τοῖσδε, τὰ δὲ ὑπερμεγέθη κ.τ.λ. — § 9. 2. τοὺς κυρίους αὐτῶν] Προσέθηκα τὴν ἀντωνυμίαν, ὡρμημένος ἐκ τῆς Β. μεταφράστεως, qui ca ordinant. Ἕτεροι δὲ παρήνουν τὴν δεικτικὴν ἀντωνυμίαν, τούτων, προστιθέναι. — § 10. 2. ὅσῳ μεγαλοπρεπέστερον ὄν. . . . καὶ τιμητέον αὐτὸ) Ἐκ διορθώσεως τοῦ Σ. προτέθηκα καὶ τὴν μετοχὴν καὶ τὸν σύνδεσμον. Ἴσως δὲ καὶ ἐρωτηματικῶς ἐχρῆν στίξαι τὴν περίοδον »Οὐκοῦν . . . καὶ τιμητέον αὐτό;« — § 11. 2. καὶ ὄψιν καὶ ἀκοὴν καὶ στόμα ἐνεποίησαν) Ἀποκλειστέα τοῦ κειμένου ταῦτα πάντα ἔδοξεν εἶναι τῷ Λ. οὐδὲ γάρ ἐστι τοῖς προηγουμένοις συναρτῆσαι καίπερ σπουδασάντων ὁπωστοῦν ἑρμηνεύ-

καν, οἱ τὸ πορεύεσθαι μόνον παρέχουσιν· ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἷ τὰ πλεῖστα, οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμέν, ἐξεργάζονται.

§ 12. Καὶ μὴν γλῶττάν γε πάντων τῶν ζώων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἵαν, ἄλλοτε ἀλλαχῆ ψαύουσαν τοῦ στόματος, ἀρθροῦν τε τὴν φωνήν, καὶ σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα. Τὸ δὲ καὶ τὰς τῶν ἀφροδισίων ἡδονὰς τοῖς μὲν ἄλλοις ζώοις δοῦναι περιγράψαντας τοῦ ἔτους χρόνον, ἡμῖν δὲ συνεχῶς μέχρι γήρως ταῦτα παρέχειν;

§ 13. Οὐ τοίνυν μόνον[2] ἤρκεσε τῷ Θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ', ἅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε. Τίνος γὰρ ἄλλου ζώου ψυχὴ πρῶτα μὲν Θεῶν τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων ἥσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο ἢ οἱ ἄνθρωποι Θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάττεσθαι ἢ λιμὸν ἢ δίψος ἢ ψύχη ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ πρὸς μάθησιν ἐκπονῆσαι[3], ἢ, ὅσα ἂν ἀκούσῃ ἢ ἴδῃ ἢ μάθῃ, ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι;

§ 14. Οὐ γὰρ πάνυ σοι κατάδηλον, ὅτι παρὰ τὰ ἄλλα ζῶα, ὥσπερ θεοὶ οἱ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην, ἠδύνατ' ἂν πράττειν ἃ ἐβούλετο· οὔθ' ὅσα χεῖρας

σαι τῶν κριτικῶν αὐτά. Ἔδοξέ μοι τὴν μετὰ τὸ κακοπαθεῖν τελείαν στιγμὴν ἀφανίσαντα καὶ μόνον τὸ ἐν ἐποίησαν ἀφορίσαντα τοῦ κειμένου, γράφειν, «Ἡ δὲ ὀρθότης καὶ προορᾶν »πλεῖον ποιεῖ δύνασθαι, καὶ ἧττον κα»κοπαθεῖν καὶ ὄψιν καὶ ἀκοὴν καὶ στόμα.» Ὁ νοῦς πρόδηλος· Ἡ ὀρθότης καὶ μακρότερον προορᾶν δύνασθαι . . . καὶ ἧττον κακοπαθεῖν καὶ ὀφθαλμοὺς καὶ ὦτα καὶ στόμα ποιεῖ. Ἐκ τούτου δὲ τοῦ μόνοις ἀνθρώποις ἀπονεμηθέντος ὀρθίου σχήματος ὁρμηθεὶς ὁ κωμικὸς Φιλήμων (παρὰ Στοβ. σελ. 31.) ἔσκωψεν οὐκ ἀχαρίτως εἰς τοὺς ἀδυνάτως ἔχοντας ζῆν δικαίως, εἰ μὴ κολάζοιντο ὑπὸ τῶν νόμων.

Φεῦ, ὡς πονηρόν ἐστιν ἀνθρώπου φύσις
Τὸ σύνολον! οὐ γὰρ ἄν ποτ' εὐθήθη νόμου.
Οἴει τι τῶν ἄλλων διαφέρειν θηρίων Ἄνθρωπον; Οὐδὲ μικρόν, ἀλλὰ σχήματι·
Πλάγι' ἔστι τἄλλα, τοῦτο δ' ὀρθὸν θηρίον.

— 3. ἑρπετοῖς) Κατεχρήσατο τῇ λέξει. Ἡσύχιος· «Ἑρπετά, τὰ ἀνθράποδα . . . »καταχρηστικῶς δὲ καὶ τὰ λοιπὰ τῶν ἀλόγων ζώων.» — § 13. 2. Οὐ τοίνυν μόνον) Ἀντὶ τοῦ Δὲ ἐνθάδε ὁ τοίνυν Ἐπιθι τὰς εἰς τὸν Ἰσοκράτην σημειώσεις (σελ. 71.) — 3. ἢ πρὸς μάθησιν ἐκπονῆσαι) Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ἀνθ' ἧς ὁ Σ. μεθ' ἑτέρων προείλετο συνημμένως γράφειν προσμάθησιν. Ἀμεταβάτως ἐκληπτέον ἐνθάδε τὸ Ἐκπονῆσαι, ἀντὶ τοῦ πόνους ὑποστῆναι πολλοὺς, πρὸς μάθησιν, τουτέστι μαθήσεως ἕνεκα, καθάπερ ἡρμήνευσε καὶ ὁ B. ad doctrinam percipiendam laborandum. — § 14. 2. οὔθ' ὅτα χεῖρας ἔχει κ.τ.λ.) οἷον οἱ πίθηκοι Ἐπανορθοῖ Σωκράτης ὧδε τὴν τοῦ ἰδίου διδασκάλου, τοῦ Ἀναξαγόρου, γνώμην· περὶ οὗ φησιν Ἀριστοτέλης (περὶ ζ. μορ. IV, 10, σελ. 1192). «Ἀναξαγόρας μὲν οὖν φησι, διὰ »τὸ χεῖρας ἔχειν φρονιμώτατον εἶναι »τῶν ζώων τὸν ἄνθρωπον, Εὔλογον δὲ, »διὰ τὸ φρονιμώτατον εἶναι τῶν ζώων, »χεῖρας ἔχειν . . . ὁ γὰρ φρονιμώτατος

ἔχει,[2] ἄφρονα δ' ἐστί, πλέον οὐδὲν ἔχει. Σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων[3] τετυχηκώς, οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; ἀλλ' ὅταν τί ποιήσωσι, νομιεῖς αὐτοὺς σοῦ φροντίζειν; Ὅταν πέμπωσιν (ὥσπερ σοί φησι πέμπειν αὐτούς) συμβούλους, ὅ τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν.

§ 15. Ὅταν δὲ Ἀθηναίοις, ἔφη, συνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς; οὐδ' ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ', ὅταν πᾶσιν ἀνθρώποις; ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται;

§ 16. Οἴει δ' ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι, ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν; καὶ τοὺς ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ' ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς, ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστιν, καὶ αἱ φρονιμώταται ἡλικίαι, θεῶν ἐπιμελέσταται;

§ 17. Ὦ γαθέ, ἔφη, κατάμαθε, ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα,[2] ὅπως βούλεται, μεταχειρίζεται. Οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα, ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι· καὶ μή, τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι πάντα ὁρᾶν· μηδέ, τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι.

§ 18. Ἢν μέντοι, ὥσπερ ἀνθρώπους θεραπεύων, γιγνώσκεις τοὺς ἀντιθεραπεύειν ἐθέλοντας, καὶ χαριζόμενος τοὺς ἀντιχαριζομένους, καὶ συμβουλευόμενος καταμανθάνεις τοὺς φρονίμους, οὕτω καὶ τῶν θεῶν πεῖραν λαμβάνῃς θεραπεύων, εἴ τι σοι θελήσουσι περὶ τῶν ἀδήλων ἀνθρώποις συμβουλεύειν, γνώσῃ τὸ θεῖον, ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾷν, καὶ πάντα ἀκούειν, καὶ πανταχοῦ παρεῖναι, καὶ ἅμα πάντων ἐπιμελεῖσθαι.

§ 19. Ἐμοὶ μὲν οὖν ταῦτα λέγων οὐ μόνον τοὺς συνόντας ἐδόκει ποιεῖν, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῶντο, ἀπέχεσθαι τῶν

πλείστοις ἂν ὀργάνοις ἐχρήσατο (ἴσ. «χρήσαιτο) καλῶς κ.τ.λ. »—3. Σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων κ.τ.λ.) Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ἀνθ' ἧς ὁ Σ. καὶ ἕτεροι ἔγραψαν, ἀμφοτέρου. Ὁ νοῦς Σὺ δὲ τετυχηκὼς ἀμφοτέρων, καὶ σώματος ὀρθίου καὶ ψυχῆς λογικῆς, πλείστου ἀξίαν πραγμάτων, οὐκ οἴει θεῶν πρόνοιᾳ τετυχηκέναι; — ὅταν τί ποιήσωσι, νομιεῖς αὐτοὺς; σοῦ φροντίζειν;) Λόγου σχῆμα τοῦτο ἴδιον Ἕλλησι καὶ μάλιστα Πλάτωνι· δύναται δὲ ἴσον τῷ, Πότε καὶ τί ποιοῦντας νομιεῖς αὐτοὺς σοῦ φροντίζειν; Παραπλήσιον τούτῳ τὸ ἐν τοῖς ἑξῆς (B, 2, § 3). «Τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὑροιμεν ἂν μείζονα εὐεργετημένους, ἢ παῖδας ὑπὸ γονέων;» — § 17. 2. τὸ σὸν σῶμα) ΔΓ, τὸ σῶμα.

ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν, ἐπεί περ ἡγήσαιντο μηδὲν ἄν ποτε, ὧν πράττοιεν, θεοὺς διαλαθεῖν.

ΚΕΦΑΛΑΙΟΝ. V

§ 1. Εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε κἀγαθὸν ἀνδρὶ κτῆμά ἐστιν, ἐπισκεψώμεθα, εἴ τι προὐβίβαζε[2] λέγων εἰς αὐτὴν τοιάδε· Ὦ ἄνδρες, εἰ, πολέμου ἡμῖν γενομένου, βουλοίμεθα ἑλέσθαι ἄνδρα, ὑφ' οὗ μάλιστα ἂν αὐτοὶ μὲν σωζοίμεθα, τοὺς δὲ πολεμίους[3] χειροίμεθα, ἆρ', ὅντιν' ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς ἢ οἴνου ἢ ἀφροδισίων ἢ πόνου ἢ ὕπνου, τοῦτον αἱροίμεθα; καὶ πῶς ἂν οἰηθείημεν τὸν τοιοῦτον ἢ ἡμᾶς σῶσαι, ἢ τοὺς πολεμίους κρατῆσαι;

§ 2. Εἰ δ' ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι βουλοίμεθά τῳ ἐπιτρέψαι ἢ παῖδας ἄῤῥενας παιδεῦσαι, ἢ θυγατέρας παρθένους διαφυλάξαι, ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον εἰς ταῦτα ἡγησαίμεθ' ἂν τὸν ἀκρατῆ; δούλῳ δ' ἀκρατεῖ ἐπιτρέψαιμεν ἄν ἢ βοσκήματα ἢ ταμεῖα ἢ ἔργων ἐπιστασίαν;[2] διάκονον δὲ καὶ ἀγοραστὴν τοιοῦτον ἐθελήσαιμ' ἂν προῖκα λαβεῖν;

§ 3. Ἀλλὰ μήν, εἴ γε μηδὲ δοῦλον ἀκρατῆ δεξαίμεθ' ἄν, πῶς οὐκ ἄξιον αὐτόν γε φυλάξασθαι τοιοῦτον γενέσθαι; καὶ γὰρ οὐχ, ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερός, ἑαυτῷ δ' ὠφέλιμος, ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος· εἴγε κακουργότατόν ἐστι, μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν.

§ 4. Ἐν συνουσίᾳ δὲ τίς ἂν ἡσθείη τῷ τοιούτῳ, ὃν εἰδείη τῷ ὄψῳ τε καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ τοῖς φίλοις, καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον ἢ τοὺς ἑτέρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα, ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρώτην[2] ἐν τῇ ψυχῇ κατασκευάσασθαι;

ΚΕΦΑΛ. V. § 1, 2. προὐβίβαζε) Ταὐτέστι, διδάξεις. — 3. τοὺς πολεμίους) ΔΓ, τῶν πολεμίων, προαιρετέα ἴσως· πλείων γὰρ ἡ μετὰ γενικῆς τῆς μετὰ αἰτιατικῆς συντάξεως τοῦ Κρατῶ παρὰ τῷ Ξενοφῶντι — § 2. 2. ἐπιστασίαν) Τοῦτο προείλοντο οἱ πρὸ ἡμῶν τῆς παλαιᾶς γραφῆς, ἐπίστασιν· οὐκ οἶδα, εἰ εὐλόγως. — § 4. 2. ταύτην πρώτην) Ἐκ τοῦ Στοβαίου, ἀντὶ τοῦ, ταύτην πρῶτον. —

τὸν ἔοικε δύνασθαι τὸ Προβιβάζειν τῷ Προτροβιβάζειν, τουτέστι, διδάσκειν, προτρεπειν, πείθειν. Τῷ δευτέρῳ κέχρηται ὁ Κωμικὸς (Ἱππ. 35),

Εὖ προτροβιβάζεις με κ. τ. λ.

ὥσπερ ἐχρήσατο ἀνωτέρω (Α. II, § 17) καὶ ὁ Ξενοφῶν. Τῷ δὲ πρώτῳ καὶ οἱ Ἑβδομήκοντα (Δευτερονομ. ς΄, 7) « Καὶ προβιβάσεις αὐτὰ τοὺς υἱούς σου, του-

§ 5. Τίς γὰρ ἄνευ ταύτης ἢ μάθοι τι ἂν ἀγαθὸν ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ ἂν, ταῖς ἡδοναῖς δουλεύων, αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; Ἐμοὶ μὲν δοκεῖ, νὴ τὴν Ἥραν, ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτέον εἶναι, μὴ τυχεῖν δούλου τοιούτου, δουλεύοντα δὲ ταῖς τοιαύταις ἡδοναῖς, ἱκετευτέον τοὺς θεούς, δεσποτῶν ἀγαθῶν τυχεῖν.[2] οὕτω γὰρ ἂν μόνος ὁ τοιοῦτος σωθείη.

§ 6. Τοιαῦτα δὲ λέγων, ἔτι ἐγκρατέστερον τοῖς ἔργοις ἢ τοῖς λόγοις ἑαυτὸν ἐπεδείκνυεν· οὐ γὰρ μόνον τῶν διὰ τοῦ σώματος ἡδονῶν ἐκράτει, ἀλλὰ καὶ τῆς διὰ τῶν χρημάτων, νομίζων τὸν παρὰ τοῦ τυχόντος χρήματα λαμβάνοντα, δεσπότην ἑαυτοῦ[2] καθιστάναι, καὶ δουλεύειν δουλείαν οὐδεμιᾶς ἧττον αἰσχράν.

ΚΕΦΑΛΑΙΟΝ VI.

§ 1. Ἄξιον δὲ αὐτοῦ, καὶ ἃ πρὸς Ἀντιφῶντα τὸν σοφιστὴν[2] διελέχθη, μὴ παραλιπεῖν. Ὁ γὰρ Ἀντιφῶν ποτὲ βουλόμενος τοὺς συνουσιαστὰς αὐτοῦ παρελέσθαι, προσελθὼν τῷ Σωκράτει, παρόντων αὐτῶν, ἔλεξε τάδε·

§ 2. Ὦ Σώκρατες, ἐγὼ μὲν ᾤμην τοὺς φιλοσοφοῦντας εὐδαιμονεστέρους χρῆναι γίγνεσθαι· σὺ δέ μοι δοκεῖς τἀναντία τῆς σοφίας ἀπολελαυκέναι. Ζῇς γοῦν οὕτως, ὡς οὐδ' ἂν εἷς δοῦλος ὑπὸ δεσπότῃ διαιτώμενος μείνειε, σιτία τε σιτῇ καὶ ποτὰ πίνεις τὰ φαυλότατα, καὶ ἱμάτιον ἠμφίεσαι οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους τε καὶ χειμῶνος, ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς.

§ 3. Καὶ μὴν χρήματά γε οὐ λαμβάνεις, ἃ καὶ κτωμένους εὐφραίνει καὶ κεκτημένους ἐλευθεριώτερόν τε καὶ ἥδιον ποιεῖ ζῆν. Εἰ οὖν, ὥσπερ καὶ τῶν ἄλλων ἔργων οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύουσιν, οὕτω καὶ σὺ τοὺς συνόντας διαθήσεις, νόμιζε κακοδαιμονίας διδάσκαλος εἶναι.

---

§ 5. 2. ΙΚΕΤΕΥΤΕΟΝ τοὺς θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν) Ἐκ ΔΓ, ΑΓ, ΙΚΕΤΕΥΕΙΝ. Ὁ δὲ νοῦς ὥσπερ ἐξηγήσαντο καὶ ἕτεροι. Ἱκετεύειν ὀφείλουσι τοὺς θεοὺς, ὅπως, ἀκρατεῖς ὄντες, ὑπ' ἀγαθοῖς γοῦν δεσπόταις τῆς πόλεως, εἴτε μονάρχοις, εἴτ' ὀλιγάρχοις, βιῶσι· τοὺς μὲν γὰρ ἰδίους δούλους, ἀκρατευομένους, καὶ λιμῷ καὶ δίψει καὶ πληγαῖς εἰωθότες κολάζειν, οὐ χρηστοτέρους, ἀλλ' ὡς ἐπίπαν χείρους ἀπεργάζονται· αὐτοὶ δὲ, ἀκρατεῖς ὄντες, ἐάν γε δεσποτῶν ἀγαθῶν καὶ ἠπίων τύχωσιν, ἠπιώτερως κολαζόμενοι, καὶ σωφρονισθῆναι δύνανται. «Πολέμιοι μὲν οὖν ἤδη, ὅταν »καλοὶ κἀγαθοὶ ὄντες καταδουλώσωνταί »τινας, πολλοὺς δὴ βελτίους ἠνάγκασαν »εἶναι σώφρονας, καὶ ῥᾷον βιοτεύειν τὸν λοιπὸν χρόνον ἐποίησαν» (Ξενοφ. Οἰκονομ. 1, 1, § 23.) — § 6. 2. δεσπότην ἑαυτοῦ,) τὸν διδόντα.

§ 1. 2. Ἀντιφῶντα τὸν σοφιστὴν) Περὶ οὗ Σουΐδας φησίν· « Ἀντιφῶν, Ἀθηναῖος, τερατοσκόπος καὶ ἐποποιὸς καὶ σοφιστής· » ἐκαλεῖτο δὲ Λογομάγειρος. μικρὸν δ' ἀποβὰς, ἐξ ἑτέρων παρειληφὼς, λέγει περὶ τοῦ αὐτοῦ· « Ἀντιφῶν, »Ἀθηναῖος, ὀνειροκρίτης, περὶ κρίσεως

§ 4. Καὶ ὁ Σωκράτης πρὸς ταῦτα εἶπεν· Δοκεῖς μοι, ἔφη, ὦ Ἀντιφῶν, ὑπειληφέναι με οὕτως ἀνιαρῶς ζῆν, ὥστε πέπεισμαι, σὲ μᾶλλον ἀποθανεῖν ἂν ἑλέσθαι, ἢ ζῆν, ὥσπερ ἐγώ. Ἴθι οὖν ἐπισκεψώμεθα, τί χαλεπὸν ἤσθησαι τοῦ ἐμοῦ βίου.

§ 5. Πότερον, ὅτι τοῖς μὲν λαμβάνουσιν ἀργύριον ἀναγκαῖόν ἐστιν ἀπεργάζεσθαι τοῦτο, ἐφ' ᾧ ἂν μισθὸν λαμβάνωσιν, ἐμοὶ δὲ μὴ λαμβάνοντι οὐκ ἀνάγκη διαλέγεσθαι, ᾧ ἂν μὴ βούλωμαι; ἢ τὴν δίαιτάν μου φαυλίζεις, ὡς ἧττον μὲν ὑγιεινὰ ἐσθίοντος ἐμοῦ ἢ σοῦ, ἧττον δὲ ἰσχὺν παρέχοντα; ἢ ὡς χαλεπώτερα πορίσασθαι τὰ ἐμὰ διαιτήματα τῶν σῶν, διὰ τὸ σπανιώτερά τε καὶ πολυτελέστερα εἶναι; ἢ ὡς ἡδίω σοι, ἃ σὺ παρασκευάζῃ[2] ὄντα, ἢ ἐμοί, ἃ ἐγώ;[3] οὐκ οἶσθα ὅτι ὁ μὲν ἥδιστα ἐσθίων ἥκιστα ὄψου δεῖται, ὁ δὲ ἥδιστα πίνων ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ;

§ 6. Τά γε μὴν ἱμάτια οἶσθα ὅτι οἱ μεταβαλλόμενοι ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας κωλύωνται πορεύεσθαι· ἦλθε οὖν ποτέ σοι ἢ ἐμὲ ἢ διὰ ψύχος μᾶλλόν του ἔνδον μένοντα, ἢ διὰ θάλπος μαχόμενόν τῳ περὶ σκιᾶς, ἢ διὰ τὸ ἀλγεῖν τοὺς πόδας οὐ βαδίζοντα, ὅπου ἂν βούλωμαι;

§ 7. Οὐκ οἶσθ' ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι, μελετήσαντες τῶν ἰσχυροτάτων ἀμελησάντων κρείττους τε γίγνονται, πρὸς ἃ ἂν μελετῶσι, καὶ ῥᾷον αὐτὰ φέρουσιν; ἐμὲ δὲ ἆρα οὐκ οἴει, τῷ σώματι ἀεὶ τὰ συντυγχάνοντα μελετῶντα καρτερεῖν, πάντα ῥᾷον φέρειν σοῦ μὴ μελετῶντος;

§ 8. Τοῦ δὲ μὴ δουλεύειν γαστρὶ μηδὲ ὕπνῳ καὶ λαγνείᾳ οἴει τι ἄλλο αἰτιώτερον εἶναι, ἢ τὸ ἕτερα ἔχειν τούτων ἡδίω, ἃ οὐ μόνον ἐν χρείᾳ ὄντα εὐφραίνει ἀλλὰ καὶ ἐλπίδας παρέχοντα ὠφελήσειν ἀεί; καὶ μήν τοῦτό γε οἶσθα, ὅτι οἱ μὲν οἰόμενοι μηδὲν εὖ πράττειν οὐκ εὐφραίνονται, οἱ δὲ ἡγούμενοι καλῶς προχωρεῖν ἑαυτοῖς ἢ γεωργίαν ἢ ναυκληρίαν ἢ ἄλλ' ὅ,τι ἂν τυγχάνωσιν ἐργαζόμενοι, ὡς εὖ πράττοντες εὐφραίνονται.

§ 9. Οἴει οὖν ἀπὸ πάντων τούτων τοσαύτην ἡδονὴν εἶναι, ὅσην ἀπὸ τοῦ ἑαυτόν τε ἡγεῖσθαι βελτίω γίγνεσθαι καὶ φίλους ἀμείνους κτᾶσθαι; ἐγὼ τοίνυν διατελῶ ταῦτα νομίζων. Ἐὰν δὲ ἢ φίλους[2]

ὀνείρων ἔγραψε.» Σ. —§ 5. 2. παρασκευάζῃ) Οἱ πρὸ ἐμοῦ ἔγραψαν παρασκευάζει, προελόμενοι τὴν ἀττικὴν τῶν δευτέρων προσώπων γραφὴν τῆς μεταγενεστέρας παρασκευάζῃ. —3. ἃ ἐγώ;) παρασκευάζομαι. — § 9. 2. Ἐὰν δὲ ἢ φίλους κ. τ. λ.) Οὕτως ἔγραψεν ὁ Σ. καὶ ἕτεροι, ἐκ διορθώσεως, ἀντὶ τοῦ Ε' ἀν δὲ δὴ φίλους. Ἀλλὰ παλινῳδῶν ὁ αὐτὸς Σ. ἐν ταῖς ἐπισημειώσεσι, κατὰ χώραν ἑκάτερα εἶναι κρίνει τὴν προτέραν γραφήν.

ἢ πόλιν ὠφελεῖν δέῃ, ποτέρῳ ἂν εἴη πλείων[3] σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ, ὡς ἐγὼ νῦν, ἢ τῷ, ὡς σὺ μακαρίζεις, διαιτωμένῳ; στρατεύοιτο δὲ πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν, ἢ ᾧ τὸ παρὸν ἀρκοίη; ἐκπολιορκηθείη δὲ πότερος ἂν ᾧττον, ὁ τῶν χαλεπωτάτων εὑρεῖν[4] δεόμενος, ἢ ὁ τοῖς ῥᾴστοις ἐντυγχάνειν ἀρκούντως χρώμενος;

§ 10. Ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δέεσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου· καὶ τὸ μὲν θεῖον[2] κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου.

§ 11. Πάλιν δέ ποτε ὁ Ἀντιφῶν διαλεγόμενος τῷ Σωκράτει εἶπεν· Ὦ Σώκρατες, ἐγώ τοι σὲ μὲν δίκαιον νομίζω, σοφὸν δὲ οὐδ' ὁπωστιοῦν. Δοκεῖς δέ μοι καὶ αὐτὸς τοῦτο γινώσκειν· οὐδένα γοῦν τῆς συνουσίας ἀργύριον πράττῃ. Καίτοι τό γε ἱμάτιον ἢ τὴν οἰκίαν ἢ ἄλλο τι, ὧν κέκτησαι, νομίζων ἀργυρίου ἄξιον εἶναι, οὐδενὶ ἂν μὴ ὅτι προῖκα δοίης, ἀλλ' οὐδ' ἔλαττον τῆς ἀξίας λαβών.

§ 12. Δῆλον δὴ ὅτι, εἰ καὶ τὴν [σὴν] συνουσίαν[2] ὅσου τινὸς ἀξίαν εἶναι, καὶ ταύτης ἂν οὐκ ἔλαττον τῆς ἀξίας ἀργύριον ἐπράττου. Δίκαιος μὲν οὖν ἂν εἴης, ὅτι οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ, σοφὸς δὲ οὐκ ἄν, μηδενός γε ἄξια ἐπιστάμενος.

§ 13. Ὁ δὲ Σωκράτης πρὸς ταῦτα εἶπεν, Ὦ Ἀντιφῶν, παρ' ἡμῖν νομίζεται, τὴν ὥραν καὶ τὴν σοφίαν ὁμοίως μὲν καλόν, ὁμοίως δὲ αἰσχρὸν διατίθεσθαι εἶναι[2]. Τὴν τε γὰρ ὥραν ἐάν μέν τις ἀργυρίου πωλῇ τῷ βουλομένῳ, πόρνον αὐτὸν ἀποκαλοῦσιν· ἐάν δέ τις, ὃν ἂν γνῷ καλόν τε κἀγαθὸν ἐραστὴν ὄντα, τοῦτον φίλον ἑαυτῷ ποιῆται, σώφρονα νομίζομεν· καὶ τὴν σοφίαν ὡσαύτως τοὺς μὲν ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας, σοφιστὰς *ὥσπερ πόρνους[3*] ἀποκαλοῦσιν· ὅς τις δὲ ὃν ἂν γνῷ εὐφυᾶ ὄντα, διδάσκων

— 3. ποτέρῳ ἂν εἴη πλείων) ΔΓ, ποτέρῳ ἢ πλείων, οὐ κακή. — 4. τῶν χαλεπώτατων εὑρεῖν) Ὀρθῶς ἐξηγήσαντο, τῶν χαλεπώτατα εὑρισκομένων, ἃ τις εὑρεῖν, μὴ μετὰ πολλῶν πόνων, οὐ δύναται.—§ 10. 2. καὶ τὸ μὲν θεῖον) Οὐκ ἀλόγως ἔγραψεν ὧδε τῶν κριτικῶν τις, καίτοι τὸ μὲν θεῖον, συλλογιστικῶς, ὥσπερ ἂν εἰ ἔλεγεν, Ἀλλὰ μὴν τὸ θεῖον. — § 12. 2. τὴν σὴν συνουσίαν) ΗΔ ἡ προσθήκη τῆς ἀντωνυμίας, ἣν καί τις τῶν πρὸ ἡμῶν προσθετέαν εἶναι ὑπενόησεν. Ἡρμήνευσεν αὐτὴν καὶ ὁ Β. γράψας, mercedem tuæ conversationis.—§ 13. 2. τὴν ὥραν καὶ τὴν σοφίαν, ὁμοίως μὲν καλὸν ὁμοίως δὲ αἰσχρὸν διατίθεσθαι εἶναι.) Οὐκ ἀλόγως ὕποπτον ἔδοξε τῷ Σ. τὸ χωρίον. Ὁ δ' οὖν νοῦς· Ἔστι καὶ τὴν σοφίαν, ὥσπερ καὶ τὴν ὥραν, καὶ καλῶς καὶ αἰσχρῶς διατίθεσθαι, τουτέστι πωλεῖν. Ἄμεινον ἴσως ἂν ἐγράφετο, εἰ τὸ τελευταῖον ἀπαρέμφατον, εἶναι, μετετίθε. το μετὰ τὸ καλὸν, ὡς εἶναι τὸν νοῦν, τὴν σοφίαν ὁμοίως μὲν ἕν τι τῶν λεγομένων καλῶν εἶναι, ὥσπερ καὶ τὴν ὥραν, ὁμοίως δὲ αἰσχρὸν τὸ διατίθεσθαι αὐτήν, ὡς διατίθενταί τινες τὴν ὥραν· ἀλλὰ κωλύει τὰ ἑπόμενα οὕτως ἐκδέχεσθαι τὸ λεγόμενον. — 3. ὥσπερ πόρνους) Ἀφοριστέας τοῦ κειμένου ἔκρινε τὰς δύο ταύτας λέξεις ὁ Σ.

ὅ τι ἂν ἔχῃ ἀγαθὸν, φίλον ποιεῖται, τοῦτον νομίζομεν, ἃ τῷ καλῷ κἀγαθῷ πολίτῃ προσήκει ταῦτα ποιεῖν.

§ 14. Ἐγὼ δ' οὖν καὶ αὐτὸς, ὦ Ἀντιφῶν, ὥσπερ ἄλλος τις ἢ ἵππῳ ἀγαθῷ ἢ κυνὶ ἢ ὄρνιθι ἥδεται, οὕτω καὶ ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς· καὶ, ἐάν τι σχῶ ἀγαθὸν, διδάσκω, καὶ ἄλλοις συνίστημι, παρ' ὧν ἂν ἡγῶμαι ὠφελήσεσθαί τι αὐτοὺς εἰς ἀρετήν. Καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων κοινῇ σὺν τοῖς φίλοις διέρχομαι· καὶ, ἄν τι ὁρῶμεν ἀγαθόν, ἐκλεγόμεθα, καὶ μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις ὠφέλιμοι γιγνώμεθα. Ἐμοὶ μὲν δὴ ταῦτα ἀκούοντι ἐδόκει αὐτός τε μακάριος εἶναι, καὶ τοὺς ἀκούοντας ἐπὶ καλοκἀγαθίαν ἄγειν.

§ 15. Καὶ πάλιν ποτὲ τοῦ Ἀντιφῶντος ἐρομένου αὐτὸν, πῶς ἄλλους μὲν ἡγοῖτο πολιτικοὺς ποιεῖν, αὐτὸς δὲ οὐ πράττοι τὰ πολιτικά, εἴπερ ἐπίσταιτο; Ποτέρως δ' ἂν, ἔφη, ὦ Ἀντιφῶν, μᾶλλον τὰ πολιτικὰ πράττοιμι, εἰ μόνος αὐτὰ πράττοιμι, ἢ εἰ ἐπιμελοίμην τοῦ ὡς πλείστους ἱκανοὺς εἶναι πράττειν αὐτά;

ΚΕΦΑΛΑΙΟΝ VII.

§ 1. Ἐπισκεψώμεθα δὲ, εἰ καὶ ἀλαζονείας ἀποτρέπων τοὺς συνόντας, ἀρετῆς ἐπιμελεῖσθαι προέτρεπεν· ἀεὶ γὰρ ἔλεγεν, ὡς οὐκ εἴη καλλίων ὁδὸς ἐπ' εὐδοξίαν[2] ἢ δι' ἧς ἄν τις ἀγαθός τι γένοιτο, καὶ μὴ δοκεῖν βούλοιτο.

§ 2. Ὅτι δ' ἀληθῆ ἔλεγεν, ὧδε ἐδίδασκεν. Ἐνθυμώμεθα γάρ, ἔφη, εἴ τις, μὴ ὢν ἀγαθὸς αὐλητὴς, δοκεῖν βούλοιτο, τί ἂν αὐτῷ ποιητέον εἴη; ἆρ' οὐ τὰ ἔξω τῆς τέχνης μιμητέον τοὺς ἀγαθοὺς αὐλητάς; καὶ πρῶτον μὲν, ὅτι ἐκεῖνοι σκεύη τε καλὰ κέκτηνται καὶ ἀκολούθους περιάγονται, καὶ τούτῳ ταῦτα ποιητέον· ἔπειτα, ὅτι ἐκείνους πολλοὶ ἐπαινοῦσι, καὶ τούτῳ πολλοὺς ἐπαινέτας παρασκευαστέον. Ἀλλὰ μὴν ἔργον γε. οὐδαμοῦ λητέον, ἢ εὐθὺς ἐλεγχθήσεται γελοῖος ὤν, καὶ οὐ μόνον αὐλητὴς κακὸς, ἀλλὰ καὶ ἄνθρωπος ἀλαζών. Καί τοι πολλὰ μὲν δαπανῶν, μηδὲν δὲ ὠφελούμενος, πρὸς δὲ τούτοις κακοδοξῶν, πῶς οὐκ ἐπίπονός τε καὶ ἀλυσιτελῶς καὶ καταγελάστως βιώσεται;

§ 3. Ὡσαύτως, εἴ τις βούλοιτο στρατηγὸς ἀγαθὸς, μὴ ὢν, φαίνεσθαι, ἢ κυβερνήτης, ἐννοῶμεν, τί ἂν συμβαίνοι; Ἆρ' οὐκ ἄν, εἰ μὲν, ἐπιθυμῶν τοῦ δοκεῖν ἱκανὸς εἶναι ταῦτα πράττειν,

---

§. 1. 2. ἐπ' εὐδοξίαν.] Ἐκ ΔΓ, ΑΤ, ΗΔ, ἀντὶ τοῦ ΤΑΥΤΗ. τοῦτο γὰρ ἡρμήνευσε καὶ ὁ B. tristissimum est, ἀγνοήσας ὅλως, τὸ μηδὲν πρὸς ἔπος ἐνθάμὴ δύναιτο πείθειν, ΠΑΝΤΗ λυπηρόν;]

μὴ δύναιτο πείθειν, πάντῃ λυπηρόν;[2] εἰ δὲ πείσειεν, ἔτι ἀθλιώτερον; δῆλον γὰρ, ὅτι κυβερνᾶν τε κατασταθεὶς ὁ μὴ ἐπιστάμενος ἢ στρατηγεῖν, ἀπολέσειεν ἄν, οὓς ἥκιστα βούλοιτο, καὶ αὐτὸς αἰσχρῶς ἂν καὶ κακῶς ἀπαλλάξειεν.

§ 4. Ὡσαύτως δὲ καὶ τὸ πλούσιον καὶ τὸ ἀνδρεῖον ἰσχυρὸν μὴ ὄντα δοκεῖν, ἀλυσιτελὲς ἀπέφαινε. Προστάττεσθαι γὰρ αὐτοῖς ἔφη μείζω ἢ κατὰ δύναμιν, καὶ μὴ δυναμένους ταῦτα ποιεῖν, δοκοῦντας ἱκανοὺς εἶναι, συγγνώμης οὐκ ἂν τυγχάνειν.

§ 5. Ἀπατεῶνα δ' ἐκάλει οὐ μικρὸν μέν, εἴ τις ἀργύριον[2] ἢ σκεῦος παρά του πειθοῖ λαβὼν ἀποστεροίη, πολὺ δὲ μέγιστον, ὅστις μηδενὸς ἄξιος ὢν ἐξηπατήκει, πείθων[3] ὡς ἱκανὸς εἴη τῆς πόλεως ἡγεῖσθαι. Ἐμοὶ μὲν οὖν ἐδόκει καὶ τοῦ ἀλαζονεύεσθαι ἀποτρέπειν τοὺς συνόντας τοιάδε διαλεγόμενος.

ΒΙΒΛΙΟΝ Β'.

ΚΕΦΑΛΑΙΟΝ Ι.

§ 1. Ἐδόκει δέ μοι καὶ τοιαῦτα λέγων προτρέπειν τοὺς συνόντας ἀσκεῖν ἐγκράτειαν *πρὸς ἐπιθυμίαν*[2] βρωτοῦ καὶ ποτοῦ καὶ λαγνείας καὶ ὕπνου, καὶ ῥίγους καὶ θάλπους καὶ πόνου. Γνοὺς δέ τινα τῶν συνόντων ἀκολαστοτέρως ἔχοντα πρὸς τὰ τοιαῦτα, Εἰπέ μοι, ἔφη, ὦ Ἀριστιππε, εἰ δέοι σε παιδεύειν παραλαβόντα δύο τῶν νέων, τὸν μὲν, ὅπως ἱκανὸς ἔσται ἄρχειν, τὸν δὲ, ὅπως μὴ ἀντιποιήσεται ἀρχῆς, πῶς ἂν ἑκάτερον παιδεύοις; βούλει σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς τροφῆς ὥσπερ ἀπὸ τῶν στοιχείων; Καὶ ὁ Ἀρίστιππος ἔφη, Δοκεῖ γοῦν μοι ἡ τροφὴ ἀρχὴ εἶναι· οὐδὲ γὰρ ζῴη γ' ἄν τις, εἰ μὴ τρέφοιτο.

§ 2. Οὐκοῦν τὸ μὲν βούλεσθαι σίτου ἅπτεσθαι, ὅταν ὥρα ἦ, ἀμφοτέροις εἰκὸς παραγίγνεσθαι; Εἰκὸς γὰρ, ἔφη. Τὸ οὖν προαι-

---

δε ταύτη. Ἕτεροι δὲ παρήνουν, πάνυ. — § 5. 2. Ἀπατεῶνα δ' ἐκάλει ΟΥ ΜΙΚΡΟΝ ΜΕΝ, ΕΪΤΙΣ ἀργύριον κτλ.] Οὐκ ἐρρῶσθαι τὸ χωρίον, δηλοῦσι καὶ αἱ ΔΓ, ΤΟΝ ΟΥ ΜΙΚΡΟΝ ΜΕΝ Ο' ΟΥ Δ' ΕΪ ΤΙΣ: ΜΙΚΡΟΝ ΜΕΝ ΤΟΝ ΕΪ ΤΙΣ. Ο' δὲ Β. μεταφράζων, Deceptorem autem non illum appellabat, qui quum parvum quidpiam, aut argentum, aut vasculum a quopiam persuaso accipiens, eo illum privaret, δῆλός ἐστι μετατιθεὶς τὸ μικρὸν, ἀνεγνωκώς τε, ἢ ἀναγινώσκειν δεῖν ἐγνωκώς. Ἀπατεῶνα δ' ἐκάλει ΟΥ ΤΟΝ ΕΪ ΤΙΣ ΜΙΚΡΟΝ Η' ἀργύριον κ. τ. λ. Γραπτέον, οἶμαι, ὥσπερ ἡ ἑτέρα ὧν ἐδηλώσαμεν ΔΓ, δίχα τῆς ἀρνήσεως, Ἀπατεῶνα δ' ἐκάλει μικρὸν μὲν τὸν εἴ τις ἀργύριον — 3. ἐξηπατήκει.] Ἀντὶ τούτου ἔγραψέ τις τῶν χριτικῶν ἐξηπατήλοι. Οὐδέτερον ἀρέσκει τῷ Σ. Εἰκότως· ὤφειλε γὰρ εἶναι κατ' εὐκτικὸν ἐνεστῶτα, ἐξαπατῴη.

§ 1. 2. πρὸς ἐπιθυμίαν] Ἀφώρισα τὰς λέξις ταύτας τοῦ κειμένου, χρινάντων μόνον οὐχ ἁπάντων τῶν χριτι-

ρεῖσθαι τὸ κατεπεῖγον μᾶλλον πράττειν, ἢ τῇ γαστρὶ χαρίζεσθαι, πότερον ἂν αὐτῶν ἐθίζοιμεν; Τὸν εἰς τὸ ἄρχειν, ἔφη, νὴ Δία παιδευόμενον, ὅπως μὴ τὰ τῆς πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀργίαν.[2] Οὐκοῦν, ἔφη, καὶ ὅταν πιεῖν βούλωνται,[3] τὸ δύνασθαι διψῶντα ἀνέχεσθαι τῷ αὐτῷ προσθετέον; Πάνυ μὲν οὖν, ἔφη.

§ 3. Τὸ δὲ ὕπνου ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ ὀψὲ κοιμηθῆναι, καὶ πρωῒ ἀναστῆναι, καὶ ἀγρυπνῆσαι, εἴ τι δέοι, ποτέρῳ ἂν προσθείημεν; Καὶ τοῦτο, ἔφη, τῷ αὐτῷ. Τί δὲ, ἔφη, τὸ ἀφροδισίων ἐγκρατῆ εἶναι, ὥστε μὴ διὰ ταῦτα κωλύεσθαι πράττειν, εἴ τι δέοι; Καὶ τοῦτο, ἔφη, τῷ αὐτῷ. Τί δέ; τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἐθελοντὴν ὑπομένειν, ποτέρῳ ἂν προσθείημεν; Καὶ τοῦτο, ἔφη, τῷ ἄρχειν παιδευομένῳ. Τί δέ; τὸ μαθεῖν, εἴ τι ἐπιτήδειόν ἐστι μάθημα πρὸς τὸ κρατεῖν τῶν ἀντιπάλων, ποτέρῳ ἂν προσεῖναι μᾶλλον πρέποι;[2] Πολὺ, νὴ Δί', ἔφη, τῷ ἄρχειν παιδευομένῳ· καὶ γὰρ καὶ τῶν ἄλλων οὐδὲν ὄφελος ἄνευ τῶν τοιούτων μαθημάτων.

§ 4. Οὐκοῦν ὁ οὕτω πεπαιδευμένος ἧττον ἂν δοκεῖ σοι ὑπὸ τῶν ἀντιπάλων ἢ τὰ λοιπὰ ζῶα ἁλίσκεσθαι; τούτων γὰρ θήπου τὰ μὲν γαστρὶ δελεαζόμενα, καὶ μάλα ἔνια δυσωπούμενα, ὅμως τῇ ἐπιθυμίᾳ τοῦ φαγεῖν ἀγόμενα πρὸς τὸ δέλεαρ ἁλίσκεται, τὰ δὲ ποτῷ ἐνεδρεύεται. Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ ἄλλα ὑπὸ λαγνείας, οἷον οἵ τε ὄρτυγες καὶ οἱ πέρδικες; πρὸς τὴν θηλείας φωνὴν τῇ ἐπιθυμίᾳ καὶ τῇ ἐλπίδι τῶν ἀφροδισίων φερόμενοι, καὶ ἐξιστάμενοι τοῦ τὰ δεινὰ ἀναλογίζεσθαι, τοῖς θηρεύτροις ἐμπίπτουσι; Συνέφη καὶ ταῦτα.

§ 5. Οὐκοῦν δοκεῖ σοι αἰσχρὸν εἶναι ἀνθρώπῳ, ταὐτὰ πάσχειν τοῖς ἀφρονεστάτοις τῶν θηρίων; ὥσπερ οἱ μοιχοὶ εἰσέρχονται εἰς τὰς εἰρκτὰς, εἰδότες ὅτι κίνδυνος[2] τῷ μοιχεύοντι, ἅ τε ὁ νόμος ἀπειλεῖ, παθεῖν, καὶ ἐνεδρευθῆναι, καὶ ληφθέντα ὑβρισθῆναι· καὶ τηλικούτων μὲν ἐπικειμένων τῷ μοιχεύοντι κακῶν τε καὶ αἰσχρῶν, ὄντων δὲ πολλῶν[3] τῶν ἀπολυσόντων τῆς τῶν ἀφροδισίων

κῶν· ἠγνόηκε δ' αὐτὰς καὶ ὁ B. — § 2. 2. παρὰ τὴν ἐκείνου ἀργίαν.] Ἐκ τοῦ B. otium, ὁρμώμενοι οἱ πρὸ ἐμοῦ ἔγραψαν ἀργίαν, ἀντὶ τοῦ ἀρχήν. Ἴσως ἦν Λαιμαργίαν ἔν τισι τῶν ἀντιγράφων, μεταποιηθὲν ἐν ἑτέροις ὕστερον εἰς τὸ Ἀργίαν. — 3. καὶ ὅταν πιεῖν Βούλωνται κ. τ. λ.] Ἀνεκάλεσα τὴν πάλαι γραφὴν, τηρηθεῖσαν καὶ ὑφ' ἑτέρων, ἀνθ' ἧς ὁ Σ. ἐξ ΕΔ ἔγραψεν, Βούληται. — § 3. 2. ποτέρῳ ἂν ΠΡΟΣΕΙΝΑΙ μᾶλλον πρέποι;) ΠΡΟΣΘΕΙΝΑΙ ἔγραψέ τις τῶν κριτικῶν, ὃ καλῶς ποιῶν οὐκ ἀπεδέξατο ὁ Σ. Ἴσως δὲ καὶ αὐτὸ τὸ ΠΡΟΣΕΙΝΑΙ ἀφοριστέον ὅλως τοῦ κειμένου, γράφοντας, Ποτέρῳ ἂν μᾶλλον πρέποι; καὶ γὰρ καὶ ὁ B. δῆλός ἐστιν οὐκ ἐντυχὼν τῷ ἀπαρεμφάτῳ, ἐπεὶ ἑρμηνεύει, cui magis convenit; — § 5. 2. εἰδότες ὅτι κίνδυνος κ. τ. λ.] Ἴσως γραπτέον, καίπερ εἰδότες κ. τ. λ. ὁ Σ. ἠβούλετο, καίτοι εἰδότες — 3. καὶ τηλικούτων μὲν ἐπικειμένων . . . . ὄντων δὲ πολλῶν κ. τ. λ.] Ὁ B. Quum igitur talia immineant

ἐπιθυμίας ἐν ἀδείᾳ, ὅμως[4] εἰς τὰ ἐπικίνδυνα φέρεσθαι, ἆρ' οὐκ ἤδη τοῦτο παντάπασι κακοδαιμονῶντός ἐστιν; Ἔμοι γε δοκεῖ, ἔφη.

§ 6. Τὸ δὲ εἶναι μὲν τὰς ἀναγκαιοτάτας πλείστας πράξεις τοῖς ἀνθρώποις ἐν ὑπαίθρῳ, οἷον τάς τε πολεμικὰς καὶ τὰς γεωργικὰς καὶ τῶν ἄλλων οὐ τὰς ἐλαχίστας, τοὺς δὲ πολλοὺς ἀγυμνάστως ἔχειν πρός τε ψύχη καὶ πρὸς θάλπη, οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι; Συνέφη καὶ τοῦτο. Οὐκοῦν δοκεῖ σοι τὸν μέλλοντα ἄρχειν ἀσκεῖν δεῖν καὶ ταῦτα εὐπετῶς φέρειν; Πάνυ μὲν οὖν, ἔφη.

§ 7. Οὐκοῦν, εἰ τοὺς ἐγκρατεῖς τούτων ἁπάντων εἰς τοὺς ἀρχικοὺς τάττομεν, τοὺς ἀδυνάτους ταῦτα ποιεῖν εἰς τοὺς μηδ' ἀντιποιησομένους τοῦ ἄρχειν τάξομεν; Συνέφη καὶ τοῦτο. Τί οὖν; ἐπειδὴ καὶ τούτων ἑκατέρου τοῦ φίλου τὴν τάξιν οἶσθα, ἤδη ποτ' ἐπεσκέψω, εἰς ποτέραν τῶν τάξεων τούτων σαυτὸν δικαίως ἂν τάττοις;

§ 8. Ἔγωγ', ἔφη ὁ Ἀρίστιππος, οὐδ' ὅλως γε τάττω ἐμαυτὸν εἰς τὴν τῶν ἄρχειν βουλομένων τάξιν. Καὶ γὰρ πάνυ μοι δοκεῖ ἄφρονος ἀνθρώπου εἶναι τὸ, μεγάλου ἔργου ὄντος τοῦ ἑαυτῷ τὰ δέοντα παρασκευάζειν, μὴ ἀρκεῖν τοῦτο, ἀλλὰ προσαναθέσθαι τὸ καὶ τοῖς ἄλλοις πολίταις, ὧν δέονται, πορίζειν· καὶ ἑαυτῷ μὲν πολλὰ, ὧν βούλεται, ἐλλείπειν,[2] τῆς δὲ πόλεως προεστῶτα, ἐὰν μὴ πάντα ὅσα ἡ πόλις βούλεται καταπράττῃ, τούτου δίκην ὑπέχειν, τοῦτο πῶς οὐ πολλὴ ἀφροσύνη ἐστί;

§ 9. Καὶ γὰρ ἀξιοῦσιν αἱ πόλεις τοῖς ἄρχουσιν, ὥσπερ ἐγὼ τοῖς οἰκέταις χρῆσθαι. Ἐγώ τε γὰρ ἀξιῶ τοὺς θεράποντας ἐμοὶ μὲν ἄφθονα τὰ ἐπιτήδεια παρασκευάζειν, αὐτοὺς δὲ μηδενὸς τούτων ἅπτεσθαι· αἵ τε πόλεις οἴονται χρῆναι τοὺς ἄρχοντας ἑαυταῖς μὲν ὡς πλεῖστα ἀγαθὰ πορίζειν, αὐτοὺς δὲ πάντων τούτων ἀπέχεσθαι. Ἐγὼ οὖν τοὺς μὲν βουλομένους πολλὰ πράγματα ἔχειν αὐτούς τε καὶ ἄλλοις παρέχειν, οὕτως ἂν παιδεύσας εἰς τοὺς ἀρχικοὺς καταστήσαιμι. Ἐμαυτὸν τοίνυν[2] τάττω εἰς τοὺς βουλομένους ἥ ῥᾷστά τε καὶ ἥδιστα βιοτεύειν.

§ 10. Καὶ ὁ Σωκράτης ἔφη, Βούλει οὖν καὶ τοῦτο σκεψώμεθα, πότεροι ζῶσιν ἥδιον, οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι; Πάνυ μὲν

. . . multaque sint, ὥσπερ ἂν εἰ ἐγέγραπτο, τηλικούτων οὖν ἐπικειμένων . . . ὄντων τε πολλῶν. — 4. τῶν ἀπολυσόντων τῆς . . . . ἐπιθυμίας ΕΝ ΑΔΕΙΑ, ὅμως.] Λείπει ἐκ τοῦ B. τὸ ΕΝ ΑΔΕΙΑ, καὶ λεῖπον οὐδὲν ἂν λυμήναιτο τὸν λόγον. Ἀμφίβολον δὲ καὶ εἰ χρὴ συνάπτειν αὐτὸ τῇ μετοχῇ ἀπολυσόντων, κατὰ τόνδε τὸν νοῦν, ἃ ἔχουσιν ἀπολύειν τῆς ἐπιθυμίας ἄνευ δέους ἢ στίζοντας πρὸ αὐτοῦ, ἐπιθυμίας, ἐν ἀδείᾳ ὅμως, συναρτᾶν τοῖς ἑξῆς, ἄνευ δέους ὅμως εἰς τὰ ἐπικίνδυνα φέρεσθαι. — § 8. 2. ἐλλείπειν] ΔΓ, ἐκλείπειν. — § 9. 2. Ἐμαυτὸν τοίνυν κ. τ. λ.] Πρόσθες καὶ τοῦτο τῷ προσημειωθέντι (σελ. 17) δεύτερον παράδειγμα τῆς σημασίας τοῦ τοίνυν, ἀντὶ τοῦ Δέ· ᾧ μὴ προσχόντες

οὖν, ἔφη. Πρῶτον μὲν τοίνυν τῶν ἐθνῶν, ὧν ἡμεῖς ἴσμεν, ἐν μὲν τῇ Ἀσίᾳ Πέρσαι μὲν ἄρχουσιν, ἄρχονται δὲ Σύροι καὶ Φρύγες καὶ Λυδοί· ἐν δὲ τῇ Εὐρώπῃ Σκύθαι μὲν ἄρχουσι, Μαιῶται δὲ ἄρχονται· ἐν δὲ τῇ Λιβύῃ Καρχηδόνιοι μὲν ἄρχουσι, Λίβυες δὲ ἄρχονται. Τούτων οὖν ποτέρους ἥδιον οἴει ζῆν; ἢ τῶν Ἑλλήνων, ἐν οἷς καὶ αὐτὸς εἶ, πότεροί σοι δοκοῦσιν ἥδιον οἱ κρατοῦντες ἢ οἱ κρατούμενοι ζῆν;

§ 11. Ἀλλ' ἐγώ τοι, ἔφη ὁ Ἀρίστιππος, οὐδὲ εἰς τὴν δουλείαν αὖ ἐμαυτὸν τάττω· ἀλλ' εἶναί τίς μοι δοκεῖ μέση τούτων ὁδός, ἣν πειρῶμαι βαδίζειν, οὔτε δι' ἀρχῆς, οὔτε διὰ δουλείας, ἀλλὰ δι' ἐλευθερίας, ἥπερ μάλιστα πρὸς εὐδαιμονίαν ἄγει.

§ 12. Ἀλλ', εἰ μέντοι, ἔφη ὁ Σωκράτης, ὥσπερ οὔτε δι' ἀρχῆς οὔτε διὰ δουλείας ἡ ὁδὸς αὕτη φέρει, οὕτω μηδὲ δι' ἀνθρώπων, ἴσως ἄν τι λέγοις· εἰ μέντοι[2] ἐν ἀνθρώποις ὢν μήτε ἄρχειν ἀξιώσεις μήτε ἄρχεσθαι, μήτε τοὺς ἄρχοντας ἐκὼν θεραπεύσεις, οἶμαί σε ὁρᾶν, ὡς ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας, καὶ κοινῇ καὶ ἰδίᾳ κλαίοντας καθίσαντες,[3] ὡς δούλοις χρῆσθαι.

§ 13. Ἢ λανθάνουσί σε οἱ ἄλλων σπειράντων καὶ φυτευσάντων τόν τε σῖτον τέμνοντες καὶ δενδροκοποῦντες, καὶ πάντα τρόπον πολιορκοῦντες τοὺς ἥττονας καὶ μὴ θέλοντας θεραπεύειν, ἕως ἂν πείσωσιν ἐλέσθαι δουλεύειν ἀντὶ τοῦ πολεμεῖν τοῖς κρείττοσι; καὶ ἰδίᾳ αὖ οἱ ἀνδρεῖοι καὶ δυνατοὶ τοὺς ἀνάνδρους καὶ ἀδυνάτους οὐκ οἶσθα ὅτι καταδουλωσάμενοι καρποῦνται; Ἀλλ' ἐγώ τοι, ἔφη, ἵνα μὴ πάσχω ταῦτα, οὐδ' εἰς πολιτείαν ἐμαυτὸν καταβάλλω, ἀλλὰ ξένος πανταχοῦ εἰμί.

§ 14. Καὶ ὁ Σωκράτης ἔφη, τοῦτο μέντοι ἤδη λέγεις δεινὸν πάλαισμα. Τοὺς γὰρ ξένους, ἐξ οὗ ὅ τε Σίννις καὶ ὁ Σκείρων καὶ ὁ Προκρούστης[2] ἀπέθανον, οὐδεὶς ἔτι ἀδικεῖ· ἀλλὰ νῦν οἱ μὲν πο-

---

οἱ πρὸ ἡμῶν, εἰς τοῦτον τὸν Δὲ τρέπειν παρήνουν. — § 12. 2. εἰ μέν τοι, ἔφη. . . . εἰ μέντοι.] Ἴσως τρεπτέον Σάτερον τῶν δύο, Εἰ μέντοι, τὸ πρῶτον, εἰς τὸ, εἰ μὲν, ὥσπερ ἔδοξε καὶ τῷ Σ. — 3. κλαίοντας καθίσαντες.] Πρῶτος ὁ Σ. ἔτρεψε τὸ καθιστάντες εἰς τὸ καθίσαντες, πιστωσάμενος τὸ ἀναγκαῖον τῆς τροπῆς παραλλήλοις ἑτέροις χωρίοις τοῦ Ξενοφῶντος· τῷ μὲν ἐκ τῆς Κύρου παιδείας (II, 2 § 14) «Καὶ νόμοι γε πολίτας διὰ τοῦ κλαίοντας καθίζειν εἰς δικαιοσύνην προτρέπονται·« τῷ δὲ ἐκ τοῦ Συμποσίου (3 § 11) »Ὑπερεμνύεται, ὅτι δύναται πολλοὺς κλαίοντας καθίζειν.« Ἡ δὲ φράσις, Κλαίοντα καθίζειν, παρ' οὐδενὶ ἑτέρῳ τῶν δοκίμων εὕρηται. Δύναται δὲ, Κλαίειν ποιήσαντες· καὶ ἔοικε τροπικῶς τὸ Καθίζειν ἀπὸ τῶν τοιούτων ἢ προτρεπομένων τὸν ἀνεστηκότα καθέζεσθαι, μετενηνέχθαι καὶ ἐπὶ τοὺς δεσπότας οἳ τοὺς ἐπανισταμένους δούλους πληγαῖς ἀναγκάζουσιν ἡσυχίαν ἄγειν. Τοιαύτῃ τροπῇ κέχρηται καὶ ἡ παρ' ἡμῖν συνήθεια ἐν τῷ συνθέτῳ Καταχαθίζω. οἷον, ὅταν ἐπὶ φιλονεικούντων, περὶ τοῦ νικήσαντος λέγωμεν, Τὸν ἐκαταχάθισε, Γαλλιστὶ il l'a réduit à la raison ἢ au silence, il a rabattu ἢ rabaissé son caquet. — § 14. 2. ὅ,τε Σίννις καὶ ὁ Σκείρων καὶ ὁ Προκρούστης,] Περὶ ὧν καὶ Πλούταρ-

λιτευόμενοι ἐν ταῖς πατρίσι καὶ νόμους τίθενται ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς τοῖς ἀναγκαίοις καλουμένοις ἄλλους κτῶνται βοηθοὺς, καὶ ταῖς πόλεσιν ἐρύματα περιβάλλονται, καὶ ὅπλα κτῶνται οἷς ἀμύνωνται[3] τοὺς ἀδικοῦντας, καὶ πρὸς τούτοις ἄλλους ἔξωθεν συμμάχους κατασκευάζονται· καὶ οἱ μὲν πάντα ταῦτα κεκτημένοι ὅμως ἀδικοῦνται.

§ 15. Σὺ δὲ οὐδὲν μὲν τούτων ἔχων, ἐν δὲ ταῖς ὁδοῖς, ἔνθα πλεῖστοι ἀδικοῦνται, πολὺν χρόνον διατρίβων, εἰς ὁποίαν δ' ἂν πόλιν ἀφίκῃ, τῶν πολιτῶν πάντων ἥττων ὢν,[2] καὶ τοιοῦτος, οἵοις μάλιστα ἐπιτίθενται οἱ βουλόμενοι ἀδικεῖν, ὅμως, διὰ τὸ ξένος εἶναι, οὐκ ἂν οἴει ἀδικηθῆναι; ἢ, διότι αἱ πόλεις σοι κηρύττουσιν ἀσφάλειαν καὶ προσιόντι καὶ ἀπιόντι, θαῤῥεῖς; ἢ διότι καὶ δοῦλος ἂν οἴει τοιοῦτος εἶναι,[3] οἷος μηδενὶ δεσπότῃ λυσιτελεῖν; τίς γὰρ ἂν ἐθέλοι ἄνθρωπον ἐν οἰκίᾳ ἔχειν, πονεῖν μὲν μηδὲν ἐθέλοντα, τῇ δὲ πολυτελεστάτῃ διαίτῃ χαίροντα;

§ 16. Σκεψώμεθα δὲ καὶ τοῦτο, τῶς οἱ δεσπόται τοῖς τοιούτοις οἰκέταις χρῶνται. Ἆρα οὐ τὴν μὲν λαγνείαν αὐτῶν τῷ λιμῷ σοφρονίζουσι; κλέπτειν δὲ κωλύουσιν, ἀποκλείοντες ὅθεν ἄν τι λαβεῖν ᾖ; τοῦ δὲ δραπετεύειν δεσμοῖς ἀπείργουσι; τὴν ἀργίαν γε πλημαῖς ἐξαναγκάζουσιν;[2] ἢ σὺ πῶς ποιεῖς, ὅταν τῶν οἰκετῶν τινά τοιοῦτον ὄντα καταμανθάνῃς;

§ 17. Κολάζω, ἔφη, πᾶσι κακοῖς, ἕως ἂν δουλεύειν ἀναγκάσω. Ἀλλὰ γάρ, ὦ Σώκρατες, οἱ εἰς τὴν βασιλικὴν τέχνην παιδευόμενοι. ἣν δοκεῖς μοι σὺ νομίζειν εὐδαιμονίαν εἶναι, τί διαφέρουσι τῶν ἐξ ἀνάγκης κακοπαθούντων, εἴ γε πεινήσουσί καὶ διψήσουσι καὶ ῥιγώσουσι καὶ ἀγρυπνήσουσι καὶ τἄλλα πάντα μοχθήσουσιν ἐκόντες; ἐγὼ μὲν γὰρ οὐκ οἶδ', ὅ τι διαφέρει τῷ αὐτὸ δέρμα ἑκόντα ἢ ἄκοντα μαστιγοῦσθαι, Ἢ ὅλως τὸ αὐτὸ σῶμα πᾶσι τοῖς τοιούτοις ἑκόντα ἢ ἄκοντα πολιορκεῖσθαι· ἄλλο γε ἡ ἀφροσύνη[2] πρόσεστι τῷ ἐθελοντὶ τὰ λυπηρὰ ὑπομένειν;[3]

§ 18. Τί δ', ὦ Ἀρίστιππε, ὁ Σωκράτης ἔφη, οὐ δοκεῖ σοι

χος (Θητ. §8 — 11) ἐστόρηκε. — 3. οἷς γε ἡ ἀφροσύνη κ. τ. λ.] προσπακουάμύνωνται.] Ἀρχαιοτέρα γραφὴ, ἀμύστέον ἐκ τῶν προλελεγμένων τὸ διαναι· ἕτεροι δὲ γραπτέον εἶναι φήθηφέρει· ἄλλο γέ τι διαφέρει ἢ ὅσαν, οἷς ἂν ἀμύνωνται. Ἄμεινον ἴσως τι ἀφροσύνη κ. τ. λ.; ἐρωτηματικῶς· γράφειν, ἀμυνοῦνται, ὥσπερ ἔοικεν ἀναὁ δὲ, B. ἀποφαντικῶς μετ' ἀσυνήγνωναι καὶ ὁ B. — § 15. 2. τῶν πολιτῶν θείας οὐκ ἄλλο γέ τι διαφέρει, nihil interesse mihi videtur. — 3. τῷ ἐθελοντὶ ΠΑΝΤΩΝ ἥττων ὤν.] ΔΓ (ἀμείνων ἴτὰ λυπηρὰ ὑπομένειν.] Ἐξ ΕΔ, ἀντὶ σως) ΠΑΝΤΑ, τουτέστι κατὰ πάντα. τοῦ, ΘΕΛΟΝΤΙ, καθάπερ ἔοικεν ἀνεγνω— 3. καὶ δοῦλος ΑΝ οἴει τοιοῦτος εἶναι] κέναι καὶ ὁ B. Qui hæc ultro sustinere velit. ΔΓ, ΩΝ, τουτέστιν, εἰ ἦσθα δοῦλος — — § 16. 2. τὴν ἀργίαν . . . . ἐξαναγκάζουσιν] ἐργάζεσθαι. — § 17. 2. ἄλλο διαφέρειν . . . . ἢ ὁ μὲν κ. τ. λ.] ΠΔ,

τούτῳ διαφέρειν τὰ ἑκούσια τῶν ἀκουσίων, ἢ ὁ μὲν[2] ἑκὼν πεινῶν, φάγοι ἂν ὁπότε βούλοιτο, καὶ ὁ ἑκὼν διψῶν, πίοι, καὶ τἆλλ' ὡσαύτως· τῷ δ' ἐξ ἀνάγκης ταῦτα πάσχοντι οὐκ ἔξεστιν, ὁπότ' ἂν βούληται, παύεσθαι;[3] ἔπειτα ἑκουσίως ταλαιπωρῶν ἐπ' ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται· οἷον οἱ τὰ θηρία θηρῶντες, ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι.

§ 19. Καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά ἐστι· τοὺς δὲ πονοῦντας, ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσωνται, ἢ ἵνα δυνατοὶ γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς, καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι, καὶ τοὺς φίλους εὖ ποιῶσι, καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι[2] χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα, καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτούς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων;

§ 20. Ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδὺναί οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι, ὡς φασὶν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν· αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὡς φασὶν οἱ ἀγαθοὶ ἄνδρες. Λέγει δέ που καὶ Ἡσίοδος,

Τὴν μὲν γὰρ[2] κακότητα καὶ ἱλαδόν ἐστιν ἑλέσθαι
Ῥηϊδίως· λείη μὲν ὁδός,[3] μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν,
Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,[4]
Ῥηϊδίη δ' ἔπειτα πέλει, χαλεπὴ περ ἐοῦσα.

Μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·

. . . . . Τῶν πόνων
Πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί[5]

Καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν·

Ὦ πονηρὲ μὴ τὰ μαλακὰ μώσεο, μὴ τὰ σκληρ' ἔχῃς.[6]

ΑΤ, οὐ δοκεῖ σοι ΤΩΝ ΤΟΙΟΥΤΩΝ διαφέρειν κ. τ. λ. Μαρτυρεῖ τῇ διορθώσει καὶ ὁ Β. ἑρμηνεύσας, ista ratione. — 3. παύεσθαι] πεινῶντα ἢ διψῶντα. — § 19. 2. πῶς οὐκ οἴεσθαι.] Παρήνει τις τῶν κριτικῶν γράφειν μετὰ τοῦ μειωτικοῦ, Πῶς οὐκ οἴεσθαί γε. — § 20. 2. τὴν μὲν γὰρ κ. τ. λ.] Παρὰ δὲ τῷ Ἡσιόδῳ (ἔργ. καὶ ἡμ. 287) φέρεται, τὴν μέντοι. — 3. λείη μὲν ὁδός.] Ἀμείνων ἦδε ἡ γραφή, ΛΕΙΗ, τῆς παρ' Ἡσιόδῳ, ΟΛΙΓΗ. — 4. ἵκηται.] Ἐν δὲ τοῖς Ἡσιόδου φέρεται κατὰ δεύτερον πρόσωπον, ἵκηαι. — § 5. Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.] Ὃ καὶ ὁ περιλεὴς Βολταῖρος ἐξέφρασε διὰ τοῦ ἑξῆς ἔπους·

Le bonheur est un bien que nous vend la nature.

— 6. Καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν· Ὦ πονηρὲ, μὴ τὰ μαλακὰ μώσεο, μὴ τὰ σκληρ' ἔχῃς.] Ὅλον τόδε τὸ χωρίον ἀφορίσαι τοῦ κειμένου δεῖν ἔγνω μεθ' ἑτέρων κριτικῶν ὁ Σ., διότι καὶ ὁ Β. παρέλιπε (φασὶν) αὐτὸ, ἔτι δὲ καὶ διὰ τὴν λέξιν, ΤΟΙΩ, οὐ τῶν δοκίμων οὖσαν· οὐ γὰρ τόπον καλοῦσιν οὗτοι,

§ 21. Καὶ Πρόδικος[2] δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους[3] (ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται) ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. Φησὶ γὰρ, Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὥρμᾶτο (ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γενόμενοι[4] δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας), ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται.

§ 22. Καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμη-

---

μέρος τι ποιήματος ἢ συγγράμματος δηλῶσαι βουλόμενοι. Καὶ τοῦτο μὲν ἔχεταί τινος λόγου· ἀλλ' ἔστιν ἴτως διορθοῦν, ἀντὶ τοῦ, Καὶ ἐν ΑΛΛΩ ΔΕ ΤΟΠΩ φησὶν, γράφοντα, Καὶ ἐν ΑΛΛΩ Δ' ΩΔΕ ΠΩΣ φησίν. Τὸ δὲ ὅτι καὶ ὁ Β. παρέλιπε τὸ χωρίον ἀνερμήνευτον, οὐκ οἶδ' ὅθεν ὡρμημένοι ἀπεφήναντο. Ἐκπέφραται γὰρ ἐκείνῳ τόνδε τὸν τρόπον, nec non in alio alio loco idem ait: O IMPROBE, NONNE PLANE MALUS ES, QUI NON HABEAS RES ADVERSAS? κακῶς αὐτὴν ἑρμηνεύσαντι, διότι καὶ κακίστῃ γραφῇ ἐντετυχήκει τῇδε, «Ὦ πονηρὲ, μή τι μάλα ΚΑΚΟΣ ΟΣ μὴ τὰ σκλήρ' ἔχεις,» ἢ καὶ νῦν φέρεται, μεθ' ἑτέρας διαφόρου γραφῆς, ΚΑΚΩΣ Ὁ μὴ τὰ κ. τ. λ. ὁ δὲ Σ. ἐν ταῖς ἐπισημειώσεσι μνημονεύει καὶ ἄλλης γραφῆς, «Ὦ πονηρὲ, μή »τι μαλακῶς, εἰ μὴ τὰ σκλήρ' ἔχεις» καὶ ἄλλης ἀσαφεστέρας τῇδε, «Ὦ πονηρὲ μὴ ποτὰ μαλακὰ μώτομ, τὰ» ἐξ ἧς ὑπονοεῖ γεγράφθαι «Ὦ πονηρὲ, «μήπω τὰ μαλακὰ μώεο μὴ τὰ σκλήρ' ἔχεις.» Ὅ' δ' οὖν νοῦς, Μὴ μώμου, τουτέστι, μὴ ζήτει μηδὲ δίωκε μετὰ σπουδῆς τὰ μαλακὰ, ἵνα μὴ ἐμπέσῃς εἰς τὰ σκληρά· ὃ καὶ πάσχουσιν ἀληθῶς οἱ διὰ τὴν ἄγαν τρυφὴν εἰς νόσους, πενίας καὶ παντοδαπὰ ἄλλα δεινὰ πολλάκις ἐμπίπτοντες, καὶ τὸ πάντων δεινότατον, ὑφ' ὧν εὐηργέτησαν παρορώμενοι, καὶ ὑπὸ τῶν τέως παρατιτούντων αὐτοῖς καταγελώμενοι. § 21. 2. Πρόδικος.] Ἐπίσημος σοφιστὴς, τὸ γένος Κεῖος· περὶ οὗ Σουΐδας καὶ τάδε λέγει· «Φέρεται δὲ καὶ »βιβλίον Προδίκου ἐπιγραφόμενον Ὧραι, »ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ Ἀ»ρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, »καὶ λαλούσας ἑκατέρας ἐπὶ τὰ ἤθη αὐ»τῶν κ. τ. λ.» Ὁ δὲ Φιλόστρατος (ἐν Β οις σοφιστ. XII) τοῦ Προδίκου μνημονεύσας, παράδοξόν τι ἱστόρηκε περὶ τοῦ Ξενοφῶντος, «Προδίκου δὲ τοῦ Κείου ὄνομα τοσοῦτον ἐπὶ σοφίᾳ ἐγένετο, ὡς καὶ τὸν Γρύλλου Ξενοφῶντα, ἐν Βοιωτοῖς ΔΕΘΕΝΤΑ, ἀκροᾶσθαι διαλεγομένου, καθιστάντα ἐγγυητὴν τοῦ σώματος κ. τ. λ.» Τίς γὰρ ἤκουσε ποτέ τινος ἱστορήσαντος, ὅτι Ξενοφῶν δεθείς ποτε καθειρχθη ἐν Βοιωτίᾳ; Γραπτέον, οἶμαι, ΔΕΘΕΝΤΟΣ, ἵνα Πρόδικος ἢ ὁ δεθείς, ὃν Ξενοφῶν, ἐν Βοιωτοῖς διατρίβων, ἐγγυητὴν καθιστὰς μετεπέμπετο, ἵν' ἀκροῷτο διαλεγομένου. Τοῦτο δὲ τοσούτῳ μᾶλλον εἰκὸς περὶ Προδίκου ὅσῳ καὶ Ἀθήνησιν ἐδιώκετο ὡς διαφθείρων τοὺς νέους, καὶ Θεοὺς μὴ νομίζων· ὅ' ὃ καὶ ἐκωμῳδήθη ὑπὸ τοῦ Ἀριστοφάνους, ἅμα μὲν Σωκράτει ἐν ταῖς Νεφέλαις, μόνος δὲ, ἐν τοῖς Ὄρνισι, καὶ ἐν τῷ μηκέτι σωζομένῳ δράματι τοῖς Ταγηνισταῖς (παρὰ Σουΐδ. τόμ. γ', σελ. 179), ἔνθα φησὶν ὁ Κωμικὸς,

Τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθορεν,
Ἢ Πρόδικος.

Ἔστι γε μὴν, φαίη τις ἄν, τὸ παρὰ τῷ Φιλοστράτῳ ἀπορούμενον καὶ εἰς τὸ ΔΕΗΘΕΝΤΑ τρέπειν, τουτέστι τὸν Ξενοφῶντα, δεηθέντα τῆς ἀκροάσεως, ἀκροᾶσθαι διαλεγομένου· ἀλλ' ἀπορώτερον τηνικαῦτα ἀποβαίνει τὸ ἑξῆς, «καθιστάντα ἐγγυητὴν τοῦ σώματος.» Ἴσως ἐξερρύη τι τοῦ χωρίου κομμάτιον. — 3. ἐν τῷ συγγράμματι τῷ περὶ Ἡρακλέους.] Ἐπεγέγραπτο τοίνυν τὸ Προδίκου Περὶ Ἡρακλέους, καὶ οὐχ ὡς φησι Σουΐδας Ὧραι, πλὴν εἰ μή τινες συνεκδοχικῶς προηροῦντο καὶ Περὶ Ἡρακλέους ὀνομάζειν αὐτὸ ἀπὸ τοῦ καλλίστου καὶ θαυμασιωτάτου μέρους τούτου τῶν Ὡρῶν. — 4. αὐτοκράτορες γενόμενοι.] ΔΓ . . . γιγνόμενοι : γινόμενοι. Ἔγραψα κατ' ἀόριστον, ὑπονοήσαντος τοῦτο καὶ τοῦ Σ. Μαρτυρεῖ δὲ καὶ ἡ τοῦ Β. μετάφρασις, jam sui arbitrii effecti.

μένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χῶρμα, ὥστε λευκοτέραν τοῦ ὄντος * δοκεῖν * φαίνεσθαι,[2] τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ, ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλως αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν αποβλέπειν.

§ 23. Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν, φθάσαι βουλομένην, προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀπορροῦντα, ποίαν ὁδὸν ἐπὶ τὸν βίον[2] τράπῃ. Ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ.

§ 24. Πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διάξεις, τί ἂν κεχαρισμένον ἢ σῖτον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις.

§ 25. Ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι. Ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ οὐδενὸς ἀπεχόμενος ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. Πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω.

§ 26. Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, Ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; Ἡ δὲ, οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντες ὑποχορίζόμενοι ὀνομάζουσί με Κακίαν.[2]

— § 22. 2 δοκεῖν φαίνεσθαι.] Ἀφώρισται τὸ πρῶτον τῶν ἀπαρεμφάτων τοῦ κειμένου, δόξαν τοῦτο καὶ τῷ Λ. — § 23. 2. ἐπὶ τὸν βίον.] Περιττάς τινες ἔκριναν τὰς τρεῖς ταύτας λέξεις, ἃς καὶ ὁ Β. παρέλιπεν. — § 26. 2. οἱ δὲ μισοῦντες ὑποχορίζόμενοι ὀνομάζουσί με Κακίαν.] Οὕτως ἄτοπον ἔδοξέ τισι τὸ Ὑποχορίζόμενοι ἐνθάδε, ὥστε καὶ περιελεῖν ὅλως τοῦ χωρίου παρήνεταν, ἄλλως τε καὶ ἐπειδὴ οὐδ' ὁ Β. ἡρμήνευτεν αὐτό. Ἕτεροι δὲ διορθοῦν ἐπεβάλοντο, γράφοντες ἀπαγορευτικῶς, Μὴ ὑποχορίζόμενοι, καὶ ἄλλοι ἄλλως. Εἰσὶ δ' οἳ καὶ ἐπὶ τοῦ διασύροντες ἐξέλαβον τὴν λέξιν, πεισθέντες τοῖς Ξενοφῶντι ἰδίαν εἶναι τὴν σημασίαν ταύτην ἀποφηναμένοις γραμματικοῖς. οὕτω γὰρ ὁ Ἐτυμολόγος (σελ. 782), «Ὑποχορίζεται, κολακεύει, Ὑποκρίνεται. Ὑποχορίζόμενοι, Ξενοφῶν, ἀντὶ τοῦ διασύροντες. Ὁ δὲ Δημοσθένης ἐχρήσατο τῇ λέξει ἐπὶ τοῦ εὐφημοῦν-

§ 27. Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε, καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμωτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. Οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ', ἥπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα, διηγήσομαι μετ' ἀληθείας.[2]

§ 28. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾶς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.

§ 29. Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν (ὡς φησι Πρόδικος), Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται;[2] ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.

§ 30. Καὶ ἡ Ἀρετὴ εἶπεν, Ὦ τλῆμον! τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα,[2] μηδὲν τούτων ἕνεκα[3] πράττειν ἐθέλου-

---

τες καὶ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντες.» Τὰ αὐτὰ λέγει καὶ ὁ Σουίδας· καὶ τούτοις, οἶμαι, πειστέον μηδὲν περιεργαζομένους. Καὶ ὁ Ἀρριανὸς γὰρ (Ἐπικτ. διατρ. IV, 1, § 166.) τῷ ὑποχωρίζεσθαι τὸ σιώπτειν ὡς συνώνυμον συνῆψεν, ἐν οἷς παράγει Σωκράτην λέγοντα· «Εἰ μὲν εἰς Θετταλίαν ἀπήειν »ἐπεμελήθητε αὐτῶν (γρ. ἂν αὐτῶν·) »εἰς ἄδου δέ μου ἀποδημήσαντος, οὐ»δεὶς ἔσται ὁ ἐπιμελησόμενος; Ὅρα πῶς ὑποχωρίζεται καὶ σιώπτει τὸν θάνατον.» Οἰκειότερον δ' ἂν ἔχοι τις τῷ προκειμένῳ παραθέσθαι μαρτύριον, ὅπερ Ἄλεξις ὁ κωμικὸς (παρ' Ἀθην. σελ. 421) εἴρηκε περὶ παρασίτου τινός·

Καλοῦσι δ' αὐτὸν πάντες οἱ νεώτεροι
Παράσιτον, ὑποκόρισμα· τῷ δ' οὐδὲν μέλει,
Δειπνεῖ δ' ἄφωνος κ. τ. λ.

— § 27. 2. ἥπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα, διηγήσομαι μετ' ἀληθείας.] Ὁ Σ. καὶ ἕτεροί τινες ἔστιξαν μετὰ τὸ «διέθεσαν,» καὶ συνῆψαν τὰ ἑξῆς τῷ ἐχομένῳ ῥήματι «διηγήσομαι.» Ἀμείνων ἡ μετὰ τὴν μετοχὴν στίξις, ἣ καὶ ὁ Β. ἠκολούθησεν, ἑρμηνεύσας, qualem rebus dii centulerunt naturam, tibi cum veritate narrabo. — § 29. 2. μακρὰν ὁδὸν . . . διηγεῖται.] Ἴσως ἡ ἀρχαία γραφὴ ἦν «ὑφηγεῖται.» — § 30. 2. ἔχεις; ἢ τί ἡδὺ οἶσθα.] Παρὰ δὲ Κλή-

σα; ἢτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι,[4] πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα· καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς·[5] ἵνα δὲ καθυπνώτῃς[6] ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακὰς[7] ἀλλὰ καὶ* τὰς κλίνας καὶ * τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις.[8] Οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν, ὅ τι ποιῇς, ὕπνου ἐπιθυμεῖς· τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις, πάντα μηχανωμένη, καὶ γυναιξὶ καὶ ἀνδράσι χρωμένη·[9] οὕτω γὰρ παιδεύεις τοὺς σαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα.

§ 31. Ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. Τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε, τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου[2] τολμήσειεν εἶναι; οἱ, νέοι μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοί εἰσι,[3] πρεσβύτεροι δὲ γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι· ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι,[4] ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι·

μεντι τῷ Ἀλεξανδρεῖ (Στρωμ. II, σελ. 406), γράφεται «οἶσθα; ἢ τί καλὸν σκοπεῖς;» Λείπει δὲ παρὰ τῷ αὐτῷ τὰ ἑξῆς, Μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα.» — 3. τούτων ἕνεκα,] τῶν ἀγαθῶν καὶ ἡδέων. — 4. ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπιπλάσαι.] Λείπει καὶ ταῦτα παρὰ τῷ Ἀλεξανδρεῖ Κλήμεντι. — 5. χιόνα περιθέουσα ζητεῖς]τοῦ ψυχειν ἕνεκα τὸν οἶνον.— 6. καθυπνώτῃς) Ὁ Κλήμης, «κατανσιμηθῇς.» — 7. τὰς στρωμνὰς μαλακάς.] «τὰς κλίνας μαλθακάς.» — 8. ἀλλὰ καὶ *τὰς κλίνας καὶ* τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις.] Ὁ Κλήμης, «ἀλλὰ καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζῃ.» Ταύτην τὴν γραφὴν τοῦ Κλήμεντος ἀποδεξάμενος ὁ Σ. ἀρώρισε τοῦ κειμένου (πλὴν τοῦ «παρασκευάζῃ,» ἀνθ' οὗ εἶχε κατὰ χώραν τὸ ἐνεργητικὸν) ἂς ἀστερίσκοις διέστειλα τρεῖς λέξεις. — 9. καὶ γυναιξὶ καὶ ἀνδράσι χρωμένη.] Ὁ δὲ B. ipsis etiam viris ut mulieribus utens, ὥσπερ ἂν εἰ ἐγέγραπτο «καὶ ὡς γυναιξὶ καὶ τοῖς ἀνδράσι χρωμένη.» — § 31. 2. τοῦ σοῦ θιάσου] «Θίασος ἐστὶ (φησὶν Ἀροκρατίων) τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ θεῶν· Ξενοφῶν ἐν δευτέρῳ Ἀπομνημονευμάτων. Ἴων δὲ, ἐν Ὀμφάλῃ, κοινῶς ἐπὶ παντὸς ἀθροίσμα ἔταξε τοὔνομα. Θιασῶται δὲ ἐκαλοῦντο οἱ κοινωνοῦντες τῶν Θιάσων κ. τ. λ.» — 3. οἱ, νέοι μὲν ὄντες . . . ἀδύνατοι εἰστί.] Τὸ πλῆθυντικὸν πρὸς τὸ «Θιασῶται», υπονοούμενον (ὡς ἐσημειώσατο ὁ Σ.) ἐκ τοῦ προηγουμένου περιεκτικοῦ, «Θιάσου.» Ἐστι δ' ἐξηγεῖσθαι καὶ ἀνάλογον τοῖς λοιποῖς περιεκτικοῖς, «Ὁ θίασος εἰσὶ» ὡς τὸ «Φάσαν ἡ σπληθύς». «Θίασος (φησὶν Ἡσύχιος), «χοροῦ σύστασις, ἢ σύλλογος. καὶ τὸ ψιλὸν πλῆθος κ. τ. λ.» — 4. λιπαροὶ διὰ νεότητος τρεφόμενοι.] Ἀποκατέστησα τὴν γραφὴν «τρεφόμενοι», ἀνθ' ἧς προείλετο ὁ Σ. ἐξ ΕΔ, «φερόμενοι» »Λιπαροῖσι πόδεσι, τοῖς εὐτραφέσι καὶ εὐσάρκοις κ. τ. λ.» φησὶν Ἡσύχιος· καὶ μικρὸν ὑποθείς, «Λιπαρὸν, καλὸν, ἐλα-

τὰ μὲν ἡδέα[5] ἐν τῇ νεότητι διαθραμόντες,, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι.

§ 32. Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ [οὐδὲν] γίγνεται.[2] Τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ ἀνθρώποις οἷς προσήκει,[3] ἀγαπητὴ μὲν συνεργὸς[4] τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός.

§ 33. Ἔστι δὲ τοῖς μὲν ἐμοῖς ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γάρ, ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. Ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμέλγθοις· καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. Καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. Ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος οὐ μετὰ λήθης ἄτιμοι κεῖνται ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. Τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.

§ 34. Οὕτω πως διῴκει Πρόδικος τὴν[2] ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν, ἢ ἐγὼ νῦν. Σοὶ δ' οὖν ἄξιον, ὦ Ἀριστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

φρὸν, λευκὸν στίλβων, εὔδομον» — 5. τὰ μὲν ἡδέα] Ἴσως ἐξερρύη σύνδεσμος ἢ ἑτέρόν τι μόριον τοῦ χωρίου Ὤφειλε γὰρ εἶναι, «Καὶ τὰ μὲν ἡδέα,» ἢ ἴσως, «Ἅτε τὰ μὲν ἡδέα,» καθάπερ ἐμφαίνει ἡ τοῦ B. μετάφρασις, quippequi . . . voluptatibus. § 32. 2. χωρὶς ἐμοῦ [οὐδὲν] γίγνεται.] Προσέθηκα τὴν λέξιν Οὐδὲν ἐκ παραινέσεως τοῦ Σ. καὶ ἑτέρων. — 3. οἷς προσήκει,] τιμᾶν τὴν ἀρετήν. — 4. ἀγαπητὴ μὲν συνεργός.] Ἕτεροι δ' ἔγραψαν διαστείλαντες τῶν προηγουμένων, «Ἀγαπητὴ μὲν γὰρ συνεργὸς εἰμι,» τὸ μὲν ἀντιγράφοις πειθόντες, τὸ δὲ καὶ διορθώσει, μαρτυρουμένη γε ὑπὸ τοῦ B. etenim cara cooperatrix artificibus sum. § 34. 2. Οὕτω πως διῴκει Πρόδικος τὴν κ. τ. λ.] Ἐξ ΕΔ ἔγραψεν ὁ Σ. τὸν παραστατικὸν «διῴκει» (παρὰ τὸ Διοικῶ) ἀνθ' οὗ ἕτεροι προείλοντο τὸ κατ' ἐνεστῶτα «διώκει» (παρὰ τὸ Διώκω). Λυτὸς δ', οὐδετέρᾳ τῶν γραφῶν ἀρεσκόμενος οἶμαι γεγραφέναι τὸν Ξενοφῶντα, «διήει» (παρὰ τὸ Δίειμι) τουτέστι, διήρχετο, διηγεῖτο, ὃ καὶ τοῦ E. μετάφρασις. exposuit, ἔοικέ πως ὑπαγορεύσιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΙ.

§ 1. Αἰσθόμενος δέ ποτε Λαμπροκλέα, τὸν πρεσβύτατον υἱὸν ἑαυτοῦ, πρὸς τὴν μητέρα χαλεπαίνοντα, Εἰπέ μοι, ἔφη, ὦ παῖ, οἰσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους; Καὶ μάλα, ἔφη ὁ νεανίσκος. Καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; Ἔγωγε, ἔφη· τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ἀποδῶσιν,[2] ἀχαρίστους καλοῦσιν. Οὐκοῦν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; Ἔμοιγε ἔφη.

§ 2. Ἤδη δέ ποτε ἐσκέψω, εἰ ἄρα, ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον, οὕτω καὶ τὸ ἀχαρίστειν πρὸς μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον; Καὶ μάλα,[2] ἔφη· καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι.

§ 3. Οὐκοῦν, εἴ γε οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία; Συνωμολόγει. Οὐκοῦν, ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη; Συνέφη καὶ τοῦτο. Τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐεργετημένους ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν,[2] ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν. Καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσαντες.[3]

§ 4. Καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνεις·[2] ἐπεὶ τοῦ γε τῶν ἀπολυσόντων[3] μεσαὶ μὲν αἱ ὁδοί, μεσὰ δὲ τὰ οἰκήματα. Φανεροὶ δ' ἐσμὲν καὶ σκοπούμενοι ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα.

---

§ 1. 2. ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ΑΠΟΔΙΔΩΣΙΝ] ΗΔ, ἀντὶ τοῦ ΑΠΟΔΩΣΙΝ.— § 2. 2. Καὶ μάλα,] ἐσκεψάμην. — § 3. 2. μετασχεῖν.] ἐποίησαν, ἀπὸ κοινοῦ. — 3. Καὶ αἱ πόλεις .... παύσαντες] Ἀρτεμικῶς ἡ μετοχή, πρὸς τὸ νοούμενον, οἱ πολῖται. Τὸ δὲ, παύσαντες, ΗΔ, ΑΤ, παύσοντες.— § 4. 2. Καὶ μὴν οὐ τῶν γε ἀφροδισίων .... ὑπολαμβάνεις.] Προειλόμην ἦν καὶ ἕτεροι ἀπεδέξαντο τοῦ Στοβαίου ταύτην τὴν γραφὴν τῆς ἐκδεδομένης τῷ Σ. «Καὶ μή που» (ἄλλ. Καὶ μὲν οὐ) «τῶν γε ἀφροδισίων . . . ὑπολάμβανε.»— 3. τῶν ἀπολυσόντων] τῆς τῶν ἀφροδισίων ἐπιθυμίας· ὡς ἀνωτέρω (Β, Ι, § 5.) εἴρηκεν. —

§ 5. Καὶ ὁ μὲν ἀνὴρ τήν τε συντεκνοποιήσουσαν[2] ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα. Ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη[3] τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου, καὶ μεταδιδοῦσα τῆς τροφῆς ἣ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενέγκασα[4] καὶ τεκοῦσα, τρέφει τε καὶ ἐπιμελεῖται· οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθόν, οὔτε γιγνῶσκον τὸ βρέφος ὑφ' ὅτου εὖ πάσχει, οὔτε σημαίνειν δυνάμενον ὅτου δεῖται· ἀλλ' αὐτὴ σοχαζομένη τά τε συμφέροντα καὶ τὰ κεχαρισμένα πειρᾶται ἐκπληροῦν, καὶ τρέφει πολὺν χρόνον καὶ ἡμέρας καὶ νυκτὸς ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα τίνα[5] τούτων χάριν ἀπολήψεται.

§ 6. Καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καί, ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσιν· ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι.[2]

§ 7. Πρὸς ταῦτα ὁ νεανίσκος ἔφη· Ἀλλά τοι, εἰ καὶ ταῦτα πάντα πεποίηκε καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν χαλεπότητα. Καὶ ὁ Σωκράτης, Ποτέραν δὲ οἴει, ἔφη, θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι ἢ μητρός; Ἐγὼ μὲν οἶμαι, ἔφη μητρὸς, τῆς γε τοιαύτης. Ἦδη πώποτε οὖν ἡ δακοῦσα, κακόν τί σοι ἔδωκεν ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον;

§ 8. Ἀλλὰ νὴ Δία, ἔφη, λέγει, ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι.[2] Σὺ δὲ πόσα, ἔφη ὁ Σωκράτης, οἴει ταύτῃ δυσάνεκτα,[3] καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων καὶ

---

§ 5. 2. συντεκνοποιήσουσαν.] Ἀμείνων ἡ παρὰ τῷ Στοβαίῳ γραφή, συντεκνοποιοῦσαν. — 3. βαρυνομένη.] Ἔνθεν καὶ ἡ παρ' ἡμῖν συνήθεια «Βαρεμένην καλεῖ τὴν ἔγγυον. — 4. διενέγκασα.] παρὰ δὲ Στοβαίῳ, διενεγκοῦσα. — 5. οὐκ εἰδυῖα τίνα] ΔΓ (ἀμείνων ἴσως), οὐκ εἰδυῖα εἴ τινα. — § 6. 2. αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι.] ΔΓ, αὐτοῖς ἀγαθοὶ γένωνται καὶ ὡς δυνατὸν βέλτιστοι. — § 8. 2. λέγει, ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι.] λέγει τοιαῦτα, οἷα οὐκ ἄν τις βούλοιτο ἀ. ἀκοῦσαι, ἐπὶ τῷ ἀσφαλῶς διενέγκαι τὸ λειπόμενον μέρος τοῦ βίου· ἢ λέγεται τοιαῦτα, ὥστε τεθνάναι μᾶλλον ἄν τις παραυτίκα βούλοιτο ἢ ἀκοῦσαι. Τούτοις παράλληλον ἐσημειώσατό τις τῶν πρὸ ἡμῶν ἐκ τοῦ Δημοσθένους (Περὶ στεφ. σελ. 299) χωρίον τόδε. «Ἃ δ' ἡμεῖς πρὸς »ταῦτα ἀντείπομεν, τὰ μὲν καθ' ἕκαστα »ἐγὼ μὲν ἀντὶ παντὸς τιμησαίμην ἂν »εἰπεῖν τοῦ βίου.» Τοῦθ' οὕτω μετήνεγκεν εἰς τὴν ἑαυτοῦ φωνὴν ὁ Διδερότος, Elle tient des propos, qu'on ne digérerait de personne, y allât-il de la vie, ὃς τουτονὶ τὸν Σωκράτους μετὰ τοῦ υἱοῦ Λαμπροκλέους διάλογον ἑρμηνεύσας, ἀναφωνεῖ ἐπὶ τέλους. Ah! Socrate, je te ressemple peu; mais du moins tu me fais pleurer d'admiration et de joie. (Oeuvr. de diderot, 1818. tom. III, pag. 643.)— 3. πόσα .... οἴει ΤΑΥΤΗ δυσάνεκτα κτλ.] Εἰκότως τῶν πρὸ ἡμῶν τις ἀπηρέσκετο τῇ δεικτικῇ ἀντωνυμίᾳ ταύτῃ, χρῆναι

ἡμέρας καὶ νυκτὸς, πράγματα παρασχεῖν; πόσα δὲ λυπῆσαι κάμνων; Ἀλλ᾽ οὐδεπώποτε αὐτὴν, ἔφη, οὔτ᾽ εἶπα οὔτ᾽ ἐποίησα οὐδὲν, ἐφ᾽ ᾧ ἠσχύνθη.

§ 9. Τί δ᾽; οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὐτὴ λέγει, ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳδίαις ἀλλήλους τὰ ἔσχατα λέγωσιν; Ἀλλ᾽, οἶμαι, ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχει, ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖ, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. Σὺ δ᾽ εὖ εἰδὼς, ὅτι, ἃ λέγει ἡ μήτηρ οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι ὅσα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις; ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι; Οὐ δῆτα, ἔφη, τοῦτό γε οὐκ οἶμαι.

§ 10. Καὶ ὁ Σωκράτης, οὐκοῦν, ἔφη, σὺ ταύτην, εὔνουν τέ σοι οὖσαν καὶ ἐπιμελομένην ὡς μάλιστα δύναται κάμνοντος, ὅπως ὑγιαίνεις τε καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις, πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ, καὶ εὐχὰς ἀποδοῦσαν, χαλεπὴν εἶναι φῂς; ἐγὼ μὲν οἶμαι, εἰ τοιαύτην μὴ δύναται φέρειν μητέρα, τἀγαθά σε οὐ δύνασθαι φέρειν.

§ 11. Εἰπέ δέ μοι, ἔφη, πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν; ἢ παρεσκεύασαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, [2]* μηδ᾽ ἕπεσθαι* μήτε πείθεσθαι μήτε στρατηγῷ μήτε ἄλλῳ ἄρχοντι;

§ 12. Ναὶ μὰ Δία ἔγωγε, ἔφη. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῷ γείτονι βούλει σὺ ἀρέσκειν[2] ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τού σοι γίγνηται συλλήπτωρ,[3] καὶ, ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι; Ἔγωγε, ἔφη. Τί δὲ; συνοδοιπόρων, ἢ σύμπλων ἢ εἴτῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἄν σοι διαφέρει φίλον ἢ ἐχθρὸν γενέσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι;

§ 13. Ἔγωγε, ἔφη. Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκευάσαι, τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα, ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται, οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας· ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι, καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον,[2] ὡς

γράφειν λέγων ἀναφορικῶς, αὐτῇ. Καὶ οἶμαι γραπτέον εἶναι, ἀλλὰ μετὰ τοῦ συνδέσμου, Γ΄ ΑΥΤΗ.— § 11. 2. μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, *μὴ ἕπεσθαι,* μήτε πείθεσθαι, μήτε στρατηγῷ, μήτε ἄλλῳ ἄρχοντι;] Ὁ Σ. ἀφώρισε τοῦ κειμένου ἅπερ ἀστερίσκοις διέξειλα, ὡς ἠγνοημένα καὶ τῷ Στοβαίῳ. Ἕτεροι δὲ τὰ ἐχόμενα μᾶλλον, μήτε πείθεσθαι, δεῖν ἀφορίζειν ἔγνωσαν. Εἰ μὲν ἑκάτερα βούλει τηρεῖν, γράφε, μήθ᾽ ἕπεσθαι, μήτε πείθεσθαι. εἰ δ᾽ ἀφορίζοις τὰ πρῶτα, γράφε τὰ ἐχόμενα, μηδὲ πείθεσθαι.— § 14. 2 βούλει σὺ ἀρέσκειν.] ΔΓ, βουλήσῃ ἀρέσκειν. — 3. καὶ ἀγαθοῦ ΤΟΥ σοι γίγνηται συλλήπτωρ.] ΗΔ (ὅπερ εἴκασε καὶ ὁ Λ.) ΑΤ, καὶ ἀγαθοῦ ΤΕ σοι κτλ. Μαρτυρεῖ τῇ διορθώσει

οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα[3] ὑπὲρ τῆς πόλεως τούτου θύοντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξαντος; Καί, νὴ Δία, ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις.

§ 14. Σὺ οὖν, ὦ παῖ, ἂν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσῃ συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέλησας τῆς μητρὸς, μή σε καὶ οὗτοι, νομίσαντες ἀχάριστον εἶναι, οὐκ ἐθέλωσιν εὖ ποιεῖν· τοὺς δὲ ἀνθρώπους αὖ φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσιν, κἄτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. Εἰ γάρ σε ὑπολάβοιο πρὸς τοὺς γονέας ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι.

ΚΕΦΑΛΑΙΟΝ III.

§ 1. Χαιρεφῶντα[2] δέ ποτε καὶ Χαιρεκράτην, ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρεκράτην, Εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, οὐ δήπου καὶ σὺ εἷ τῶν τοιούτων ἀνθρώπων, οἳ χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφόν; καὶ ταῦτα, τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου·[3] καὶ τῶν μὲν βοηθείας δεομένων, τοῦ δὲ βοηθεῖν δυναμένου· καὶ πρὸς τούτους, τῶν μὲν πλειόνων ὑπαρχόντων, τοῦ δὲ ἑνός.

§ 2. Θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται, τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει, ἀλλ' ἐνταῦθα μὲν δύναται λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα ἀσφαλῶς τἀρκοῦντα ἔχειν, ἢ μόνον διαιτώμενον τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι· ἐπὶ δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι.

καὶ ὁ B. in aliquoque bono te jnvet.— § 13. 2 οὐκ ἐξ ἄρχειν τοῦτον,]οὐκ ἐξ τῶν ἐννέα ἀρχόντων ἕνα γενέσθαι. — 3. ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα κτλ.] Ἀπέλιπα τοῦ κειμένου ὡς περιττὸν, ὅπερ ὁ Σ. εἰσήνεγκεν εἰς τὸ κείμενον δεύτερον ἄρθρον γράψας, τὰ θυόμενα, Ἡ συνάρτησις καὶ ὁ νοῦς, Ὡς τούτου οὔτε ἂν ἱερὰ θυόμενα ὑπὲρ τῆς πόλεως εὐσεβῶς θύοντος, οὔτ' ἄλλο οὐδὲν ἂν καλῶς καὶ δικαίως πράξαντος.

§ 1. 2. Χαιρεφῶντα.] Συνδιελέγετο ἄρα ὁ Σωκράτης τῷ Χαιρεφῶντι καὶ τοῖς λοιποῖς γνωρίμοις τε καὶ φίλοις ἐπὶ τὰ καλὰ προτρεπόμενος, καὶ οὐ περὶ ψύλλας καὶ τῶν τοιούτων φλυαριῶν, ὡς φησιν ὁ κωμῳδήσας φλυάρως αὐτὸν Ἀριστοφάνης (Νεφ. 144),

Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης
Ψύλλαν, ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας.

— 3. Χρησιμώτερον νομίζουσι ΧΡΗΜΑΤΑ ἢ ἀδελφόν; καὶ ταῦτα, τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου.] Εὐλόγως προσέκοψέ τινι τῶν πρὸ ἡμῶν τὸ χρήματα, διὰ τὸ ἑξόμενον, »τῶν μὲν ἀφρόνων ὄντων.» Εἶασε μέν τοι τὴν γραφὴν κατὰ χώραν, Ἐξηρῦσθαι τοῦ χωρίου τινὰ τοπάσας, ἐξ ὧν ἤρτηται τό τε χρήματα καὶ τὰ ἑπόμενα. Ἐμοὶ δὲ δοκεῖ, ἀνελλιπὲς ἔσεσθαι τὸ χωρίον, εἰ γράφοις ΚΤΗΜΑΤΑ, ἐν οἷς ἵππους καὶ βόας καὶ παντὸς γένους πρόβατα εἰκὸς περιέχεσθαι. —

§ 3. Καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι· τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους.

§ 4. Καὶ μὴν πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι· ἐπεὶ καὶ τοῖς ξηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. Πρὸς δὲ τούτοις καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶστί τε μᾶλλον τοὺς συναδέλφους ὄντας τῶν ἀναδέλφων, καὶ ἧττον τούτοις ἐπιτίθενται.

§ 5. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἀλλ' εἰ μέν, ὦ Σώκρατες, μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφόν, καὶ μὴ μικρῶν ἕνεκα φεύγειν· ἀγαθὸν γάρ, ὥσπερ καὶ σὺ λέγεις, ἀδελφός, ὢν οἷον δεῖ· ὁπότε μέν τοι [τοῦ] παντὸς ἐνδέοι,[2] καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις;

§ 6. Καὶ ὁ Σωκράτης ἔφη· Πότερα δὲ, ὦ Χαιρέκρατες, οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ σοί, ἢ ἔστιν οἷς καὶ πάνυ ἀρέσκει; Διὰ τοῦτο γάρ τοι, ἔφη, ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμὲ μισεῖν αὐτὸν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται, ἐμοὶ δὲ, ὅπου ἂν παρῇ, πανταχοῦ καὶ ἔργῳ καὶ λόγῳ ζημία μᾶλλον ἢ ὠφέλεια ἐστιν.

§ 7. Ἆρ' οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μὲν ἐγχειροῦντι δὲ χρῆσθαι ζημία ἐστὶν, οὕτω καὶ ἀδελφὸς, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστί;

§ 8. Πῶς δ' ἂν ἐγὼ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα, καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα; τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν, οὐκ ἂν δυναίμην οὔτ' εὖ λέγειν, οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι.

§ 9. Καὶ ὁ Σωκράτης ἔφη· Θαυμαστά γε λέγεις, ὦ Χαιρέκρατες, εἰ κύνα μὲν, εἴ σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδειος, καὶ τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ δὲ προσιόντι ἐχαλέπαινεν, ἀμελήσας ἂν τοῦ ὀργίζεσθαι ἐπειρῶ εὖ ποιήσας προῦνειν "αὐτόν"· τὸν δὲ ἀδελφὸν φὴς μὲν μέγα ἂν ἀγαθὸν εἶναι, ὄντα πρὸς σὲ οἷον δεῖ, ἐπίστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν, οὐκ ἐπιχειρεῖς μηχανᾶσθαι, ὅπως σοι ὡς βέλτιστος ἔσται;

§ 10. Καὶ ὁ Χαιρεκράτης, Δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν, ὥστε Χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ

---

§ 5. 2. ὁπότε μέντοι [τοῦ] παντὸς ἐνδέοι.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. Πολλοῦ, Ὀλίγου, Μικροῦ δεῖν, εἰκότως ἄνευ ἄρθρου λέγονται· τὸ δὲ Παντὸς δεῖν ἕτερόν τι σημαίνει τοῦ, Τοῦ παντὸς δεῖν, ὃ βούλεται λέγειν ὁ Ξενο-

οἷον δεῖ. Καὶ μὴν οὐδέν γε ποικίλον, ἔφη ὁ Σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ' αὐτὸν, ὡς ἐμοὶ δοκεῖ, μηχανᾶσθαι· οἷς δὲ καὶ σὺ ἐπίστασαι ἀὐτὸς, οἶμαι ἂν αὐτὸν ἁλόντα περὶ πολλοῦ ποιεῖσθαί σε.

§ 11. Οὐκ ἂν φθάνοις, ἔφη, λέγων, εἴ τι ἤσθησαί με φίλτρον ἐπιστάμενον, ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; Λέγε δή μοι, ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι, καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποιοίης; Δῆλον ὅτι κατάρχοιμι ἂν τοῦ αὐτὸς, ὅτε θύοιμι, καλεῖν ἐκεῖνον.

§ 12. Εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδημοίης, ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης; Δῆλον ὅτι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη.

§ 13. Εἰ δὲ βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυτὸν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; Δῆλον ὅτι καὶ τοῦτον πρότερος ὑποδεχοίμην ἂν, ὁπότε ἔλθοι Ἀθήναζε. Καὶ εἴ γε βουλοίμην αὐτὸν προθυμεῖσθαι διαπράττειν μοι, ἐφ' ἃ ἥκοιμι, δῆλον ὅτι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ[2] ποιεῖν.

§ 14. Πάντ' ἄρα σύ γε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπεκρύπτου. Ἢ ὀκνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. Εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος εἶναι σοῦ πρὸς τὴν πρᾶξιν ταύτην,[2] ἐκεῖνον ἂν ἐπειρώμην πείθειν πρότερον ἐγχειρεῖν τῷ σε φίλον ποιεῖσθαι. Νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο.

§ 15. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἄτοπα λέγεις, ὦ Σώκρατες, καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ νεώτερον ὄντα καθηγεῖσθαι. Καίτοι τούτου γε παρὰ πᾶσιν ἀνθρώποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ ἔργου καὶ λόγου.

§ 16. Πῶς; ἔφη ὁ Σωκράτης· οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον τῷ πρεσβυτέρῳ συντυγχάνοντι πανταχοῦ νομίζεται; καὶ *οὐ* καθήμενον[2] ὑπαναστῆναι, καὶ κοίτῃ *μαλακῇ* τιμῆσαι,[3] καὶ λόγων ὑπεῖξαι; ὦ γαθέ,[4] μὴ ἔκνει, ἔφη, ἀλλ'

φῶν. — § 13. 2. αὐτὸν ἐκείνῳ,] τουτέστιν, ἐμὲ ἐκείνῳ.

§ 14. 2. πρὸς τὴν πρᾶξιν ταύτην] Ἡ ἀρχαία γραφή, φύσιν· ὁ Στοβαῖος, φιλίαν; ὁ A. ad hanc rem. — § 16. 2. καθήμενον κ. τ. λ.] Ἀφώρικε τοῦ κειμένου ὁ Σ. τὴν ἄρνησιν, ὡς ὑπονοουμένην ἐκ τῶν προειρημένων. — 3. καὶ κοίτῃ μαλακῇ τιμῆσαι] Καὶ τὰς τέσσαρας ταύτας λέξεις ἀφορίζει τοῦ χωρίου ὁ Σ. ἐξ ἑτέρων εἰκασίας· Ἕτεροι δὲ τὸ μαλακῇ μόνον ἀφορίζειν δεῖν ἔγνωσαν. Ο' Β. et meliori lecto honorare, ἔνθα τὸ meliori ἄλλο τι σημαινει παρὰι τὸ μαλακῇ, πλὴν εἰ μὴ τυπογραφικῶς ἡμαρτήθη ἀντὶ τοῦ mollio ri. — 4 ὦ γαθὲ] Ἐκ ΔΓ (εἰκειοτέρας τοῖς Ἀττι-

ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν· καὶ πάνυ ταχύ σοι ὑπακούσεται. Οὐχ ὁρᾷς ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις, ἢ εἰ διδοίης τι· τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατεργάσαιο.

§ 17. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἐὰν οὖν, ἐμοῦ ταῦτα ποιοῦντος, ἐκεῖνος μηδὲν βελτίων γίγνηται; Τί γὰρ ἄλλο, ἔφη ὁ Σωκράτης, ἢ κινδυνεύσεις ἐπιδείξαι, σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ ἄξιος εὐεργεσίας; Ἀλλ' οὐδὲν οἶμαι τούτων ἔσεσθαι· νομίζω γὰρ αὐτόν, ἐπειδὰν αἴσθηταί σε προκαλούμενον ἑαυτὸν εἰς τὸν ἀγῶνα τοῦτον, πάνυ φιλονικήσειν, ὅπως περιγένηταί σου λόγῳ καὶ ἔργῳ εὖ ποιῶν.

§ 18. Νῦν μὲν γὰρ οὕτως, ἔφη, διάκεισθον, ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ Θεὸς ἐπὶ τῷ συλλαμβάνειν[2] ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω· ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου ἐμποδίζοιεν ἀλλήλω.

§ 19. Οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία, τοῖς ἐπ' ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι; Καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖ, ὁ Θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν, ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ τἄλλα, ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώπους. Χεῖρες μὲν γάρ, εἰ δέοι αὐτὰς τὰ πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δὲ οὐδ' ἂν ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἔλθοιεν ἅμα· ὀφθαλμοί δέ, οἱ καὶ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι,[2] οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο· ἀδελφὼ δὲ φίλω ὄντε, καὶ πολὺ διεστῶτε, πράττετον ἅμα * καὶ * τὰ[3] ἐπ' ὠφελείᾳ ἀλλήλοιν.

ΚΕΦΑΛΑΙΟΝ IV.

§ 1. Ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ φίλων διαλεγομένου, ἐξ ὧν ἔμοιγε ἐδόκει μάλιστ' ἄν τις ὠφελεῖσθαι πρὸς φίλων κτῆσίν τε καὶ χρείαν. Τοῦτο μὲν γὰρ δὴ πολλῶν ἔφη ἀκούειν, ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος σαφὴς καὶ ἀγαθός· ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως.

κοῖς], ΑΓ, ὦ ἀγαθέ. — § 18. 2. Ἐπὶ ΤΩ συλλαμβάνειν] Ἐκ τοῦ Στοβαίου ἔγραψα ἀντὶ τοῦ ΤΟ. — § 19. 2. οἱ καὶ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι κ. τ. λ.] Πρωθυστέρως, ἀντὶ τοῦ, καὶ οἱ δοκοῦντες, τουτέστιν οὐ μόνον οἱ μετρίως βλέποντες ὀφθαλμοί, ἀλλὰ καὶ οἱ δοκοῦντες εἶναι ὀξυδερκέστατοι, καὶ τὰ πλεῖστον ἀπέχοντα καθορᾶν δυνάμενοι. — 3. ἅμα καὶ τὰ] Ἐκ ΔΓ (συναδούσης τῷ Β.), ΑΤ, ἅμα καὶ τά.

§ 2. Καὶ γὰρ οἰκίας καὶ ἀγροὺς καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ σκεύη κτωμένους τε ἐπιμελῶς ὁρᾶν ἔφη, καὶ τὰ ὄντα σώζειν πειρωμένους· φίλου δέ, ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, ὁρᾶν ἔφη τοὺς πολλοὺς οὔτε, ὅπως κτήσονται φροντίζοντας, οὔτε, ὅπως οἱ ὄντες ἑαυτοῖς σώζονται.[2]

§ 3. Ἀλλὰ καὶ καμνόντων φίλων τε καὶ οἰκετῶν, ὁρᾶν τινας ἔφη τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας, καὶ τἆλλα πρὸς ὑγίειαν ἐπιμελῶς παρασκευάζοντας, τῶν δὲ φίλων ὀλιγωροῦντας· ἀποθανόντων τε ἀμφοτέρων, ἐπὶ μὲν τοῖς οἰκέταις ἀχθομένους τε καὶ ζημίαν ἡγουμένους, ἐπὶ δὲ τοῖς φίλοις οὐδὲν οἰομένους ἐλαττοῦσθαι· καὶ τῶν μὲν ἄλλων κτημάτων οὐδὲν ἐῶντας ἀθεράπευτον οὐδ' ἀνεπίσκεπτον, τῶν δὲ φίλων ἐπιμελείας δεομένων ἀμελοῦντας.

§ 4. Ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων τὸ πλῆθος εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος[2] ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους ἀνατίθεσθαι· τοσοῦτον αὐτοὺς τῶν φίλων φροντίζειν!

§ 5. Καίτοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς οὐκ ἂν πολλῷ κρείττων φανείη; ποῖος γὰρ ἵππος ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον, ὥσπερ ὁ χρηστὸς φίλος; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμύνιμον; ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον;

§ 6. Ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ καὶ τῆς τῶν ἰδίων κατασκευῆς καὶ τῶν κοινῶν πράξεως·[2] καὶ ἄν τέ τινα εὖ ποιῆσαι δέῃ, συνεπισχύει, ἄν τέ τις φόβος ταράττῃ, συμβοηθεῖ, τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων, καὶ τὰ μὲν συμπείθων, τὰ δὲ βιαζόμενος, καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ πλεῖστα ἐπανορθῶν.

§ 7. Ἃ δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι, καὶ οἱ ὀφθαλμοὶ προορῶσι, καὶ τὰ ὦτα προακούουσι, καὶ οἱ πόδες διανύτουσι, τούτων φίλος εὐεργετῶν οὐδενὸς λείπεται· πολλάκις δέ, ἃ πρὸ αὐτοῦ[2] τις ἢ οὐκ ἐξειργάσατο ἢ οὐκ εἶδεν ἢ οὐκ ἤκουσεν ἢ οὐ διή-

---

§ 2. 2. ὅπως οἱ ὄντες ἑαυτοῖς σώζονται] Τὸ τελευταῖον μόνον σώζωνται τῆς τοῦ Σ. γραφῆς, μετεποίησα εἰς τὸ ὁριστικόν, ἵνα συνάδῃ τῷ πρὸ αὐτοῦ κτήσονται. Περὶ δὲ τῶν λοιπῶν ἔπιθι τὰ ὑπ' ἐκείνου σεσημειωμένα. — § 4. 2. εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος] Αἱ δέκα λέξεις αὗται ἐξερρύησαν τοῦ κειμένου τῆς ἐκδόσεως τοῦ Λ. διὰ τυπογράφων ἀβλεψίαν. — § 6. 2. καὶ τῶν κοινῶν πράξεως] Ἐκ διορθώσεως ὀψιαιτέρας τοῦ Σ. ἣν κατεχώρισεν ἐν ταῖς Ἐπισημειώσεσιν, ΑΤ, πράξεων. — § 7. 2. ἃ πρὸ αὐτοῦ] Pro se ipso ἡρμήνευσεν ὁ Β. ἢ γὰρ Πρὸ ἐνθάδε ἰσοδυναμεῖ τῇ Ὑπέρ ὃ συνεχέστερον σημαίνει ἢ παρὰ τοῖς

ωσε, ταῦτα ὁ φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν. Ἀλλ' ὅμως ἔνιοι δένδρα μὲν [3] πειρῶνται θεραπεύειν τοῦ καρποῦ ἕνεκεν· τοῦ δὲ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται.

ΚΕΦΑΛΑΙΟΝ V.

§ 1. Ἤκουσα δέ ποτε καὶ ἄλλον αὐτοῦ λόγον, ὃς ἐδόκει μοι προτρέπειν τὸν ἀκούοντα ἐξετάζειν ἑαυτόν, ὁπόσου τοῖς φίλοις ἄξιος εἴη. Ἰδών γάρ τινα τῶν ξυνόντων ἀμελοῦντα φίλου πενίᾳ πιεζομένου, ἤρετο Ἀντισθένη ἐναντίον τοῦ ἀμελοῦντος αὐτοῦ καὶ ἄλλων πολλῶν.

§ 2. Ἆρα, ἔφη, ὦ Ἀντίσθενες, εἰσί τινες ἀξίαι φίλων, ὥσπερ οἰκετῶν; Τῶν γάρ οἰκετῶν ὁ μέν που δύο μνῶν ἄξιός ἐστιν, ὁ δὲ οὐδ' ἡμιμναίου, ὁ δὲ πέντε μνῶν, ὁ δὲ καὶ δέκα·[2] Νικίας[3] δὲ ὁ Νικηράτου λέγεται ἐπιστάτην εἰς τἀργύρια πρίασθαι τάλαντου. Σκοπῶμεν δή τοῦτο, ἔφη, εἰ ἄρα, ὥσπερ τῶν οἰκετῶν, οὕτω καὶ τῶν φίλων εἰσὶν ἀξίαι;

§ 3. Ναὶ μὰ Δί', ἔφη ὁ Ἀντισθένης. Ἔγωγ' οὖν βουλοίμην ἄν τὸν μέν τινα φίλον μοι εἶναι μᾶλλον ἢ δύο μνᾶς, τὸν δ' οὐδ' ἂν ἡμιμναίου προτιμησαίμην, τὸν δὲ καὶ πρὸ δέκα μνῶν ἑλοίμην ἄν, τὸν δὲ πρὸ πάντων χρημάτων καὶ πάνυ προελοίμην ἂν φίλον μοι εἶναι.[2]

Ρ'ωμαίοις Pro. — 3. ἔνιοι δένδρα μὲν] Ex ΔΓ (ἣν μετεμέλητε μὴ προελόμενοι καὶ τῷ Σ.), AT, ἔνιοι μὲν δένδρα.

§ 2. 2. Τῶν γὰρ οἰκετῶν ὁ μέν που δύο μνῶν ἄξιός ἐστιν, ὁ δὲ οὐδ' ἡμιμναίου, ὁ δὲ πέντε μνῶν, ὁ δὲ καὶ δέκα] Ἐντεῦθεν ὁρμηθεῖσα ἡ συνήθεια, ἐσχημάτισε, τοῖς μὲν ἀρχαίοις ἄγνωστον, οὔ γε μὴν βάρβαρον ῥῆμα τὸ Ἀξίζω. Διὸ καὶ ἑρμηνεῦσαι θέλουσα τὸ προλειμένον χωρίον, ῥᾴστειεν ἄν, »Ἀπὸ τοὺς δούλους ἄλλος τυχὸν ἀξίζει δύο μνᾶς, ἄλλος οὐδὲ τὸ ἥμισυ τῆς μνᾶς, ἄλλος πέντε, ἄλλος δὲ καὶ δέκα.» Ὡσαύτως καὶ τὸ παρὰ τοῖς ἀρχαίοις Πόσου ἄξιον, ἡμεῖς Πόσον ἀξίζει φαμέν, καὶ τὸ παρ' ἐκείνοις Οὐδενὸς ἄξιον, »ἡμῖν δὲν ἀξίζει τί ποτε Λέγεται. Εὐπαρεῖ δὲ ἡ συνήθεια καὶ συνωνύμου ῥήματος τοῦ Χρήζω ἢ Χρείζω (χυδ. Ἀχρείζω) Τοῦτο παρὰ μὲν τοῖς ἀρχαίοις συνώνυμον ἦν τοῦ Δέομαι, ὅπερ ἡμεῖς Χρειάζομαι, ἢ Χρείαν ἔχω, ἑρμηνεύομεν, «Ἔχρηζεν, ἐδεῖτο, κ. τ. λ.» φησὶν Ἡσύχιος· καὶ »Χρεωκόπος, ἐνδεόμενος, »χρεώδης, χρείαν ἔχων· καὶ Κεχρημένος, ἀνδεᾶς ὤν, χρήζων, ἢ ΠΕΠΙΘΥΙΑΣ, »πένθα γραπτέον ἴσως ΠΑΗΧΘΕΙΣ. ἐπαί καὶ' φητί μικρὸν ὑποθάς, »Κεχρῆσθαι, πεπλῆχθαι. Ἀπὸ δ' οὖν τοῦ ἡμετέρου χρήζω, ὅ γε εἰκὸς πάλαι καὶ ἐπὶ τοῦ Χρᾶν καὶ Χρῆσθαι (ὅθεν τὸ Χρήματα καὶ τὸ Χρήτιμον) τετάχθαι, ἡ κοινὴ φράτις αὕτη, «Χρήζει δύο γρόσια», ταὐτὸ δύναται τῇ Τόσην χρείαν ἔχει (τουτέστι προμηθεύει), ἢ τόσου εἶναι χρήσιμον ὅσον καὶ τὰ δύο γρόσια. Εἰ γάρ, παραδείγματος χάριν, δύο γροσίων πρίαιτό τις τὸ ἑνὸς ἄξιον, ἐζημίωται δῆλον ὅτι, τὰ χρησιμώτερα τοῦ ἧττον χρησίμου ἀντικαταλλαξάμενος.

— 3. Νικίας,] οὗ καὶ ἀλλαχοῦ (Περὶ πόρ. 4, § 14) ἐμνημόνευσεν. Ἴδε καὶ τὸν Πλούταρχον (Νικ. § 4) περὶ τοῦ Νικίου πλούτου. — § 3. 2. πρὸ πάντων χρημάτων ΚΑΙ ΠΑΝΥ ΠΡΟΕΛΟΙΜΗΝ ἂν φίλον μοι εἶναι] ΗΔ ΑΓ, πρὸ πάντων χρημάτων ΚΑΙ ΠΟΡΩΝ ΠΡΙΑΙΜΗΝ ἂν φίλον μοι εἶναι. Τὸ Πόρων διόρθωτις ἦν τῶν ἐκδοτῶν, ἀντὶ τοῦ ἐν ταῖς ἀρχαιοτέραις ἐλλάσεσι φερομένου Πόνων

§ 4. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴγε ταῦτα τὰ τοιαῦτά ἐστι, καλῶς ἂν ἔχοι ἐξετάζειν τινὰ ἑαυτόν, πόσου ἄρα τυγχάνοι τοῖς φίλοις ἄξιος ὤν, καὶ πειρᾶσθαι ὡς πλείστου ἄξιος εἶναι, ἵνα ἧττον αὐτὸν οἱ φίλοι προδιδῶσιν. Ἐγὼ γάρ τοι, ἔφη, πολλάκις ἀκούω τοῦ μέν, ὅτι προὔδωκεν αὐτὸν φίλος ἀνήρ, τοῦ δέ, ὅτι μυᾶν ἀνθ' ἑαυτοῦ μᾶλλον εἵλετο ἀνήρ, ὃν ὤετο φίλον εἶναι.

§ 5. Τὰ τοιαῦτα πάντα σκοπῶ[2], μή, ὥσπερ, ὅταν τις οἰκέτην πονηρὸν πωλῇ, ἀποδίδοται τοῦ εὐρεθέντος,[3] οὕτω καὶ τὸν πονηρὸν φίλον, ὅταν ἐξῇ τὸ πλεῖον τῆς ἀξίας λαβεῖν, ἐπαγωγὸν ἢ προδίδοσθαι. Τοὺς δὲ χρηστοὺς οὔτε οἰκέτας πάνυ τι πωλουμένους ὁρῶ, οὔτε φίλους προδιδομένους.

ΚΕΦΑΛΑΙΟΝ VI.

§ 1. Ἔοικε δέ μοι καὶ εἰς τὸ δοκιμάζειν φίλους, ὁποίους ἄξιον κτᾶσθαι, φρενοῦν τοιάδε λέγων· Εἰπέ μοι, ἔφη, ὦ Κριτό-

---

ΔΓ, πόνῳ), ὅπερ καὶ ἕτεροι πρὸ ἡμῶν εἰς τὸ Πάνυ τρεπτέον εἶναι ὑπενόησαν. Τὸ δὲ πριαίμην (ὅ τινες εἰς τὸ Προτιμησαίμην τρέπειν παρήνουν) ἔγνων τρέψαι εἰς τὸ Προελοίμην, ᾧ μαρτυρεῖ καὶ ὁ Β'. anteponerem.

§ 5. 2. Τὰ τοιαῦτα πάντα σκοπῶ] Ἐλλειπτικῶς τῆς Διὰ προθέσεως εἰρῆσθαι οἴεται ὁ Σ. πιθανῶς μέν, οὐχ ἁναμφιλέκτως δέ· ὁ γὰρ Β. τὰς τέσσαρας ταύτας λέξεις δυσὶ μόναις ἡρμήνευσε· Cogito itaque, ὥσπερ ἂν εἰ ἐγέγραπτο, »Διὰ ταῦτα δὴ σκοπῶ (ᾧπερ καὶ ἀλλαχοῦ οὐχ ἅπαξ ἐχρήσατο Ξενοφῶν), ἤγουν ἐλλειπτικῶς, Ταῦτα δὴ σκοπῶ. — 3 πωλῇ, ἀποδίδοται τοῦ εὑρεθέντος] Τὸ μὲν ἐκ ΔΓ (οἷον τὸ Εὑρεθέντος ἀντὶ τοῦ Εὑρόντος), τὸ δὲ καὶ αὐτὸς διορθῶν ἔγραψα, ΑΤ, ἔχῃ, πωλεῖ καὶ ἀποδίδοται τοῦ εὑρόντος. Ἔστι καὶ ἑτέρα ΔΓ τῆς τελευταίας λέξεως, Τυχόντος, ἣν ὁ Β. ἡρμήνευσε κατὰ δοτικήν, vendit eum cuicunque obvio, ὥσπερ ἂν εἰ ἐγέγραπτο, τῷ τυχόντι, τουτέστι, πωλεῖ αὐτὸν ᾧ ἂν τύχῃ ὠνητῇ· Ὁ Σ. οὐ μόνον ἐτήρησε τὴν παρ' ἅπασιν σχεδὸν τοῖς ἐκδόταις γραφήν, τοῦ εὑρόντος, ἀλλὰ καὶ πειρᾶται παραβάλλειν πρὸς τὸ μοναδικὸν τύπον τοῦ ἀορίστου ἁλόντος, ὑπολαμβάνων, ὥσπερ οὗτος τῇ φωνῇ ἐνεργητικὸς ὤν, παθητικός ἐστι τῇ δυνάμει, παραπλησίως καὶ τὸ εὑρόντος, ἐνθάδε γοῦν, ἰσοδυναμεῖν τῷ εὑρεθέντος. Ὧν δὲ φέρει παραδειγμάτων εἰς τὸ πιστώσασθαι τὴν καινὴν ταύτην σημαντίαν, τὸ μέν ἐστιν ἐκ τῶν Ἀριστοτέλους Οἰκονομικῶν (β'. § 22, σελ. 17, ἐκδ. Σνειδέρ. 1815,) ὅπερ ἐπὶ λέξεως ἔχει ὧδε· «Καλλίστρατος ἐν Μακεδονίᾳ, πωλουμένου τοῦ ἐλλιμενίου ὡς »ἐπὶ τὸ πολὺ εἴκοσι ταλάντων, ἐποίησεν »εὑρεῖν τὸ διπλάσιον κ. τ. λ.» Τὸ δεύτερον δὲ ἐκ τοῦ ῥήτορος Αἰσχίνου (Κατὰ Τιμάρχ. σελ. 117)· «Οὐδὲ τῆς ἀξίας ἕκαστον τῶν κτημάτων. . . ἀλλὰ τοῦ εὑρίσκοντος ἤδη ἀπεδίδοτο» Καὶ τὸ μὲν πρῶτον τῶν παραδειγμάτων οὐδὲν ἀποδεικνυσιν, ὅμοιον ὂν τῷ παρὰ τῷ Θεοφράστῳ (Χαρακτ. ιέ)· «Καὶ πωλῶν τι... ἐρωτᾶν τί εὑρίσκειν,» ἐν τούτῳ γάρ, ὥσπερ καὶ ἐν τῷ ἐκ τοῦ Ἀριστοτέλους, τὸ εὑρίσκειν, καὶ τῇ φωνῇ καὶ τῇ δυνάμει ἐνεργητικόν ἐστι. Καὶ μαρτυρεῖ τούτῳ ἡ παρ' ἡμῖν συνήθεια, μόνον οὐ καθιερώσασα τὸ ῥῆμα ἐν ταῖς περὶ πράσεως φράσεσιν, οἷον περὶ μὲν τοῦ πωλοῦντος, Εὕρηκα καλὴν τιμήν, ὃν εὑρίσκω τιμήν, τί ἐμπορῶ νὰ εὕρω; καὶ τὰ παραπλήσια· περὶ δὲ τοῦ πωλουμένου εὑρίσκει καλὴν τιμήν, τουτέστιν ἱκανῆς τιμῆς πιπράσκεται. Λείπεται τοίνυν τὸ ἐκ τοῦ Αἰσχίνου εὑρίσκοντος, ὅπερ ἦν ἂν πιθανώτερον τοῦ παρὰ τῷ Ξενοφῶντι, εἴγε μὴ κἀκείνῳ προσεγέγραπτο ΔΓ, εὑρισκομένου ἐσημειώσαντο τοῦτο καὶ οἱ ἔναγχος ἐκδοθέντες γραμματικοὶ (Bekker, Anecdot. Græc. Tom. 1, pag. 95), «εὑρίσκειν τιμήν, ὡς κἂν τῇ συνηθείᾳ,» φήσαντες μόνον, σχολῇ γ' ἂν παραλιπόντες, εἴ τι καινὸν εἶχεν ἡ σύνταξις τοῦ ῥήματος παρὰ τὴν συνήθειαν

βουλε, εἰ δεοίμεθα φίλου ἀγαθοῦ, πῶς ἂν ἐπιχειροίημεν σκοπεῖν; ἆρα πρῶτον μὲν ζητητέον, ὅστις ἄρχει γαστρός τε καὶ φιλοποσίας καὶ λαγνείας καὶ ὕπνου καὶ ἀργίας; ὁ γὰρ ὑπὸ τούτων κρατούμενος οὔτ' αὐτὸς ἐαυτῷ δύναιτ' ἂν οὔτε φίλῳ τὰ δέοντα πράττειν; Μὰ Δί, οὐ δῆτα, ἔφη. Οὐκοῦν τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι; Πάνυ μὲν οὖν, ἔφη.

§ 2. Τί γάρ; ἔφη, ὅστις δαπανηρὸς ὢν μὴ αὐτάρκης ἐστίν, ἀλλ' ἀεὶ τῶν[2] πλησίον δεῖται, καὶ λαμβάνων μὲν μὴ δύναται ἀποδιδόναι, μὴ λαμβάνων δὲ τὸν μὴ διδόντα μισεῖ, οὐ δοκεῖ σοι καὶ οὗτος χαλεπὸς φίλος εἶναι; Πάνυ, ἔφη. Οὐκοῦν ἀφεκτέον καὶ τούτου; Ἀφεκτέον μέντοι, ἔφη.

§ 3. Τί γάρ;[2] ὅστις χρηματίζεσθαι μὲν δύναται, πολλῶν δὲ χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσξύμβουλός ἐστι, καὶ λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ οὐ βούλεται; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, οὗτος ἔτι πονηρότερος ἐκείνου εἶναι.

§ 4. Τί δέ; ὅστις διὰ τὸν ἔρωτα τοῦ χρηματίζεσθαι μηδὲ πρὸς ἓν[2] ἄλλο σχολὴν ποιεῖται, ἢ ὁπόθεν αὐτὸς κερδανεῖ; Ἀφεκτέον καὶ τούτου, ὡς ἐμοὶ δοκεῖ· ἀνωφελὴς γὰρ ἂν εἴη τῷ χρωμένῳ. Τί δέ; ὅστις στασιώδης τέ ἐστι καὶ θέλων πολλοὺς τοῖς φίλοις ἐχθροὺς παρέχειν; Φευκτέον, νὴ Δία, καὶ τοῦτον. Εἰ δέ τις τούτων μὲν τῶν κακῶν μηδὲν ἔχοι, εὖ δὲ πάσχων ἀνέχοιτο, μηδὲν φροντίζων τοῦ ἀντευεργετεῖν; Ἀνωφελὴς ἂν εἴη καὶ οὗτος. Ἀλλὰ ποῖον, ὦ Σώκρατες, ἐπιχειρήσομεν φίλον ποιεῖσθαι;

§ 5. Οἶμαι μέν, ὃς τἀναντία τούτων, ἐγκρατὴς μέν ἐστι τῶν διὰ τοῦ σώματος ἡδονῶν, εὔορκος δὲ καὶ εὐξύμβολος[2] ὢν τυγχάνει, καὶ φιλόνικος πρὸς τὸ μὴ ἐλλείπεσθαι εὖ ποιῶν τοὺς εὐεργετοῦντας ἑαυτόν, ὥστε λυσιτελεῖν τοῖς χρωμένοις.

§ 6. Πῶς οὖν ἂν ταῦτα δοκιμάσαιμεν, ὦ Σώκρατες, πρὸ τοῦ χρῆσθαι; Τοὺς μὲν ἀνδριαντοποιούς, ἔφη, δοκιμάζομεν, οὐ τοῖς λόγοις αὐτῶν τεκμαιρόμενοι, ἀλλ' ὃν ἂν ὁρῶμεν τοὺς πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον, τούτῳ πιστεύομεν καὶ τοὺς λοιποὺς εὖ ποιήσειν.

§ 7. Καὶ ἄνδρα δὴ λέγεις, ἔφη, ὃς ἂν τοὺς φίλους τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται, δῆλον εἶναι καὶ τοὺς ὑστέρους εὐεργετήσοντα; Ἔγωγε, ἔφη.

---

§ 2. 2. ἀλλ' ἀεὶ τῶν] ΔΓ ἀλλὰ καὶ τῶν. —§ 3. 2. Τί γάρ;] Γραπτέον οἶμαι, τί δέ; ὡς καὶ ὁ Β. ἡρμήνευτε, Quid verò. —§ 4. 2. μηδὲ πρὸς ἕν] Τμῆσις Ἀττικοῖς συνήθης, ἀντὶ τοῦ, προς μηδέν. —§ 5. 2. εὔορκος δὲ καὶ εὐξύμβολος] Ἀμφιβάλλω μεθ' ἑτέρων, εἰ ὀρθῶς ὁ Σ. ἀνθυπέβαλε τῷ εὔορκος τὴν ΕΔ εὔοργος. Οὐ κακῶς ἔχει τῷ εὐξύμβολος συναπτόμενον τὸ Εὔορκος· σημαίνει γὰρ τὸν μὴ χαλεπὸν περὶ τὰ συμβόλαια, ἅπερ ὅρκοις ἐπιστοῦντο πολλάκις· εἴρηκε δὲ καὶ μικρὸν ἀνωτέρω (§ 3) τὸ δυσξύμβολον ἥδεσθαι μὲν λαμβάνοντα, ἀπο-

σοντα; Καὶ γὰρ ἵπποις, ἔφη, ὃν ἂν τοῖς πρόσθεν ὁρῶ καλῶς χρώμενον, τοῦτον καὶ ἄλλοις οἶμαι καλῶς χρήσεσθαι.

§ 8. Εἶεν, ἔφη· ὃς δ' ἂν ἡμῖν ἄξιος φιλίας δοκῇ εἶναι, πῶς χρὴ φίλον τοῦτον ποιεῖσθαι; Πρῶτον μέν, ἔφη, τὰ παρὰ τῶν θεῶν ἐπισκεπτέον, εἰ συμβουλεύουσιν αὐτὸν φίλον ποεισθαι. Τί οὖν; ἔφη, ὃν ἂν ἡμῖν δοκῇ, καὶ οἱ θεοὶ μὴ ἐναντιῶνται, ἔχεις εἰπεῖν, ὅπως οὗτος θηρατέος;

§ 9. Μὰ Δί', ἔφη, οὐ κατὰ πόδας, ὥσπερ ὁ λαγώς, οὐδ' ἁπάτῃ, ὥσπερ αἱ ὄρνιθες, οὐδὲ βίᾳ, ὥσπερ οἱ ἐχθροί. Ἄκοντα γὰρ φίλον ἐλεῖν ἐργῶδες· χαλεπὸν δὲ καὶ δήσαντα κατέχειν, ὥσπερ δοῦλον· ἐχθροὶ γὰρ μᾶλλον ἢ φίλοι γίγνονται ταῦτα πάσχοντες. Φίλοι δὲ πῶς; ἔφη.

§ 10. Εἶναι μέν τινάς φασιν ἐπῳδάς, ἃς οἱ ἐπιστάμενοι ἐπᾴδοντες οἷς ἂν βούλωνται, φίλους ἑαυτοῖς ποιοῦνται· εἶναι δὲ καὶ φίλτρα,[2] οἷς οἱ ἐπιστάμενοι πρὸς οὓς ἂν βούλωνται χρώμενοι, φιλοῦνται ὑπ' αὐτῶν.

§ 11. Πόθεν οὖν, ἔφη, ταῦτα μάθοιμεν ἄν; Ἃ μὲν αἱ Σειρῆνες ἐπῇδον τῷ Ὀδυσσεῖ, ἥκουσας Ὁμήρου, ὧν ἐστιν ἀρχὴ τοιάδε τις·

Δεῦρ' ἄγε δή2 πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν.

Ταύτην οὖν, ἔφη, τὴν ἐπῳδήν, ὦ Σώκρατες, καὶ τοῖς ἄλλοις ἀνθρώποις αἱ Σειρῆνες ἐπᾴδουσαι κατεῖχον, ὥστε μὴ ἀπιέναι ἀπ' αὐτῶν τοὺς ἐπασθέντας;

§ 12. Οὔκ· ἀλλὰ τοῖς ἐπ' ἀρετῇ φιλοτιμουμένοις οὕτως ἐπῇδον. Σχεδόν τι λέγεις τοιαῦτα χρῆναι ἑκάστῳ ἐπᾴδειν, οἷα μὴ νομιεῖ ἀκούων τὸν ἐπαινοῦντα καταγελᾶντα λέγειν. Οὕτω μὲν γὰρ ἐχθίων τ' ἂν εἴη, καὶ ἀπελαύνοι τοὺς ἀνθρώπους ἀφ' ἑαυτοῦ, εἰ τὸν εἰδότα ὅτι μικρός τε καὶ αἰσχρὸς καὶ ἀσθενής ἐστιν, ἐπαινοίη λέγων, ὅτι καλός τε καὶ μέγας καὶ ἰσχυρός ἐστιν. Ἄλλας δέ τινας οἶσθα ἐπῳδάς;

§ 13. Οὔκ· ἀλλ' ἤκουσα μέν, ὅτι Περικλῆς πολλὰς ἐπίστατο, ἃς ἐπᾴδων τῇ πόλει ἐποίει αὐτὴν φιλεῖν αὐτόν. Θεμιστοκλῆς δὲ πῶς ἐποίησε τὴν πόλιν φιλεῖν αὐτόν; Μὰ Δί' οὐκ ἐπᾴδων, ἀλλὰ περιάψας τι ἀγαθὸν αὐτῇ.[2]

διδόναι δὲ μὴ βούλεσθαι. — § 10. 2. φίλτρα,] Φιλίας ποιητικὰ φάρμακα. Φίλητρον ἦν, ὥσπερ καὶ τὸ μίσητρον, καὶ κατὰ συγκοπήν, φίλτρον.

§ 11. 2. Δεῦρ' ἄγε δή] Ἐκ τῆς Ὀδυσσείας (μ', 184), ἔνθα φέρεται νῦν, Δεῦρ' ἄγ' ἰών. — § 13. 2. Θεμιστοκλῆς δὲ . . . οὐκ ἐπᾴδων, ἀλλὰ περιάψας τι ἀγαθὸν αὐτῇ.] Τὸν Πειραιᾶ λέγειν ἔοικεν, ὡς Θεμιστοκλέους ἴδιον· τῶν γὰρ λοιπῶν καὶ ἄλλους εἶχε μετέχοντας. Διὸ καὶ ὁ Κωμικὸς τὸν Κλέωνα σκώπτων, ὅτι πρὸς Περικλέα παρέβαλεν ἑαυτόν, φησὶ (Ἱππ. 813),

Σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις;
Ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν, εὑρὼν ἐπιχειλῆ·
Καὶ πρὸς τούτοις ἀριστώσῃ, τὸν Πειραῖα προσέμαξεν.

§ 14. Δοκεῖς μοι λέγειν, ὦ Σώκρατες, ὡς, εἰ μέλλοιμεν ἀγαθόν τινα κτήσεσθαι φίλον, αὐτοὺς ἡμᾶς ἀγαθοὺς δεῖ γενέσθαι λέγειν τε καὶ πράττειν.[2] Σὺ δὲ ὅμου, ἔφη ὁ Σωκράτης, οἷόν τ' εἶναι πονηρὸν ὄντα χρηστοὺς φίλους κτήσασθαι;

§ 15. Ἐώρων γάρ, ἔφη ὁ Κριτόβουλος, ῥήτοράς τε φαύλους ἀγαθοῖς δημηγόροις φίλους ὄντας, καὶ στρατηγεῖν οὐχ ἱκανοὺς πάνυ στρατηγικοῖς ἀνδράσιν ἑταίρους.

§ 16. Ἆρ' οὖν, ἔφη, καὶ περὶ οὗ διαλεγόμεθα, οἶσθά τινας, οἳ ἀνωφελεῖς ὄντες ὠφελίμους δύνανται φίλους ποιεῖσθαι; Μὰ Δί', οὐ δῆτ', ἔφη. Ἀλλ' εἰ ἀδύνατόν ἐστι, πονηρὸν ὄντα καλοὺς κἀγαθοὺς φίλους κτήσασθαι, ἐκεῖνο ἤδη λέγε μοι, εἰ ἔστιν, αὐτὸν καλὸν κἀγαθὸν γενόμενον, ἐξ ἑτοίμου τοῖς καλοῖς κἀγαθοῖς φίλον εἶναι.

§ 17. Ἡ ταράττει σε, ὦ Κριτόβουλε,[2] ὅτι πολλάκις ἄνδρας καὶ καλὰ πράττοντας καὶ τῶν αἰσχρῶν ἀπεχομένους ὁρᾷς, ἀντὶ τοῦ φίλους εἶναι, στασιάζοντας ἀλλήλοις, καὶ χαλεπώτερον χρωμένους τῶν μηδενὸς ἀξίων ἀνθρώπων.[3]

§ 18. Καὶ οὐ μόνον γ', ἔφη ὁ Κριτόβουλος, οἱ ἰδιῶται τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ πόλεις αἱ τῶν τε καλῶν μάλιστα ἐπιμελούμεναι, καὶ τὰ αἰσχρὰ ἥκιστα προσιέμεναι, πολλάκις πολεμικῶς[2] ἔχουσι πρὸς ἀλλήλας.

§ 19. Ἃ λογιζόμενος, πάνυ ἀθύμως ἔχω πρὸς τὴν τῶν φίλων κτῆσιν· οὔτε γὰρ τοὺς πονηροὺς ὁρῶ φίλους ἀλλήλοις δυναμένους εἶναι· πῶς γὰρ ἂν ἢ ἀχάριστοι ἢ ἀμελεῖς ἢ πλεονέκται ἢ ἄπιστοι ἢ ἀκρατεῖς ἄνθρωποι δύναιντο φίλοι γενέσθαι; Οἱ μὲν οὖν πονηροὶ πάντες[2] ἔμοιγε δοκοῦσιν ἀλλήλοις ἐχθροὶ μᾶλλον ἢ φίλοι πεφυκέναι.

§ 20. Ἀλλὰ μήν, ὥσπερ [καὶ] σὺ λέγεις,[2] οὐδ' ἂν τοῖς χρηστοῖς οἱ πονηροί ποτε συναρμόσειαν εἰς φιλίαν· πῶς γὰρ οἱ τὰ

---

§. 14. 2. λέγειν τε καὶ πράττειν.] Ἀφώρισε τοῦ κειμένου ταῦτα (δόξαν καὶ ἑτέροις κριτικοῖς) ὁ Σ. Ἄλλοι τυὸν αντίον οὐκ ἔγνωσαν εἶναι περιττὰ, οἷς καὶ αὐτὸς συντίθεμαι. Ἔοικε γὰρ τὸ μὲν λέγειν πρὸς τὸν Περικλέα ἀποτείνεσθαι, ὃς ἐπῳδαῖς καὶ λόγοις ἥπίστατο κατέχειν τὸν δῆμον· τὸ δὲ πράττειν πρὸς τὸν Θεμιστοκλέα, ὃς οὐκ ἐπᾴδων, μὰ Δία, ὥς φησιν, ἀλλ' εὐεργετῶν τὴν πόλιν εὖ ἐποίουν ἑαυτῷ παρεσκεύαστε. — § 17. 2. Ἡ ταράττει σε, ὦ Κριτόβουλε] ΔΓ (μακροτέρα), Οἶδα, ἔφη ὁ Σωκράτης, ὃ ταράττει σε, Κριτόβουλε. — 3. ἄνδρας καὶ καλὰ πράττοντας . . . τῶν μηδενὸς ἀξίων ἀνθρώπων.] Σημειοῦ τὴν διαφορὰν τοῦ Ἀνὴρ πρὸς τὸ ἄνθρωπος· οὐ γὰρ ἐνεδέχετο εἰπεῖν, μηδενὸς ἀξίων ἀνδρῶν. — § 18. 2. πολεμικῶς.] Ἴσως ἐγράφετο, πολεμίως, ὡς καὶ ἕτεροι ἐσημειώσαντο. Ἴσως δὲ οὐδὲ τοῦτο, φησὶ μεθ' ἑτέρων ὁ Σ. ἀλλὰ, ἐθελέχθρως (ᾧ τὸ πολεμικῶς προσεγράφη ὡς ἐξήγησις)· καὶ γὰρ τὸ παρὰ Μοίριδι τῷ Ἀττικιστῇ, «Ἐθελέχθρως, Ξενοφῶν, Ἀπομνημονεύμασιν» οὐδαμοῦ που τῶν Ἀπομνημονευμάτων εὑρημένον, πιθανὸν οἴονται εἰς τοῦτο τὸ μέρος πάλαι κατακεχωρίσθαι. — § 19. 2. Οἱ μὲν οὖν πονηροὶ πάντες.] Ἐκ ΔΓ (συναδούσης τῷ B. omnes improbi), ΑΓ, πάντως. — § 20. 2. ὥσπερ] καὶ σὺ λέγεις.] Παρείληφα τὸν συμπλεκτικὸν ἐκ τοῦ B, ut tu quoque dicis. — 3. ῥθονοῦντες ἑαυτοῖς μι-

πονηρὰ ποιοῦντες τοῖς τὰ τοιαῦτα μισοῦσι φίλοι γένοιντ' ἄν; Εἰ δὲ δὴ καὶ οἱ ἀρετὴν ἀσκοῦντες στασιάζουσί τε περὶ τοῦ πρωτεύειν ἐν ταῖς πόλεσι, καὶ φθονοῦντες ἑαυτοῖς μισοῦσιν ἀλλήλους,[3] τίνες ἔτι φίλοι ἔσονται, καὶ ἐν τίσιν ἀνθρώποις εὔνοια καὶ πίστις ἔσται;

§ 21. Ἀλλ' ἔχει μέν, ἔφη ὁ Σωκράτης, ποικίλως πως[2] ταῦτα, ὦ Κριτόβουλε. Φύσει γὰρ ἔχουσιν οἱ ἄνθρωποι τὰ μὲν φιλικὰ· δέονται γὰρ ἀλλήλων, καὶ ἐλεοῦσι, καὶ συνεργοῦντες ὠφελοῦσι,[3] καὶ τοῦτο συνιέντες χάριν ἔχουσιν ἀλλήλοις· τὰ δὲ πολεμικὰ· τά τε γὰρ αὐτὰ καλὰ καὶ ἡδέα νομίζοντες, ὑπὲρ τούτων μάχονται, καὶ διαγωνιζόμενοι ἐναντιοῦνται. Πολεμικὸν δὲ καὶ ἔρις καὶ ὀργή· καὶ δυσμενὲς μὲν ὁ τοῦ πλεονεκτεῖν ἔρως, μισητὸν[4] δὲ ὁ φθόνος.

§ 22. Ἀλλ' ὅμως διὰ τούτων πάντων ἡ φιλία διαδυομένη[2] συνάπτει τοὺς καλούς τε κἀγαθούς. Διὰ γὰρ τὴν ἀρετὴν αἱροῦνται μὲν ἄνευ πόνου τὰ μέτρια κεκτῆσθαι μᾶλλον, ἢ διὰ πολέμου πάντων κυριεύειν· καὶ δύνανται πεινῶντες καὶ διψῶντες ἀλύπως σίτου καὶ ποτοῦ κοινωνεῖν, καὶ τοῖς τῶν ὡραίων ἀφροδισίοις ἡλωμένοι καρτερεῖν, ὥστε μὴ λυπεῖν, οὓς μὴ προσήκει.

§ 23. Δύνανται δὲ καὶ χρημάτων, οὐ μόνον τοῦ πλεονεκτεῖν ἀπεχόμενοι, νομίμως κοινωνεῖν, ἀλλὰ καὶ ἐπαρκεῖν ἀλλήλοις· δύνανται δὲ καὶ τὴν ἔριν οὐ μόνον ἀλύπως, ἀλλὰ καὶ συμφερόντως ἀλλήλοις διατίθεσθαι, καὶ τὴν ὀργὴν κωλύειν εἰς τὸ μεταμελησόμενον προϊέναι. Τὸν δὲ φθόνον παντάπασιν ἀφαιροῦσι, τὰ μὲν ἑαυτῶν ἀγαθὰ τοῖς φίλοις οἰκεῖα παρέχοντες, τὰ δὲ τῶν φίλων ἑαυτῶν νομίζοντες.

§ 24. Πῶς οὖν οὐκ εἰκὸς τοὺς καλούς τε κἀγαθοὺς καὶ τῶν πολιτικῶν τιμῶν μὴ μόνον ἀβλαβεῖς ἀλλὰ καὶ ὠφελίμους ἀλλήλοις κοινωνοὺς εἶναι; οἱ μὲν γὰρ ἐπιθυμοῦντες ἐν ταῖς πόλεσιν τιμᾶσθαί τε καὶ ἄρχειν, ἵνα ἐξουσίαν ἔχωσι χρήματά τε κλέπτειν καὶ ἀνθρώπους βιάζεσθαι καὶ ἡδυπαθεῖν, ἄδικοί τε καὶ πονηροὶ ἂν εἶεν καὶ ἀδύνατοι ἄλλῳ συναρμόσαι.

§ 25. Εἰ δέ τις ἐν πόλει τιμᾶσθαι βουλόμενος, ὅπως αὐτὸς

σοῦσιν ἀλλήλους.] Γραπτέον, οἶμαι, τρισὶ λέξεσι, φθονοῦντες ἑαυτοὺς μισοῦσι, ἢ φθονοῦντεες μισοῦσιν ἀλλήλους. — § 21, 2. ποικίλως πως] οὐχ ἁπλῶς ἀπόχρη τοῖς ἀγαθοῖς ἀγαθοὺς εἶναι, εἰς τὸ καὶ ἀλλήλοις φίλους γίνεσθαι· ἀλλ' ἔστιν ἐν οἷσι καὶ διαφέρονται, διὰ τὸ μὴ ταὐτὰ περὶ τῶν αὐτῶν ἀεὶ γινώσκειν. — 3. δέονται γὰρ ἀλλήλων, ΚΑΙ ΕΛΕΟΥΣΙ, καὶ συνεργοῦντες ὠφελοῦσι.] Καί περ οὐκ ἄτοπον εἶναι δοκοῦν διὰ τὸ ἐλεεῖν, οὐδεὶς ἄν με πείσειε, μὴ γεγραφέναι τὸν Ξενοφῶντα ἕτερόν τι ῥῆμα, οἷον, Καὶ ἐπαρκοῦσι, Καὶ εὐεργετοῦσι. Καὶ εὖ ποιοῦσι, ἢ ὅ μοι πάντων πιθανώτατον εἶναι δοκεῖ, ΚΑΙ ΔΙΔΟΥΣΙ, τουτέστιν ἀλλήλοις ὧν δέονται. — 4. μισητόν.] Ὤφειλεν εἶναι μισητικὸν, τουτέστι μίσους γεννητικὸν, ὡς ἔλεγέ τις τῶν κριτικῶν· καὶ ἴσως τοιαύτῃ γραφῇ ἐνέτυχε καὶ ὁ Β. ἑρμηνεύσας, odium parit. — § 22. 2. διαδυομένη,] διεκφεύγουσα. Ἡσύχιος· «Διαδύσεται,

τε μὴ ἀδικῆται, καὶ τοῖς φίλοις τὰ δίκαια βοηθεῖν δύνηται, καὶ ἄρξας ἀγαθόν τι ποιεῖν τὴν πατρίδα πειρᾶται, διὰ τί ὁ τοιοῦτος ἄλλῳ τοιούτῳ οὐκ ἂν δύναιτο συναρμόσαι; πότερον τοὺς φίλους ὠφελεῖν μετὰ τῶν καλῶν κἀγαθῶν ἧττον δυνήσεται; ἢ τὴν πόλιν εὐεργετεῖν ἀδυνατώτερος ἔσται, καλούς τε κἀγαθοὺς ἔχων συνεργούς;

§ 26. Ἀλλὰ καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσι δῆλόν ἐστιν, ὅτι, εἰ ἐξῆν τοῖς κρατίστοις συνθεμένους ἐπὶ τοὺς χείρους ἰέναι, πάντας ἂν τοὺς ἀγῶνας οὗτοι ἐνίκων, καὶ πάντα τὰ ἆθλα οὗτοι ἐλάμβανον. Ἐπεὶ οὖν ἐκεῖ μὲν οὐκ ἐῶσι τοῦτο ποιεῖν, ἐν δὲ τοῖς πολιτικοῖς,[2] ἐν οἷς οἱ καλοὶ κἀγαθοὶ κρατιστεύουσιν, οὐδεὶς κωλύει, μεθ' οὗ ἄν τις βούληται, τὴν πόλιν εὐεργετεῖν· πῶς *οὖν* οὐ λυσιτελεῖ τοὺς βελτίστους φίλους κτησάμενον πολιτεύεσθαι, τούτοις κοινωνοῖς καὶ συνεργοῖς τῶν πράξεων μᾶλλον ἢ ἀνταγωνισταῖς χρώμενον;

§ 27. Ἀλλὰ μὴν κἀκεῖνο δῆλον, ὅτι, κἂν πολεμῇ τίς τινι, συμμάχων δεήσεται, καὶ τούτων πλειόνων, ἐὰν καλοῖς κἀγαθοῖς ἀντιτάττηται. Καὶ μὴν οἱ συμμαχεῖν ἐθέλοντες εὖ ποιητέοι, ἵνα θέλωσι προθυμεῖσθαι. Πολὺ δὲ κρεῖττον τοὺς βελτίστους ἐλάττονας εὖ ποιεῖν, ἢ τοὺς χείρονας πλείονας ὄντας· οἱ γὰρ πονηροὶ πολὺ πλειόνων εὐεργεσιῶν ἢ οἱ χρηστοὶ δέονται.

§ 28. Ἀλλὰ θαρρῶν, ἔφη, ὦ Κριτόβουλε, πειρῶ ἀγαθὸς γίγνεσθαι, καὶ τοιοῦτος γιγνόμενος, θηρᾶν ἐπιχείρει τοὺς καλούς τε κἀγαθούς. Ἴσως δ' ἄν τί σοι κἀγὼ συλλαβεῖν εἰς τὴν τῶν καλῶν τε κἀγαθῶν θήραν ἔχοιμι, διὰ τὸ ἐρωτικὸς εἶναι. Δεινῶς γάρ, ὧν ἂν ἐπιθυμήσω ἀνθρώπων, ὅλος ὥρμημαι ἐπὶ τὸ φιλῶν τε αὐτοὺς ἀντιφιλεῖσθαι ὑπ' αὐτῶν, καὶ ποθῶν ἀντιποθεῖσθαι, καὶ ἐπιθυμῶν ξυνεῖναι *καὶ* ἀντεπιθυμεῖσθαι τῆς ξυνουσίας.[2]

§ 29. Ὁρῶ δὲ καὶ σοί τούτων δεῆσον, ὅταν ἐπιθυμήσῃς φιλίαν πρός τινας ποιῆσθαι. Μὴ σὺ οὖν ἀποκρύπτου με, οἷς ἂν βούλοιο φίλος γενέσθαι· διὰ γὰρ τὸ ἐπιμελεῖσθαι τοῦ ἀρέσαι τῷ ἀρέσκοντί μοι, οὐκ ἀπείρως οἶμαι ἔχειν πρὸς θήραν ἀνθρώπων.

§ 30. Καὶ ὁ Κριτόβουλος ἔφη· Καὶ μήν, ὦ Σώκρατες, τούτων ἐγὼ τῶν μαθημάτων πάλαι ἐπιθυμῶ, ἄλλως τε καὶ εἰ ἐξαρ-

---

»δύνειν (γρ. Διαδῦναι) διαφυγεῖν.» — § 26. 2. ἐν δὲ τοῖς πολιτικοῖς] ἀγῶσι. — πῶς οὖν οὐ λυσιτελεῖ.] Ἀστερίσκοις διείληφα τὸν συμπερασματικὸν, ὡς κακῶς ἐκ τῆς μετὰ τοῦ ἑπομένου ἀρνητικοῦ μορίου συμπλοκῆς γεννηθέντα. — § 28. 2. καὶ ἐπιθυμῶν ξυνεῖναι καὶ ἀντεπιθυμεῖσθαι τῆς ξυνουσίας.] Ἀφορίσωσι δεῖν ἔγνων (δόξαν τοῦτο καὶ τισι τῶν πρὸ ἐμοῦ) τοῦ κειμένου τὸν δεύτερον συμπλεκτικόν· πρὸς γὰρ τῷ περιττῷ καὶ συνταράττει τῶν λεγομένων τὸν νοῦν. Ἔστι δὲ, Ὥρμημαι ἐπὶ τὸ φιλῶν ἀντιφιλεῖσθαι ὑπὸ τῶν φιλουμένων, καὶ ποθῶν ἀντιποθεῖσθαι ὑπὸ τῶν ποθουμένων, καὶ ἐπιθυμῶν ξυνεῖναι αὐτοῖς, ἀντεπιθυμεῖσθαι ἕνεκα τῆς ξυνουσίας, τουτέστιν, ἵνα κἀκεῖνοι τῆς ξυνου-

κέσει μοι ἡ αὐτὴ ἐπιστήμη ἐπὶ τοὺς ἀγαθοὺς τὰς ψυχὰς καὶ ἐπὶ τοὺς καλοὺς τὰ σώματα.

§ 31. Καὶ ὁ Σωκράτης ἔφη· Ἀλλ', ὦ Κριτόβουλε, οὐκ ἔνεστιν ἐν τῇ ἐμῇ ἐπιστήμῃ τὸν τὰς χεῖρας προσφέροντα ποιεῖν ὑπομένειν τοὺς καλούς. Πέπεισμαι δὲ καὶ ἀπὸ τῆς Σκύλλης[2] διὰ τοῦτο φεύγειν τοὺς ἀνθρώπους, ὅτι τὰς χεῖρας αὐτοῖς προσέφερε· τὰς δέ γε Σειρῆνας, ὅτι τὰς χεῖρας οὐδενὶ προσέφερον, ἀλλὰ πᾶσι πόρρωθεν ἐπῆδον, πάντας φασὶν ὑπομένειν, καὶ ἀκούοντας αὐτῶν κηλεῖσθαι.

§ 32. Καὶ ὁ Κριτόβουλος ἔφη· Ὡς οὐ προσοίσοντος τὰς χεῖρας, εἴ τι ἔχεις ἀγαθὸν εἰς φίλων κτῆσιν, δίδασκε. Οὐδὲ τὸ στόμα οὖν, ἔφη ὁ Σωκράτης, πρὸς τὸ στόμα προσθήσεις; Θάρρει, ἔφη ὁ Κριτόβουλος· οὐδὲ γὰρ τὸ στόμα προσοίσω[2] οὐδενί, ἐὰν μὴ καλὸς ᾖ. Εὖθύς, ἔφη, σύ γε, ὦ Κριτόβουλε, τοὐναντίον τοῦ συμφέροντος εἴρηκας. Οἱ μὲν γὰρ καλοὶ τὰ τοιαῦτα οὐχ ὑπομένουσιν· οἱ δὲ αἰσχροὶ καὶ ἡδέως προσίενται, νομίζοντες διὰ τὴν ψυχὴν καλοὶ καλεῖσθαι.

§ 33. Καὶ ὁ Κριτόβουλος ἔφη· Ὡς τοὺς μὲν καλοὺς φιλήσοντός μου, τοὺς δ' ἀγαθοὺς καταφιλήσοντος, θαῤῥῶν δίδασκε τῶν φίλων τὰ θηρατικά. Καὶ ὁ Σωκράτης ἔφη· Ὅταν οὖν, ὦ Κριτόβουλε, φίλος τινὶ βούλῃ γενέσθαι, ἐάσεις με κατειπεῖν σου πρὸς αὐτόν, ὅτι ἄγασαί τε αὐτοῦ, καὶ ἐπιθυμεῖς φίλος αὐτοῦ εἶναι; Κατηγόρει, ἔφη ὁ Κριτόβουλος· οὐδένα γὰρ οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας.

§ 34. Ἐὰν δέ σου προσκατηγορήσω, ἔφη, ὅτι διὰ τὸ ἄγασθαι αὐτοῦ καὶ εὐνοϊκῶς ἔχεις πρὸς αὐτόν, ἆρα μὴ διαβάλλεσθαι δόξεις ὑπ' ἐμοῦ; Ἀλλὰ καὶ αὐτῷ μοι, ἔφη, ἐγγίγνεται εὔνοια, πρὸς οὓς ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ.

§ 35. Ταῦτα μέν δὴ, ἔφη ὁ Σωκράτης, ἐξέσταί μοι λέγειν περὶ σοῦ, πρὸς οὓς ἂν βούλῃ φίλους ποιήσασθαι; ἐὰν δέ μοι ἔτι ἐξουσίαν δῷς λέγειν περὶ σοῦ, ὅτι ἐπιμελής τε τῶν φίλων εἶ, καὶ οὐδενὶ οὕτω χαίρεις ὡς φίλοις ἀγαθοῖς, καὶ ἐπί τε τοῖς καλοῖς ἔργοις τῶν φίλων ἀγάλλῃ οὐχ ἧττον ἢ ἐπὶ τοῖς ἑαυτοῦ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς τῶν φίλων χαίρεις οὐδὲν ἧττον ἢ ἐπὶ τοῖς ἑαυτοῦ, ὅπως τε ταῦτα γίγνηται τοῖς φίλοις, οὐκ ἀποκάμνεις μηχανώμενος, καὶ

σίας μου ἐπιθυμῶσιν, ὡς ἐγὼ τῆς ἐκείνων. — § 31. 2. ἀπὸ τῆς Σκύλλης] τῆς παρὰ τῷ Ποιητῇ (Ὀδυσσ. μ', 85). — § 32. 2. προσθήσεις; . . . οὐδὲ γὰρ τὸ στόμα προσοίσω.] Διὰ τὸ τελευταῖον τοῦτο (προσοίσω) οὐκ ἀλόγως τρέπειν ἔνιοι παρήνουν καὶ τὸ πρῶτον εἰς τὸ προσοίσεις. Πᾶν τοὐναντίον ὁ B, admovebis . . . neque os apponam, τουτέστι προσοίσεις . . . οὐδὲ γὰρ τὸ στόμα προσθήσω, ὀρθότερον ἴσως. Προσοίσειν μὲν γάρ ἐστιν approcher, προσ-

ὅτι ἔγνωκας, ἀνδρὸς ἀρετὴν εἶναι, νικᾶν τοὺς μὲν φίλους εὖ ποιοῦντα, τοὺς δὲ ἐχθροὺς κακῶς· πάνυ ἂν οἶμαί σοι ἐπιτήδειον εἶναι με σύνθηρον τῶν ἀγαθῶν φίλων.

§ 36. Τί οὖν, ἔφη ὁ Κριτόβουλος, ἐμοὶ τοῦτο λέγεις, ὥσπερ οὐκ ἐπί σοι ὂν, ὅ,τι ἂν βούλῃ, περὶ ἐμοῦ λέγειν; Μὰ Δί', οὔχ, ὡς ποτε ἐγὼ Ἀσπασίας ἤκουσα. Ἔφη γάρ, τὰς ἀγαθὰς προμνηστρίας,[2] μετὰ μὲν ἀληθείας τἀγαθὰ διαγγελλούσας, δεινὰς εἶναι συνάγειν ἀνθρώπους εἰς κηδείαν, ψευδομένας δ' οὐκ ὠφελεῖν ἐπαινούτας. Τοὺς γὰρ ἐξαπατηθέντας ἅμα μισεῖν ἀλλήλους τε καὶ τὴν προμνησαμένην.[3] Ἃ δὴ καὶ ἐγὼ πεισθεὶς ὀρθῶς ἔχειν, ἡγοῦμαι οὐκ ἐξεῖναί μοι περὶ σοῦ λέγειν ἐπαινοῦντι οὐδὲν, ὅ,τι ἂν μὴ ἀληθεύω.

§ 37. Σὺ μὲν ἄρα, ἔφη ὁ Κριτόβουλος, τοιοῦτός μοι φίλος εἶ, ὦ Σώκρατες, οἷος, ἂν μέν τι αὐτὸς ἔχω ἐπιτήδειον εἰς τὸ φίλους κτήσασθαι, συλλαμβάνειν μοι· εἰ δὲ μή, οὐκ ἂν ἐθέλοις πλάσας τι εἰπεῖν ἐπὶ τῇ ἐμῇ ὠφελείᾳ. Πότερα δ' ἄν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, δοκῶ σοι μᾶλλον ὠφελεῖν ἄν σε, τὰ ψευδῆ ἐπαινῶν, ἢ πείθων πειρᾶσθαί σε ἀγαθὸν ἄνδρα γενέσθαι;

§ 38. Εἰ δὲ μὴ φανερὸν οὕτω σοι, ἐκ τῶνδε σκέψαι· εἰ γάρ σε, βουλόμενος φίλον ποιῆσαι ναυκλήρῳ, ψευδόμενος ἐπαινοίην, φάσκων ἀγαθὸν εἶναι κυβερνήτην, ὁ δέ μοι πεισθεὶς ἐπιτρέψειέ σοι τὴν ναῦν μὴ ἐπισταμένῳ κυβερνᾶν, ἔχεις τινὰ ἐλπίδα, μὴ ἂν σαυτόν τε καὶ τὴν ναῦν ἀπολέσαι; ἢ εἴ σοι πείσαιμι κοινῇ τὴν πόλιν, ψευδόμενος, ὡς ὄντι στρατηγικῷ[2] τε καὶ δικαστικῷ καὶ πολιτικῷ ἑαυτὴν ἐπιτρέψαι, τί ἂν οἴει σαυτὸν καὶ τὴν πόλιν ὑπὸ σοῦ παθεῖν; ἢ εἴ τινας ἰδίᾳ τῶν πολιτῶν πείσαιμι, ψευδόμενος, ὡς ὄντι οἰκονομικῷ τε καὶ ἐπιμελεῖ τὰ ἑαυτῶν ἐπιτρέψαι, ἆρ' οὐκ ἂν, πεῖραν διδούς, ἅμα τε βλαβερὸς εἴης, καὶ καταγέλαστος φαίνοιο;

§ 39. Ἀλλὰ συντομωτάτη τε καὶ ἀσφαλεστάτη καὶ καλλίστη ὁδὸς, ὦ Κριτόβουλε, ὅ,τι ἂν βούλῃ δοκεῖν ἀγαθὸς εἶναι τοῦτο καὶ γενέσθαι ἀγαθὸν πειρᾶσθαι. Ὅσαι δ' ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας μαθήσει τε καὶ μελέτῃ αὐξανομένας. Ἐγὼ μὲν οὖν, ὦ Κριτόβουλε, οὕτως οἶμαι δεῖν ἅπερ ἡμᾶς

θήσειν δέ, appliquer. — § 36. 2. προμνηστρίας.] Ἐξ ΕΔ προειλόμην τὸν Ἀττικὸν τύπον, Προμνήστριδας. Ἔστι δὲ Προμνήστρια ἡ ἐν τῇ συνηθείᾳ Προξενήτρια. — 3. μισεῖν . . . τὴν προμνησαμένην,] καὶ πικρῶς μὲν οὖν αὐτῇ καταρᾶσθαι, ὥσπερ ὁ παρὰ τῷ Κωμικῷ (Νεφ. 41) Στρεψιάδης·

Εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
Ἥτις με γῆμαι 'πῆρε τὴν σὴν μητέρα!

— § 38. 2. ὡς ὄντι στρατηγικῷ κ. τ. λ.] Ἐξ ΕΔ. ἔγραψεν ὁ Σ. οὕτως, ΑΤ, ὡς ἂν στρατηγικῷ.

εἰ δὲ σύ πως ἄλλως γιγνώσκεις, δίδασκε. Καὶ ὁ Κριτόβουλος, Ἀλλ αἰσχυνοίμην ἄν, ἔφη, ὦ Σώκρατες, ἀντιλέγων τούτοις· οὔτε γὰρ καλὰ οὔτε ἀληθῆ λέγοιμ ἄν.

ΚΕΦΑΛΑΙΟΝ VII.

§ 1. Καὶ μὴν τάς ἀπορίας γε τῶν φίλων τὰς μὲν δι ἄγνοιαν ἐπειρᾶτο γνώμῃ ἀκεῖσθαι, τὰς δὲ δι ἔνδειαν, διδάσκων κατὰ δύναμιν ἀλλήλοις ἐπαρκεῖν. Ἐρῶ δὲ καὶ ἐν τούτοις ἃ σύνοιδα αὐτῷ. Ἀρίσαρχον γάρ ποτε ὁρῶν σκυθρωπῶς ἔχοντα, Ἔοικας, ἔφη, ὦ Ἀρίσταρχε, βαρέως φέρειν τι. Χρὴ δὲ τοῦ βάρους μεταδιδόναι τοῖς φίλοις·[2] ἴσως γὰρ ἄν τί σε καὶ ἡμεῖς κουφίσαιμεν.

§ 2. Καὶ ὁ Ἀρίσταρχος, Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, ἐν πολλῇ γε εἰμὶ ἀπορίᾳ. Ἐπεὶ γὰρ ἐστασίασεν ἡ πόλις[2] πολλῶν φυγόντων ὡς τὸν Πειραιᾶ, συνεληλύθασιν ὡς ἐμὲ καταλελειμμέναι ἀδελφαί τε καὶ ἀδελφιδαῖ καὶ ἀνεψιαὶ τοσαῦται, ὥστ εἶναι ἐν τῇ οἰκίᾳ τεσσαρασκαίδεκα τοὺς ἐλευθέρους. Λαμβάνομεν δὲ οὔτε ἐκ τῆς γῆς οὐδέν· οἱ γὰρ ἐναντίοι κρατοῦσιν αὐτῆς· οὔτε ἀπὸ τῶν οἰκιῶν· ὀλιγανθρωπία[3] γὰρ ἐν τῷ ἄστει γέγονε. Τὰ ἔπιπλα δὲ οὐδεὶς ὠνεῖται, οὐδὲ δανείσασθαι οὐδαμόθεν ἐστὶν ἀργύριον, ἀλλὰ πρότερον ἄν τίς μοι δοκεῖ ἐν τῇ ὁδῷ ζητῶν εὑρεῖν, ἢ δανειζόμενος λαβεῖν. Χαλεπὸν μὲν οὖν ἐστιν, ὦ Σώκρατες, τοὺς οἰκείους περιορᾶν ἀπολλυμένους, ἀδύνατον δὲ τοσούτους τρέφειν ἐν τοιούτοις πράγμασιν.

§ 3. Ἀκούσας οὖν ταῦτα ὁ Σωκράτης, Τί ποτέ ἐστιν, ἔφη, ὅτι ὁ Κεράμων μὲν πολλοὺς τρέφων, οὐ μόνον ἑαυτῷ τε καὶ τούτοις τὰ ἐπιτήδεια δύναται παρέχειν, ἀλλὰ καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ πλουτεῖν· σὺ δὲ πολλοὺς τρέφων δέδοικας, μὴ δι ἔνδειαν τῶν ἐπιτηδείων ἅπαντες ἀπόλησθε; Ὅτι νὴ Δί, ἔφη, ὁ μὲν δούλους τρέφει, ἐγὼ δὲ ἐλευθέρους.

§ 4. Καὶ πότερον, ἔφη, τοὺς παρὰ σοὶ ἐλευθέρους οἴει βελτίους εἶναι ἢ τοὺς παρὰ Κεράμωνι δούλους; Ἐγὼ μὲν οἶμαι, ἔφη, τοὺς παρὰ ἐμοὶ ἐλευθέρους. Οὐκοῦν, ἔφη, αἰσχρὸν τὸν μὲν ἀπὸ τῶν πονηροτέρων εὐπορεῖν, σὲ δὲ πολλῷ βελτίους ἔχοντα ἐν ἀπορίαις εἶναι; Νὴ Δί, ἔφη· ὁ μὲν γὰρ τεχνίτας τρέφει, ἐγὼ δὲ ἐλευθερίως πεπαιδευμένους.

---

§ 1. 2 Χρὴ δὲ τοῦ βάρους μεταδιδόναι τοῖς φίλοις] Τοῦθ' ὃ παραγγέλλει καὶ ὁ Ἀπόστολος (Πρὸς Γαλάτ. ς', 2) λέγων· »Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ »οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.» — § 2. 2. ἐστασίασεν ἡ πόλις] Ἐπὶ τῶν τριάκοντα τυραννίδος, ἣν ἱστόρησεν ὁ Ξενοφῶν ἐν Ἑλληνικῶν δευτέρῳ — 3 ὀλιγανθρωπία] Τοὺς μὲν γὰρ τῶν πολιτῶν, οὐκ ὀλίγους, ἀπέκτειναν οἱ τριάκοντα οἱ δὲ εἰς τὸν Πειραιᾶ συνῆλθον, ὡς ἀντιτάξόμενοι τοῖς τυράννοις, ἕτεροι εἰς Μέγαρα, Θήβας καὶ ἀλλαχόσε ἔφυγον. —

§ 5. Ἀρ' οὖν, ἔφη, τεχνῖταί εἰσιν οἱ χρήσιμόν τι ποιεῖν ἐπιστάμενοι; Μάλιστά γ', ἔφη. Οὐκοῦν χρήσιμά γ' ἄλφιτα; Σφόδρα γε. Τί δ' ἄρτοι; Οὐδὲν ἧττον. Τί γάρ; ἔφη, ἱμάτιά τε ἀνδρεῖα καὶ γυναικεῖα, καὶ χιτωνίσκοι[2] καὶ χλαμύδες καὶ ἐξωμίδες; Σφόδρα γ', ἔφη, καὶ πάντα ταῦτα χρήσιμα. Ἔπειτα, ἔφη, οἱ παρὰ σοὶ τούτων οὐδὲν ἐπίστανται ποιεῖν; Πάντα μὲν οὖν, [ἔφη], ὡς ἐγῷμαι.

§ 6. Εἶτ' οὐκ οἶσθα, ὅτι ἀφ' ἑνὸς μὲν τούτων, ἀλφιτοποιΐας, Ναυσικύδης οὐ μόνον ἑαυτόν τε καὶ τοὺς οἰκέτας τρέφει, ἀλλὰ πρὸς τούτοις καὶ ὗς πολλὰς καὶ βοῦς, καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ τῇ πόλει πολλάκις λειτουργεῖν· ἀπὸ δὲ ἀρτοποιΐας Κύρηβος[2] τήν τε οἰκίαν πᾶσαν διατρέφει, καὶ ζῇ δαψιλῶς; Δημέας δὲ ὁ Κολυττεὺς ἀπὸ χλαμυδουργίας. Μένων δ' ἀπὸ χλανιδοποιΐας. Μεγαρέων δὲ οἱ πλεῖστοι, ἔφη, ἀπὸ ἐξωμιδοποιΐας διατρέφονται; Νὴ Δί', ἔφη· οὗτοι γὰρ ὠνούμενοι βαρβάρους ἀνθρώπους ἔχουσιν, ὥστε ἀναγκάζειν ἐργάζεσθαι, ἃ καλῶς ἔχει·[3] ἐγὼ δ' ἐλευθέρους τε καὶ συγγενεῖς.

§ 7. Ἔπειτ', ἔφη, ὅτι εὐλεύθεροί τ' εἰσὶ καὶ συγγενεῖς σοι, οἴει χρῆναι αὐτοὺς μηδὲν ἄλλο ποιεῖν, ἢ ἐσθίειν καὶ καθεύδειν; πότερον καὶ τῶν ἄλλων ἐλευθέρων τοὺς οὕτω ζῶντας ἄμεινον διάγοντας ὁρᾷς, καὶ μᾶλλον εὐδαιμονίζεις ἢ τοὺς ἃ ἐπίστανται χρήσιμα πρὸς τὸν βίον, τούτων ἐπιμελουμένους; ἢ τὴν μὲν ἀργίαν καὶ τὴν ἀμέλειαν αἰσθάνῃ τοῖς ἀνθρώποις πρός τε τὸ μαθεῖν, ἃ προσήκει ἐπίστασθαι, καὶ πρὸς τὸ μνημονεύειν, ἃ ἂν μάθωσι, καὶ πρὸς τὸ ὑγιαίνειν τε καὶ ἰσχύειν τοῖς σώμασι, καὶ πρὸς τὸ κτήσασθαί τε καὶ σώζειν τὰ χρήσιμα πρὸς τὸν βίον ὠφέλιμα ὄντα, τὴν δὲ ἐργασίαν καὶ τὴν ἐπιμέλειαν οὐδὲν χρήσιμα;

§ 8. Ἔμαθον δέ, ἃ φῂς αὐτὰς ἐπίστασθαι, πότερον ὡς οὔτε

---

§ 5. 2. χιτωνίσκοι.] χλανίδες παρήνεγκε τις τῶν κριτικῶν γράφειν, διὰ τὸ ἐν τοῖς ἑξῆς Χλανιδοποιΐας μεμνῆσθαι, οὐ καὶ χιτωνουργίας. Πάντα μὲν οὖν, ἔφη] Προσέθηκα τὸ ῥῆμα, ὃ καὶ ὁ Β. ἐξέγραψε —

§ 6. 2. Κύρηβος] ΗΔ, ΑΤ, Κιρίβης. ΔΓ Κύριβος. Κυρικός. Τῶν κριτικῶν τις ὑπενόει γραπτέον εἶναι Κόριβος, ἢ Κυριβίων. Παράσιτου τινὸς ἐπώνυμόν ἐστι παρὰ Δημοσθένει (Περὶ παραπρεσβ. σελ. 433) ὁ Κυριβίων μετ' ὀμείνονος ΔΓ Κυρηβίων, καθὰ γράφεται παρὰ τῷ Σουΐδᾳ καὶ παρὰ τῷ Ἀθηναίῳ (σελ. 242, 244). Ἐπωνομάζετο δὲ τοῦτο ἐπὶ χλεύῃ ἀπὸ τῶν κυρηβίων. Λέγεται γὰρ οὐδετέρως, «Κυρήβια, πίτυρα καὶ τὰ τῶν κριθῶν ΑΠΟΒΡΕΓΜΑΤΑ καὶ ἄχυρα ἢ τῶν πυρῶν κτλ.» ὡς φησὶ Σουΐδας. Κατὰ δὲ τὸν Ἡσύχιον, «Κυρήβια, τῶν κριθῶν τὰ ΑΠΟΒΡΕΓΜΑΤΑ. καὶ κυάμων λέπυρα, καὶ τὰ τῶν κέγχρων ἄλφιτα.» Τὰ αὐτὰ σχεδὸν λέγει καὶ ὁ Φώτιος· παρ' οἷς ἅπασι γραπτέον ΑΠΟΒΡΕΓΜΑΤΑ, ἢ ὡς φέρεται παρὰ τῷ Γαληνῷ ΑΠΟΒΡΑΣΜΑΤΑ· λέγει γάρ οὗτος, ἐν τῇ τῶν Ἱπποκράτους γλωττῶν ἐξηγήσει· «Κυρήβια, ἄχυρα· δηλοῖ δὲ καὶ τὰ πίτυρα, καὶ τὰ τῶν κριθῶν ἀποβρίσματα.» Ἔστι δὲ ἡ λέξις παρὰ τὸ βράττω τὸ σημαῖνον τὸ παρὰ τοῖς Γάλλοις vanner. Ὁ δὲ οὖν ἐν τῷ προκειμένῳ χωρίῳ Κυρήβου, ὁ ὀρτοποιός, εἰ ἐκ κύριον εἶχεν ὄνομα, εἰτ' ἀπὸ τῆς τέχνης ἐπωνόμασται τοῦτο, πρωτότυπόν ἐστι τοῦ Κυριβίων — 3. ἐργάζεσθαι ἃ καλῶς ἔχει.] κατασκευάζειν ἃ χρή, quæcunque oporteat, ὡς ὁ Β. ἡρμήνευσε. —

χρήσιμα ὄντα πρὸς τὸν βίον, οὔτε ποιήσουσαι αὐτῶν οὐδέν, ἢ τοὐναντίον· ὡς καὶ ἐπιμεληθησόμεναι τούτων, καὶ ὠφεληθησόμεναι ἀπ' αὐτῶν; ποτέρως γὰρ ἂν μᾶλλον ἄνθρωποι σωφρονοῖεν, ἀργοῦντες, ἢ τῶν χρησίμων ἐπιμελούμενοι; ποτέρως δ' ἂν δικαιότεροι εἶεν, εἰ ἐργάζοιντο, ἢ εἰ ἀργοῦντες βουλεύοιντο περὶ τῶν ἐπιτηδείων;

§ 9. Ἀλλὰ καὶ νῦν μέν,[2] ὡς ἐγὼ οἶμαι, οὔτε σὺ ἐκείνας φιλεῖς, οὔτε ἐκεῖναι σέ· σὺ μέν, ἡγούμενος αὐτὰς ἐπιζημίους εἶναι σεαυτῷ, ἐκεῖναι δέ, ὁρῶσαι σὲ ἀχθόμενον ἐφ' ἑαυταῖς. Ἐκ δὲ τούτων κίνδυνος, μείζω τε ἀπέχθειαν γίγνεσθαι, καὶ τὴν προγεγονυῖαν χάριν μειοῦσθαι. Ἐὰν δὲ προστατήσῃς ὅπως ἐνεργοὶ ὦσι, σὺ μὲν ἐκείνας φιλήσεις, ὁρῶν ὠφελίμους σεαυτῷ οὔσας· ἐκεῖναι δὲ σὲ ἀγαπήσουσιν, αἰσθόμεναι χαίροντάς σε αὐταῖς· τῶν δὲ προγεγονυιῶν εὐεργεσιῶν ἥδιον μεμνημένοι, τὴν ἀπ' ἐκείνων χάριν αὐξήσετε, καὶ ἐκ τούτων φιλικώτερόν τε καὶ οἰκειότερον ἀλλήλοις ἕξετε.

§ 10. Εἰ μὲν τοίνυν αἰσχρόν τι ἔμελλον ἐργάσασθαι,[2] θάνατον ἀντ' αὐτοῦ προαιρετέον ἦν· νῦν δὲ, ἃ μὲν δοκεῖ κάλλιστα καὶ πρεπωδέστερα[3] γυναικὶ εἶναι, ἐπίστανται, ὡς ἔοικε. Πάντες δὲ ἃ ἐπίστανται, ῥᾷστά τε καὶ τάχιστα καὶ κάλλιστα καὶ ἥδιστα ἐργάζονται. Μὴ οὖν ὄκνει, ἔφη, ταῦτα εἰσηγεῖσθαι αὐταῖς, ἃ σοί τε λυσιτελεῖ κἀκείναις· καὶ, ὡς εἰκὸς, ἡδέως ὑπακούσονται.

§ 11. Ἀλλά, νὴ τοὺς θεούς, ἔφη ὁ Ἀρίσταρχος, οὕτω μοι δοκεῖς καλῶς λέγειν, ὦ Σώκρατες, ὥστε πρόσθεν μὲν οὐ προσιέμην δανείσασθαι, εἰδὼς ὅτι, ἀναλώσας ὅ,τι ἂν λάβω, οὐχ ἕξω ἀποδοῦναι· νῦν δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομένειν[2] αὐτὸ ποιῆσαι.

§ 12. Ἐκ τούτων δὲ ἐπορίσθη μὲν ἀφορμὴ, ἐωνήθη δὲ ἔριον· καὶ ἐργαζόμεναι μὲν ἡρίστων, ἐργασάμεναι δὲ ἐδείπνουν, ἱλαραὶ δὲ ἀντὶ σκυθρωπῶν ἦσαν, καὶ ἀντὶ ὑφορωμένων ἑαυτὰς ἡδέως ἀλλήλας ἑώρων. Καὶ αἱ μὲν ὡς κηδεμόνα ἐφίλουν, ὁ δὲ ὡς ὠφελίμους ἠγάπα. Τέλος δὲ ἐλθὼν πρὸς τὸν Σωκράτην, χαίρων διηγεῖτο ταῦτά τε, καὶ ὅτι αἰτιῶνται αὐτὸν μόνον τῶν ἐν τῇ οἰκίᾳ ἀργὸν ἐσθίειν.

§ 13. Καὶ ὁ Σωκράτης ἔφη· Εἶτα οὐ λέγεις αὐταῖς τὸν τοῦ κυνὸς λόγον;[2] φασὶ γάρ, ὅτε φωνήεντα ἦν τὰ ζῶα, τὴν ὄϊν πρὸς τὸν δεσπότην εἰπεῖν· Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως, ὅ,τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν·

---

§ 9. 2. Ἀλλὰ καὶ νῦν μέν.] Ἀφορίσαι τοῦ κειμένου δεῖν ἔγνω ὁ Σ. τὸν δεύτερον σύνδεσμον. Ἴσως γραπτέον, Ἀλλά γε νῦν μέν. — § 10. 2. ἔμελλον ἐργάσασθαι.] Ἴσως γραπτέον . . . . ἐργασεσθαι, καίπερ καὶ ἀορίστῳ ἔσθ' ὅτε συντάσσεσθαι τὸ Μέλλω ῥῆμα, φασκόντων τῶν νεωτέρων γραμματικῶν. — 3. πρεπωδέστερα] Γραπτέον εἶναι πρεπωδέστατα, παρήνει τις οὐκ ἀπιθάνως. — § 11. 2 ὑπομένειν.] Ἄμεινον ἴσως, κατὰ μέλλοντα, ὑπομενεῖν, ὡς τινες παρήνουν. — § 13. 2. τὸν τοῦ κυνὸς λόγον.] Ἐπὶ τοῦ μύθου ὧδε ἐξεδέξαντο τὸ λόγον, τινὲς τῶν πρὸ ἡμῶν, ἑτέρων ἐπὶ τοῦ, » ἃ ἔλεγεν ὁ κύων» ἐκδεξαμένων.

τῷ δὲ κυνί, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου.

§ 14. Τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν· Ναὶ μὰ Δία· ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι· ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. Οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι, τὸν κύνα προτιμᾶσθαι. Καὶ σὺ οὖν ἐκείναις λέγε, ὅτι ἀντὶ κυνὸς εἶ φύλαξ καὶ ἐπιμελητής, καὶ διὰ σὲ οὐδ' ὑφ' ἑνὸς ἀδικούμεναι ἀσφαλῶς τε καὶ ἡδέως ἐργαζόμεναι ζῶσιν.

ΚΕΦΑΛΑΙΟΝ VIII.

§ 1. Ἄλλον δέ ποτε ἀρχαῖον ἑταῖρον διὰ χρόνου ἰδὼν, Πόθεν, ἔφη, Εὔθηρε, φαίνῃ; Ὑπὸ μὲν τὴν κατάλυσιν τοῦ πολέμου, ἔφη, ὦ Σώκρατες, ἐκ τῆς ἀποδημίας, νυνὶ μέντοι αὐτόθεν.[2] Ἐπειδὴ γὰρ ἀφῃρέθην μὲν[3] τὰ ἐν τῇ ὑπερορίᾳ κτήματα, ἐν δὲ τῇ Ἀττικῇ ὁ πατήρ μοι οὐδὲν κατέλιπεν, ἀναγκάζομαι νῦν ἐπιδημήσας τῷ σώματι ἐργαζόμενος τὰ ἐπιτήδεια πορίζεσθαι. Δοκεῖ δέ μοι τοῦτο κρεῖττον εἶναι, ἢ δεῖσθαί τινος ἀνθρώπων, ἄλλως τε καὶ μηδὲν ἔχοντα, ἐφ' ὅτῳ ἂν δανειζοίμην.

§ 2. Καὶ πόσον χρόνον οἴει σοι, ἔφη, τὸ σῶμα ἱκανὸν εἶναι μισθοῦ τὰ ἐπιτήδεια ἐργάζεσθαι;[2] Μὰ τὸν Δί',[3] ἔφη, οὐ πολὺν χρόνον. Καὶ μήν, ἔφη, ὅταν γε πρεσβύτερος γένῃ, δῆλον ὅτι δαπάνης μὲν δεήσῃ, μισθὸν δὲ οὐδείς σοι θελήσει τῶν τοῦ σώματος ἔργων διδόναι. Ἀληθῆ λέγεις, ἔφη.

§ 3. Οὐκοῦν, ἔφη, κρεῖττόν ἐστιν αὐτόθεν[2] τοῖς τοιούτοις τῶν ἔργων ἐπιτίθεσθαι, ἃ καὶ πρεσβυτέρῳ γενομένῳ ἐπαρκέσει, καὶ προσελθόντατῳ τῶν πλείονα χρήματα κεκτημένων, δεομένῳ τοῦ συνεπιμελησομένου,[3] ἔργων τε ἐπιστατοῦντα καὶ συγκομίζοντα καρποὺς καὶ συμφυλάττοντα τὴν οὐσίαν, ὠφελοῦντα ἀντωφελεῖσθαι.

§ 4. Χαλεπῶς ἄν, ἔφη, ἐγώ, ὦ Σώκρατες, δουλείαν ὑπομείναιμι. Καὶ μὴν οἵ γε ἐν ταῖς πόλεσι προστατεύοντες καὶ τῶν δημοσίων ἐπιμελούμενοι οὐ δουλοπρεπέστεροι ἕνεκα τούτου, ἀλλ' ἐλευθεριώτεροι νομίζονται.

§ 5. Ὅλως μήν, ἔφη, ὦ Σώκρατες, τὸ ὑπαίτιον εἶναί τινι οὐ πά-

---

§ 1. 2. αὐτόθεν] ἐκ τῆς πόλεως τῶν Ἀθηνῶν δηλονότι. — 3. ἀφῃρέθην μέν.] Ἐξ ΕΔ (συναδούσης τῷ Β), ΑΓ, ἀφῃρέθημεν. — § 2. 2. μισθοῦ τὰ ἐπιτήδεια ἐργάζεσθαι.] Ἀφώρισεν ὁ Σ καὶ ἕτεροι τὰς ἐν μέσῳ δύο λέξεις (τὰ ἐπιτήδεια) τοῦ κειμένου· σώζονται μέντοι καὶ παρὰ τῷ Β. — 3§. 2. αὐτόθεν.] Ἐνταῦθα δὲ χρονικὸν ἐπίρρημα τὸ Αὐτόθεν, τουτέστιν, ἀπὸ τοῦ νῦν, ἀπὸ τῆς σήμερον ἡμέρας. — 3. προσελθόντα τῳ τῶν . . . κεκτημένων, δεομένῳ τοῦ συνεπιμελησομένου.] Ἐξ ΕΔ, ΑΓ, «προσελθόντα τῶν . . . κεκτημένων τῳ δεομένῳ τοῦ συνεπιμελησομένου» καθὰ γέγραπται ἐν τῇ τοῦ Σ. ἐκδόσει. —

νυ προσίεμαι. Καὶ μήν, ἔφη, Εὔθηρε, οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ' ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι. Χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι, ὥστε μηδὲν ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι ποιήσαντας μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν. Ἐπεὶ καὶ οἷς νῦν ἐργάζεσθαι φῄς, θαυμάζω εἰ ῥᾴδιόν ἐστιν ἀνέγκλητον διαγίνεσθαι.

§ 6. Χρὴ οὖν πειρᾶσθαι τούς τε φιλαιτίους φεύγειν, καὶ τοὺς εὐγνώμονας[2] διώκειν· καὶ τῶν πραγμάτων ὅσα μὲν δύνασαι ποιεῖν, ὑπομένειν, ὅσα δὲ μὴ δύνασαι, φυλάττεσθαι· ὅ, τι δ' ἂν πράττῃς, τούτων ὡς κάλλιστα καὶ προθυμότατα ἐπιμελεῖσθαι. Οὕτω γὰρ ἂν ἥκιστα μέν σε οἶμαι ἐν αἰτίᾳ εἶναι, μάλιστα δὲ τῇ ἀπορίᾳ βοήθειαν εὑρεῖν, ῥᾷστα δὲ καὶ ἀκινδυνότατα ζῆν καὶ εἰς τὸ γῆρας διαρκέστατα.

ΚΕΦΑΛΑΙΟΝ IX.

§ 1. Οἶδα δέ ποτε αὐτὸν καὶ Κρίτωνος ἀκούσαντα, ὡς χαλεπὸν ὁ βίος Ἀθήνησιν εἴη ἀνδρὶ βουλομένῳ τὰ ἑαυτοῦ πράττειν. Νῦν γάρ, ἔφη, ἐμέ τινες εἰς δίκας ἄγουσιν, οὐχ ὅτι ἀδικοῦνται ὑπ' ἐμοῦ, ἀλλ' ὅτι νομίζουσιν, ἥδιον ἄν με ἀργύριον τελέσαι, ἢ πράγματα ἔχειν.

§ 2. Καὶ ὁ Σωκράτης, Εἰπέ μοι, ἔφη, ὦ Κρίτων, κύνας δὲ τρέφεις, ἵνα σοι τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκωσιν; Καὶ μάλα, ἔφη· μᾶλλον γάρ μοι λυσιτελεῖ τρέφειν, ἢ μή. Οὐκ ἂν οὖν θρέψαις καὶ ἄνδρα, ὅστις ἐθέλοι τε καὶ δύναιτο σοῦ ἀπερύκειν τοὺς ἐπιχειροῦντας ἀδικεῖν σε; Ἥδέως γ' ἄν, ἔφη, εἰ μὴ φοβοίμην, ὅπως μὴ ἐπ' αὐτὸν με[2] τραποίτο.

§ 3. Τί δ'; ἔφη, οὐχ ὁρᾷς, ὅτι πολλῷ ἥδιόν ἐστι, χαριζόμενον οἵῳ σοι ἀνδρὶ ἢ ἀπεχθόμενον ὠφελεῖσθαι; εὖ ἴσθ', ὅτι εἰσὶν ἐνθάδε τῶν τοιούτων ἀνδρῶν, οἳ πάνυ ἂν φιλοτιμηθεῖεν φίλῳ σοι χρῆσθαι.

§ 4. Καὶ ἐκ τούτων ἀνευρίσκουσιν Ἀρχέδημον,[2] πάνυ μὲν ἱκανὸν εἰπεῖν τε καὶ πρᾶξαι, πένητα δέ. Οὐ γὰρ ἦν οἷος ἀπὸ παντὸς κερδαίνειν, ἀλλά, φιλόχρηστός τε καὶ εὐφυέστερος ὢν ἔφη ῥᾷστον εἶναι ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν.[3] Τούτῳ οὖν ὁ Κρίτων, ὁπότε συγκομίζοι ἢ σῖτον ἢ ἔλαιον ἢ οἶνον ἢ ἔρια ἢ ἄλλο τι τῶν ἐν ἀγρῷ γιγνομένων χρησίμων πρὸς τὸν βίον, ἀφε-

---

§ 6. 2. εὐγνώμονας] ΔΓ, συγγνώμονας.

§ 2. 2. ἐπ' αὐτόν με) Ἄμεινον ἂν γράφοιτο, ἐπ' αὐτὸν ἐμέ. —

§ 4. 2. Ἀρχέδημον.] Τὸν αὐτὸν οἴεται ὁ Σ. εἶναι καὶ τὸν παρὰ τῷ Ἀριστοφάνει (Βατρ. 419, καὶ 588) κωμῳδούμενον Ἀρχέδημον. — 3. φιλόχρηστός τε καὶ εὐφυέστερος ὢν, ἔφη ῥᾷστον εἶναι ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν] Ἐκ ΔΓ διεσκεύασται τὴν γραφήν (ἣν ἀπεδέξατο καὶ ὁ Λ.) ΑΤ τῆς παρὰ τῷ Σ. «φιλόχρηστός τε καὶ εὐφυέστερος ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν,» ἢ τῆς παρ' ἑτέροις, «φιλόχρηστός τε, καὶ εὐφυέστερος, ἢ ὡς ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν,» ἢ τῆς ἐν τῇ δευτέρᾳ ἐκδόσει τοῦ Στεφάνου φερομένης, «φιλόχρηστός τε, καὶ ἔφη ῥᾷστον εἶναι ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν.» Ὁ

λῶν ἔδωκε·[4] καὶ ὁπότε θύοι, ἐκάλει,[5] καὶ τὰ τοιαῦτα πάντα ἐπεμελεῖτο.

§ 5. Νομίσας δὲ ὁ Ἀρχέδημος ἀποστροφήν[2] οἱ τὸν Κρίτωνος οἶκον, μάλα περιεῖπεν αὐτόν. Καὶ εὐθὺς τῶν συκοφαντούντων τὸν Κρίτωνα ἀνευρήκει πολλὰ μὲν ἀδικήματα πολλοὺς δ' ἐχθρούς, καὶ αὐτῶν τινὰ προεκαλεῖτο[3] εἰς δίκην δημοσίαν, ἐν ᾗ αὐτὸν ἔδει κριθῆναι, ὅ τι δεῖ παθεῖν ἢ ἀποτίσαι.

§ 6. Ὁ δὲ, συνειδὼς αὐτῷ πολλὰ καὶ πονηρὰ[2], πάντ' ἐποίει, ὥστε ἀπαλλαγῆναι τοῦ Ἀρχεδήμου. Ὁ δὲ Ἀρχέδημος οὐκ ἀπηλλάττετο,[3] ἕως τόν τε Κρίτωνα ἀφῆκε,[4] καὶ αὐτῷ[5] χρήματα ἔδωκεν.

§ 7. Ἐπεὶ δὲ τοῦτό τε καὶ ἄλλα τοιαῦτα ὁ Ἀρχέδημος διεπράξατο ἤδη, τότε, ὥσπερ, ὅταν νομεὺς ἀγαθὸν κύνα ἔχῃ, καὶ οἱ ἄλλοι νομεῖς βούλονται πλησίον αὐτοῦ τὰς ἀγέλας ἱστάναι, ἵνα τοῦ κυνὸς ἀπολαύωσιν, οὕτω καὶ τοῦ Κρίτωνος πολλοὶ τῶν φίλων ἐδέοντο καὶ σφίσι παρέχειν φίλακα τὸν Ἀρχέδημον.

§ 8. Ὁ δὲ Ἀρχέδημος τῷ Κρίτωνι ἡδέως ἐχαρίζετο, καὶ οὐχ ὅτι μόνος[2] ὁ Κρίτων ἐν ἡσυχίᾳ ἦν, ἀλλὰ καὶ οἱ φίλοι αὐτοῦ. Εἰ δέ τις αὐτῷ τούτων, οἷς ἀπήχθετο, ὀνειδίζοι, ὡς ὑπὸ Κρίτωνος ὠφελούμενος κολακεύοι αὐτόν· Πότερον οὖν, ἔφη ὁ Ἀρχέδημος, αἰσχρόν ἐστιν εὐεργετούμενον ὑπὸ χρηστῶν ἀνθρώπων καὶ ἀντευεργετοῦντα, τοὺς μὲν τοιούτους φίλους ποιεῖσθαι, τοῖς δὲ πονηροῖς διαφέρεσθαι· ἢ τοὺς μὲν καλοὺς κἀγαθοὺς ἀδικεῖν πειρώμενον ἐχθροὺς ποιεῖσθαι, τοῖς δὲ πονηροῖς συνεργοῦντα πειρᾶσθαι φίλους ποιεῖσθαι, καὶ χρῆσθαι τούτοις ἀντ' ἐκείνων; Ἐκ δὲ τούτου εἷς τε τῶν Κρίτωνος φίλων Ἀρχέδημος ἦν, καὶ ὑπὸ τῶν ἄλλων Κρίτωνος φίλων ἐτιμᾶτο.

δὲ B. ἡρμήνευτε, bonis hominibus afjectus, fustius esse dicebat a calumniatoribus potius accipere, ὥσπερ ἂν εἰ ἐγέγραπτο, «φιλόχρηστος ὢν, ἔφη δικαιότερον εἶναι ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν.» — 4. ἀφελὼν ἔδωκε] Ἡμαρτημένον ἔοικεν εἶναι τὸ «ἔδωκε». ἐοίκου γὰρ ὤφειλε γεγράφθαι, παρατατικῶς, κατὰ τὰ ἑπόμενα, «ἐκάλει, ἐπεμελεῖτο,» ἢ γοῦν συνῆφθαι τῷ ὁυνητικῷ, «ἀφελὼν ἂν ἔδωκε,» ἵν' εἶχεν ἰσοδυναμεῖν τῷ παρατατικῷ. — 5. ἐκάλει] εἰς δεῖπνον. — § 5. 2. ἀποστροφὴν,] ἣν ἂν διὰ τοῦ ressource ἑρμηνεύσειεν ἀνὴρ Γάλλος. «Ἀποστροφὴν, ἀντὶ τοῦ καταφυγὴν» φησὶν Ἁρποκρατίων, μάρτυρα τὸν Δημοσθένην ἐπαγόμενος. Τὸ δὲ παρ' Ἱππυχίῳ «Ἀποστροφή, ΠΡΟΔΟΣΙΑ» διορθωτέον, γράφοντας ΠΡΟΣΔΟΚΙΑ. — 3. προεκαλεῖτο] Ἐκ ΔΓ ὁ Σ. Αἱ ἀρχαῖαι ἐκδόσεις, «προεκαλέσατο», ὃθεν τὸ «προσεκαλέσατο» τινὲς μετεποίησαν, ὀρθῶς τῇ προθέσει, οὐ γε μὴν τῷ χρόνῳ. γράφε οὖν, «προτεκαλεῖτο. — § 6. 2. πολλὰ καὶ πονηρά.] Ἔπιθι ἅπερ ἐν ἄλλοις (Ἰσοκράτ. τόμ. Β, σελ. 105) διὰ μακρῶν ἐσημειωτάμην περὶ τῆς φράσεως ταύτης — 3. οὐκ ἀπηλλάττετο] τοῦ συκοφάντου. — 4. ἕως τόν τε Κρίτωνα ἀφῆκε,] ὁ συκοφάντης — 5. καὶ αὐτῷ] τῷ Ἀρχεδήμῳ. — § 8. 2. οὐχ ὅτι μόνος.] Οἱ μὲν γράφειν παρῄνεσαν, «οὐ μόνος» πλεονάζειν ἡγησάμενοι τὸν ὅτι· οἱ δὲ μεταποιητέον εἶναι ἔκριναν «ἐς τὸ οὐκ ἔτι μόνος.» Οὐδέτερον τούτων τολμητέον.

ΚΕΦΑΛΑΙΟΝ Χ.

§ 1. Οἶδα δὲ καὶ Διοδώρῳ αὐτὸν ἑταίρῳ ὄντι τοιάδε διαλεχθέντα· Εἰπέ μοι, ἔφη, ὦ Διόδωρε, ἄν τίς σοι τῶν οἰκετῶν ἀποδρᾷ, ἐπιμελῇ ὅπως ἀνακομίσῃ;[2]

§ 2. Καὶ ἄλλους γε νὴ Δί', ἔφη, παρακαλῶ, σῶστρα τούτοις[2] ἀνακηρύσσων. Τί γάρ; ἔφη, ἐάν τίς σοι κάμνῃ τῶν οἰκετῶν, τούτου ἐπιμελῇ, καὶ παρακαλεῖς ἰατρούς, ὅπως μὴ ἀποθάνῃ; Σφόδρα γ', ἔφη. Εἰ δὲ τίς σοι τῶν γνωρίμων, ἔφη, πολὺ τῶν οἰκετῶν χρησιμώτερος ὢν, κινδυνεύει δι' ἔνδειαν ἀπολέσθαι, οὐκ οἴει σοι ἄξιον εἶναι ἐπιμεληθῆναι, ὅπως διασωθῇ;

§ 3. Καὶ μὴν οἶσθά γε, ὅτι οὐκ ἀγνώμων ἐστὶν Ἑρμογένης. αἰσχύνοιτο δ' ἄν, εἰ ὠφελούμενος ὑπὸ σοῦ μὴ ἀντωφελοίη σε. Καίτοι τὸ ὑπερέτην ἑκόντα τε καὶ εὔνουν καὶ παράμονον καὶ τὸ κελευόμενον ἱκανὸν ποιεῖν ἔχειν, καὶ μὴ μόνον τοῦτο, ἀλλὰ δυνάμενον καὶ ἀφ' ἑαυτοῦ[2] χρήσιμον εἶναι, καὶ προνοεῖν καὶ προβουλεύεσθαι, πολλῶν οἰκετῶν οἶμαι ἀντάξιον εἶναι.

§ 4. Οἱ μὲν δὴ[2] ἀγαθοὶ οἰκονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ ἐξῇ πρίασθαι, τότε φασὶ δεῖν ὠνεῖσθαι. Νῦν δὲ διὰ τὰ πράγματα[3] εὐωνοτάτους ἐστὶ φίλους ἀγαθοὺς κτήσασθαι.

§ 5. Καὶ ὁ Διόδωρος, ἀλλὰ καλῶς τε, ἔφη, λέγεις, ὦ Σώκρατες· καὶ κέλευσον[2] ἐλθεῖν ὡς ἐμὲ τὸν Ἑρμογένην. Μὰ Δί', ἔφη, οὐκ ἔγωγε. Νομίζω γὰρ οὔτε σοι κάλλιον εἶναι τὸ καλέσαι ἐκεῖνον τοῦ αὐτὸν ἐλθεῖν πρὸς ἐκεῖνον, οὔτε ἐκείνῳ μεῖζον ἀγαθὸν τὸ πραχθῆναι ταῦτα ἢ σοί.

§ 6. Οὕτω δὴ ὁ Διόδωρος ᾤχετο πρὸς τὸν Ἑρμογένην· καὶ οὐ πολὺ τελέσας ἐκτήσατο φίλον, ὃς ἔργον εἶχε σκοπεῖν, ὅ,τι ἂν ἢ λέγων ἢ πράττων ὠφελοίη τε καὶ εὐφραίνοι Διόδωρον.

---

§ 1. 2. ὅπως ἀνακομίσῃ;] ΔΓ, «ὅπως ἀνασώσῃ», γνησιωτέρα ἴσως διὰ τὸ ἐχόμενον, «σῶστρα.» — § 2. 2. σῶστρα τούτοις] Ἐξ ΕΔ, ΑΤ, σῶστρα τούτου. ΔΓ, σῶστρα τούτῳ. — § 3. 2. παράμονον καὶ τὸ κελευόμενον ἱκανὸν ποιεῖν ἔχειν, καὶ μὴ μόνον τοῦτο, ἀλλὰ δυνάμενον καὶ ἀφ' ἑαυτοῦ.] Ἐξ ΕΔ (συναδούσης τῷ B. constantem ministrum, sufficientemque facere quodcunque imperatum fuerit, et non modo illud, sed ex se etiam potentem), ΑΤ «παράμονον καὶ τὸ κελευόμενον ἱκανὸν ποιεῖν ἔχειν, καὶ μὴ μόνον τὸ κελευόμενον «ἱκανὸν ὄντα ποιεῖν, ἀλλὰ δυνάμενον καὶ ἀφ' ἑαυτοῦ.» Τὰ πρῶτα («καὶ τὸ κελευόμενον ἱκανὸν ποιεῖν») ἀφορίσαι δεῖν ἔγνωσαν ὅ τε Σ. καὶ ἕτεροι τοῦ κειμένου — § 4. 2. Οἱ μὲν δὴ] Ἐκ ΔΓ (συναδούσης τῷ B.) ΑΤ, Οἱ μέντοι. — 3. διὰ τὰ πράγματα,] διὰ τὰς παρούσας τῆς πόλεως δυστυχίας. — § 5. 2. ἀλλὰ καλῶς ΤΕ . . . καὶ κέλευσον] Παραινοῦντος τοῦ Σ. μετεποίησα εἰς τὸν συμπλεκτικὸν τὸν μειωτικὸν ΓΕ. Οὕτω καὶ ἐν τοῖς ἑξῆς (Γ, 3 § 4.) ἐρεῖ, «Ἀλλὰ καλῶς τε λέγεις, ἔφη, καὶ πειράσομαι»

ΒΙΒΛΙΟΝ Γ.

ΚΕΦΑΛΑΙΟΝ Ι.

§ 1. Ὅτι δὲ τοὺς ὀρεγομένους τῶν καλῶν, ἐπιμελεῖς ὢν ὀρέγοιντο ποιῶν ὠφέλει, νῦν τοῦτο διηγήσομαι. Ἀκούσας γάρ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν,[2] ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεξε πρός τινα τῶν ξυνόντων, ὃν ἠσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυγχάνειν.[3]

§ 2. Αἰσχρὸν μέντοι, ὦ νεανία, τὸν βουλόμενον ἐν τῇ πόλει στρατηγεῖν, ἐξὸν τοῦτο μαθεῖν, ἀμελῆσαι αὐτοῦ· καὶ δικαίως ἂν οὗτος ὑπὸ τῆς πόλεως ζημιοῖτο πολὺ μᾶλλον, ἢ εἴ τις ἀνδριάντας ἐργολαβοίη,[2] μὴ μεμαθηκὼς ἀνδριαντοποιεῖν.

§ 3. Ὅλης γὰρ τῆς πόλεως ἐν τοῖς πολεμικοῖς κινδύνοις ἐπιτρεπομένης τῷ στρατηγῷ, μεγάλα τά τε ἀγαθὰ, κατορθοῦντος αὐτοῦ, καὶ τὰ κακὰ, διαμαρτάνοντος, εἰκὸς γίγνεσθαι. Πῶς οὖν οὐκ ἂν δικαίως ὁ τοῦ μὲν μανθάνειν ταῦτα ἀμελῶν,[2] τοῦ δὲ αἱρεθῆναι ἐπιμελούμενος ζημιοῖτο; Τοιαῦτα μὲν δὴ λέγων ἔπεισεν αὐτὸν ἐλθόντα μανθάνειν.

§ 4. Ἐπεὶ δὲ μεμαθηκὼς ἦκε, προσέπαιζεν αὐτῷ λέγων· Οὐ δοκεῖ ὑμῖν, ὦ ἄνδρες, ὥσπερ Ὅμηρος[2] τὸν Ἀγαμέμνονα γεραρὸν ἔφη εἶναι, οὕτω καὶ ὅδε[3] στρατηγεῖν μαθὼν, γεραρώτερος φαίνεσθαι; καὶ γὰρ ὥσπερ ὁ κιθαρίζειν μαθὼν, κἂν μὴ κιθαρίζῃ, κιθαριστής ἐστι· καὶ ὁ μαθὼν ἰᾶσθαι, κἂν μὴ ἰατρεύῃ, ὅμως ἰατρός ἐστιν· οὕτω καὶ ὅδε ἀπὸ τοῦδε τοῦ χρόνου διατελεῖ στρατηγὸς ὢν, κἂν μηδεὶς αὐτὸν ἕλῃται. Ὁ δὲ μὴ ἐπιστάμενος, οὔτε στρατηγὸς[4] οὔτε ἰατρός ἐστιν, οὐδὲ ἐὰν ὑπὸ πάντων ἀνθρώπων αἱρεθῇ.

§ 5. Ἀτάρ, ἔφη, ἵνα καὶ, ἐάν ἡμῶν τις ταξιαρχῇ ἢ λοχαγῇ σοι, ἐπιστημονέστεροι τῶν πολεμικῶν ὦμεν, λέξον ἡμῖν, πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν. Καὶ ὅς, Ἐκ τοῦ αὐτοῦ,

---

§ 1. 2. Ἀκούσας γάρ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν.] Διονυσόδωρον, τὸν Χῖον σοφιστήν, τὸν μετὰ τοῦ ἀδελφοῦ Εὐθυδήμου παραγενόμενον Ἀθήναζε· περὶ οὗ ὁ Πλάτων ἐφιέμενος ἐπίτω τὸν διάλογον τοῦ Πλάτωνος, τὸν ἐπιγραφόμενον «Εὐθύδημος.» Τὸ δὲ »ἀκούσας ἥκειν«, ὡς ἧττον ἀκριβὲς τοῦ ἀκούσας ἥκοντα, παρεσημειώσαντο οἱ γραμματικοί (Bekker, ANECD. GRŒC. pag. 373.) «Ἀκούσας ἥκειν, οὐχ ἥκοντα Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν ἔφη, καὶ Μένανδρος καὶ ἄλλοι.» — 3. ἔλεξε . . . τυγχάνειν] Ὁ Στοβαῖος (σελ. 361), ἔλεγε . . . τυχεῖν. § 2, 2. ἐργολαβοίῃ.) Ἐργολαβεῖν ἐστι τὸ ἐν τῇ συνηθείᾳ «Δουλεύω ἀποκοπτικοῦ» (Γαλλ. prendre ἢ entreprnedre à la tâche.) — § 3. 2. τοῦ μὲν μανθάνειν ΤΑΥΤΑ ἀμελῶν.] ΗΔ (συνάδουσα τῷ B. ista), ἀντὶ τοῦ ΤΟΥΤΟ, ὅπερ ἔγραψαν ὅ τε Σ. καὶ ἕτεροι ἐκ ΔΓ, ΑΤ τούτου. — § 4. 2. ὥπερ Ὅμηρος] ἐν τῇ Ἰλιάδι (Γ, 170). — 3. οὕτω καὶ ὅδε] ΗΔ (συνάδουσα τῷ B. sic etiam iste) ΑΤ, καὶ οὕτω ὅδε. — 4. οὔτε στρατηγός.] Ἴσως μετὰ τάδε ἐξερρύησαν τοῦ κειμένου (ὡς;

ἔφη, εἰς ὅπερ καὶ ἐτελεύτα· τὰ γὰρ τακτικὰ ἐμέ γε καὶ ἄλλο οὐδὲν ἐδίδαξεν.

§ 6. Ἀλλὰ μήν, ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας. Καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς τὸν πόλεμον τὸν στρατηγὸν εἶναι χρή, καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις, καὶ μηχανικὸν, καὶ ἐργαστικὸν, καὶ ἐπιμελῆ, καὶ καρτερικὸν, καὶ ἀγχίνουν, καὶ φιλόφρονά τε καὶ ὠμὸν, καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον, καὶ φυλακτικόν τε καὶ κλέπτην,[2] καὶ προετικὸν καὶ ἅρπαγα, καὶ φιλόδωρον καὶ πλεονέκτην, καὶ ἀσφαλῆ καὶ ἐπιθετικὸν,[3] καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν.

§ 7. Καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι. Πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον ἀτάκτου· ὥσπερ λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος ἀτάκτως μὲν ἐρριμένα οὐδὲν χρήσιμά ἐστιν, ἐπειδὰν δὲ ταχθῇ κάτω μὲν καὶ ἐπιπολῆς τὰ μήτε σηπόμενα μήτε τηκόμενα, οἵ τε λίθοι καὶ ὁ κέραμος,[2] ἐν μέσῳ δὲ αἵ τε πλίνθοι καὶ τὰ ξύλα,[3] ὥσπερ ἐν οἰκοδομίᾳ συντίθενται, τότε γίγνεται πολλοῦ ἄξιον κτῆμα οἰκία.

§ 8. Ἀλλὰ πάνυ, ἔφη ὁ νεανίσκος, ὅμοιον, ὦ Σώκρατες, εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τούς τε πρώτους ἀρίστους δεῖ τάττειν Καὶ τοὺς τελευταίους, ἐν δὲ μέσῳ τοὺς χειρίστους,[2] ἵνα ὑπὸ μὲν ὧν ἄγωνται, ὑπὸ δὲ αὖ τῶν ὠθῶνται.

ὑπενόει ὁ Στέφανος) ἕτεραι δύο λέξεις, «οὔτε κιθαριστής.» — § 6. 2. κλέπτην] ἐπὶ τοῦ πανούργου καὶ κλεψίνου ὁ κλέπτης ἐνθάδε, κατὰ τὸ, «Μὴ κλέπτε νόῳ» (Ἰλιάδ. ά, 132) Εἰρηκε δὲ καὶ ὁ Κομικὸς (Ἰλουτ. 27),

Πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.

— 3. ἐπιθετικὸν,] agressif, φαίη ἂν Γάλλος ἀνὴρ, εἴ γ' ἐξῆν οἱ νεολογεῖν.

— § 7. 2. κάτω μὲν καὶ ἐπιπολῆς τὰ μήτε σηπόμενα μήτε τηκόμενα, οἵ τε λίθοι καὶ ὁ κέραμος.] Κάτω, ἔνθα τίθενται οἱ θεμέλιοι, καὶ τὰ ἐπὶ τῶν θεμελίων πρῶτα κτίσματα· λίθοις γὰρ ἑκάτερα οἰκοδομεῖται, μὴ πεφυκότι σήπεσθαι ὑπὸ τῆς συῤῥεούσης ὑγρότητος. Ἐπιπολῆς δὲ, τουτέστιν ἀνωτάτω καὶ κατὰ κορυφήν, ἐπ' αὐτῆς τῆς στέγης, ἐπιτίθεται ὁ κέραμος, ἄτηκτος ὢν καὶ ἀδιάλυτος ὑπὸ τῶν οὐρανόθεν ἐπιῤῥεόντων ὑδάτων. Κέραμον δὲ λέγει, ὃν ἡ συνήθεια ὑποκοριστικῶς «Κεραμίδιον» καλεῖ, Γαλλιστὶ tuile. — 3. ἐν μέσῳ δὲ αἵ τε πλίνθοι καὶ τὰ ξύλα.] Διττὴ πλίνθος ἦν παρὰ τοῖς ἀρχαίοις, ὠμή τε καὶ ὀπτή· ὄφελον δὲ ἐκ τῆς ἐν μέσῳ λεγομένης θέσεως περὶ τῆς ὠμῆς ἐνθάδε τὸν λόγον εἶναι· τήκοιτο γὰρ ἂν κάτω τιθεμένη. Ἔστι δὲ ἣν ἡμεῖς νῦν τῷ αὐτῷ μὲν ὀνόματι, ἀρσενικῶς γε τήν, «Τὸν Πλίνθον» καλοῦμεν. Ἡ δὲ ὀπτὴ πλίνθος, «τοῦβλον» (Γαλλιστὶ brique) ἡμῖν λέγεται κατὰ συγκοπὴν τοῦ Ῥωμαϊκοῦ tubulus, ὅ ἐστι σιφὼν, ἢ σωλὴν (ὡς καὶ παρὰ τὸ ἐκείνων subula ἐσχημάτισται ἡ παρ' ἡμῖν «τούβλα») Ὠνόμασται δ' οὕτω καταχρηστικῶς· τὰ γὰρ «κεραμίδια» εἶεν ἂν κυρίως τὰ «τοῦβλα», εἰς ἡμίτομον σωλῆνος πεπλασμένα τὰ πλεῖστα, ὥσπερ καὶ ὀνομάζουσιν αὐτὰ οἱ Γάλλοι tuiles. Καὶ τοῦτο γὰρ τὸ tuile εἰκὸς μᾶλλον παρὰ τὸ tubulus παρῆχθαι, ἢ ὡς οἴονται οἱ Γαλλικοὶ ἐτυμολόγοι παρὰ τὸ tegula. — § 8. 2. ἐν δὲ μέσῳ τοὺς χειρίστους.] Παρὰ δὲ τῷ Στοβαίῳ (σελ. 361), ἐν μέσοις δὲ τοὺς χείρους.

§ 9. Εἰ μὲν τοίνυν, ἔφη, καὶ διαγιγνώσκειν σε τοὺς ἀγαθοὺς καὶ τοὺς κακοὺς ἐδίδαξεν· εἰ δὲ μή, τί σοι ὄφελος, ὧν ἔμαθες; οὐδὲ γὰρ, εἴ σε ἀργύριον ἐκέλευτε πρῶτον μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, ἐν μέσῳ δὲ τὸ χείριστον, μὴ διδάξας διαγιγνώσκειν τό τε καλὸν καὶ τὸ κίβδηλον, οὐδὲν ἂν σοι ὄφελος ἦν. Ἀλλὰ, μὰ Δί', ἔφη, οὐκ ἐδίδαξεν· ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τοὺς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν.

§ 10. Τί οὖν οὐ σκοποῦμεν, ἔφη, πῶς ἂν αὐτῶν μὴ διαμαρτάνοιμεν;[2] Βούλομαι, ἔφη ὁ νεανίσκος. Οὐκοῦν, ἔφη, εἰ μὲν ἀργύριον δέοι ἁρπάζειν, τοὺς φιλαργυρωτάτους πρώτους καθιστάντες, ὀρθῶς ἂν τάττοιμεν; Ἔμοι γε δοκεῖ. Τί δὲ τοὺς κινδυνεύειν μέλλοντας; ἆρα[3] τοὺς φιλοτιμοτάτους προτακτέον; Οὗτοι γοῦν εἰσίν, ἔφη, οἱ ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. Οὐ τοίνυν οὗτοί γε ἄδηλοι, ἀλλ', ἐπιφανεῖς πανταχοῦ ὄντες, εὐαίρετοι ἂν εἶεν.

§ 11. Ἆτάρ, ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅποι καὶ ὅπως χρηστέον ἑκάστῳ τῶν ταγμάτων; Οὐ πάνυ, ἔφη. Καὶ μὴν πολλά γ' ἐστὶ, πρὸς ἃ οὔτε τάττειν οὔτε ἄγειν ὡσαύτως προσήκει. Ἀλλὰ μὰ Δί', ἔφη, οὐδὲ διεσαφήνιζε ταῦτα. Νὴ Δί', ἔφη, πάλιν τοίνυν ἐλθὼν ἐπανερώτα· ἢν γὰρ ἐπίστηται, καὶ μὴ ἀναιδὴς ᾖ, αἰσχυνεῖται, ἀργύριον εἰλικρινῶς, ἐνθεὰ σε ἀποπέμψασθαι.

ΚΕΦΑΛΑΙΟΝ II.

§ 1. Ἐντυχὼν δέ ποτε στρατηγεῖν ἠρημένῳ τῳ, Τοῦ ἕνεκεν, ἔφη, Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν;[2] ἆρά γε ὅτι, ὥσπερ τὸν ποιμένα ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶαί τε ἔσονται αἱ ὄϊες, καὶ τὰ ἐπιτήδεια ἕξουσιν, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶοί τε οἱ στρατιῶται[3] ἔσονται, καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται;[4] στρατεύονται δὲ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν.

§ 2. Ἦ τί δήποτε οὕτως ἐπῄνεσε τὸν Ἀγαμέμνονα εἰπὼν,

Ἀμφότερον,[2] βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής;

ἆρά γε ὅτι αἰχμητής τε κρατερὸς ἂν εἴη, οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους, ἀλλ' εἰ καὶ παντὶ τῷ στρα-

---

§ 10. 2. διαμαρτάνοιμεν] Παρὰ δὲ τῷ Στοβαίῳ, διαμάρτοιμεν. — 3. Τί δὲ τοὺς κινδυνεύειν μέλλοντας; ἆρα κ. τ. λ.] Ἐξ ΕΔ ἡ στίξις, ΑΤ, Τί δέ; τοὺς κινδυνεύειν μέλλοντας, ἆρα. Ὁ νοῦς, Τί δ' ὀφείλουσι ποιεῖν οἱ μάχεσθαι μέλλοντες; ἆρ' οὐ προτάττειν ὀφείλουσι τοὺς φιλοτιμοτάτους;

§ 1. 2. ποιμένα λαῶν.] ἐκ τῆς Ἰλιάδος (β', 243) — 3. σῶοί τε οἱ στρατιῶται.] Ἴσως ἐγέγραπτο, Σῶοί τε οἵ ο στρατιῶται, τουτέστι σῶοί τε αὐτῷ ο στρατιῶται. — 4. καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται,] καὶ ὅπως τῆς νίκης, τῆς εὐδαιμονεστέρους αὐτοὺς ποιήσειν μελλούσης, τεύξονται, ἧς ἕνεκα καὶ στρατεύονται. — § 2. 2. Ἀμφότερον κ. τ. λ.] Ἐκ τῆς Ἰλ. (γ', 179)

τοπέδῳ τούτου αἴτιος εἴη; καὶ βασιλεὺς ἀγαθός, οὐκ εἰ μάγνον τοῦ ἑαυτοῦ βίου καλῶς προεστήκοι, ἀλλ' εἰ καί, ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη;

§ 3. Καὶ γὰρ βασιλεὺς αἱρεῖται, οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται, ἀλλ' ἵνα καὶ οἱ ἑλόμενοι, δι' αὐτὸν[2] εὖ πράττωσι. Καὶ στρατεύονται δὲ πάντες, ἵνα ὁ βίος αὐτοῖς ὡς βέλτιστος ᾖ· καὶ στρατηγοὺς αἱροῦνται τούτου ἕνεκα, ἵνα πρὸς τοῦτο[3] αὐτοῖς ἡγεμόνες ὦσι.

§ 4. Δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν[2] τοῖς ἑλομένοις αὐτὸν στρατηγόν· καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν, οὔτε αἴσχιον τοῦ ἐναντίου. Καὶ οὕτως ἐπισκοπῶν, τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετή, τὰ μὲν ἄλλα περιῄρει, κατέλειπε δὲ τὸ εὐδαίμονας ποιεῖν, ὧν ἂν ἡγῆται.

ΚΕΦΑΛΑΙΟΝ ΙΙΙ.

§ 1. Καὶ ἱππαρχεῖν δέ τινι ἠρημένῳ οἶδά ποτε αὐτὸν τοιάδε διαλεχθέντα· Ἔχοις ἄν, ἔφη, ὦ νεανία, εἰπεῖν ἡμῖν, ὅτου ἕνεκα ἐπεθύμησας ἱππαρχεῖν; οὐ γὰρ δὴ τοῦ πρῶτος τῶν ἱππέων ἐλαύνειν· καὶ γὰρ οἱ ἱπποτοξόται τούτου γε ἀξιοῦνται· προελαύνουσι γοῦν καὶ τῶν ἱππάρχων. Ἀληθῆ λέγεις, ἔφη. Ἀλλὰ μὴν οὐδὲ τοῦ γνωσθῆναί γε· ἐπεὶ καὶ οἱ μαινόμενοί γε ὑπὸ πάντων γιγνώσκονται. Ἀληθές, ἔφη, καὶ τοῦτο λέγεις.

§ 2. Ἀλλ' ἆρα ὅτι τὸ ἱππικὸν οἴει τῇ πόλει βέλτιον ἂν ποιήσας παραδοῦναι, καὶ εἴ τις χρεία γίγνοιτο ἱππέων, τούτων ἡγούμενος, ἀγαθοῦ τινος αἴτιος γενέσθαι τῇ πόλει; Καὶ μάλα, ἔφη. Καὶ ἔστι γε, νὴ Δί', ἔφη ὁ Σωκράτης, καλὸν ἐὰν δύνῃ ταῦτα ποιῆσαι. Ἡ δὲ ἀρχή που, ἐφ' ἧς ἦρησαι, ἵππων τε καὶ ἀμβατῶν[2] ἐστιν.

§ 3. Ἔστι γὰρ οὖν, ἔφη. Ἴθι δή λέξον ἡμῖν πρῶτον τοῦτο, ὅπως διανοῇ τοὺς ἵππους βελτίους ποιῆσαι; Καὶ ὃς, Ἀλλὰ τοῦτο μέν, ἔφη, οὐκ ἐμὸν οἶμαι τὸ ἔργον εἶναι,[2] ἀλλὰ ἰδίᾳ ἕκαστον δεῖν τοῦ ἑαυτοῦ ἵππου ἐπιμελεῖσθαι.

§ 4. Ἐὰν οὖν, ἔφη ὁ Σωκράτης, παρέχωνταί σοι τοὺς ἵππους, οἱ μὲν οὕτω κακόποδας ἢ κακοσκελεῖς ἢ ἀσθενεῖς, οἱ δὲ οὕτως ἀτρόφους ὥστε μὴ δύνασθαι ἀκολουθεῖν, οἱ δὲ οὕτως ἀναγώγους ὥστε μὴ μένειν, ὅπου ἂν σὺ τάξῃς, οἱ δὲ οὕτω λακτιστὰς

---

§ 3, 2. Δι' αὐτόν.] Ὁ Στοβαῖος, διὰ τοῦτον. — 3. πρὸς τοῦτο,] πρὸς τὸ τὸν βίον αὐτοῖς ὡς βέλτιστον εἶναι. — § 4. 2. τοῦτο παρασκευάζειν.] Ὁ δὲ B. Αὐτὸ τοῦτο (hoc idem) παρασκευάζειν.

§ 2. 2. ἀμβατῶν.] Κατὰ συγκοπήν, τοῦ ἀναβατῶν. Καὶ ἔστι μὲν ποιηταῖς μᾶλλον ἢ λογογράφοις χρήσιμον, ὡς ἐν τοῖς πρόσθεν δέδεικται· ἐχρήσατό γε μὴν καὶ ἀλλαχοῦ ὁ Ξενοφῶν.

§ 3. 2. Ἀλλὰ, τοῦτο μέν, ἔφη, οὐκ ἐμὸν οἶμαι τὸ ἔργον εἶναι.] Οὐκ ἀποδέχεται ὁ Σ. τὸν παραινέσαντα περιελεῖν τὸ ἄρθρον. — § 5. 2. ἀναβατικω-

ὥστε μηδὲ τάξαι δυνατὸν εἶναι, τί σοι τοῦ ἱππικοῦ ὄφελος ἔσται; ἢ πῶς δυνήσῃ τοιούτων ἡγούμενος ἀγαθόν τι ποιῆσαι τὴν πόλιν; Καὶ ὃς, Ἀλλὰ καλῶς τε λέγεις, ἔφη, καὶ πειράσομαι τῶν ἵππων εἰς τὸ δυνατὸν ἐπιμελεῖσθαι.

§ 5. Τί δέ; τοὺς ἱππέας οὐκ ἐπιχειρήσεις, ἔφη, βελτίονας ποιῆσαι; Ἔγωγε, ἔφη. Οὐκοῦν πρῶτον μὲν ἀναβατικωτέρους[2] ἐπὶ τοὺς ἵππους ποιήσεις αὐτούς. Δεῖ γοῦν, ἔφη· καὶ γὰρ, εἴ τις αὐτῶν καταπέσοι, μᾶλλον ἂν οὕτω σώζοιτο.

§ 6. Τί γάρ; ἐάν που κινδυνεύειν δέῃ, πότερον ἐπάγειν τοὺς πολεμίους ἐπὶ τὴν ἄμμον κελεύσεις, ἔνθαπερ εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας ἐν τοιούτοις ποιεῖσθαι χωρίοις, ἐν οἷοισπερ οἱ πολέμιοι γίγνονται; Βέλτιον γοῦν, ἔφη.

§ 7. Τί δέ;[2] τοῦ βάλλειν ὡς πλεῖστον[3] ἀπὸ τῶν ἵππων ἐπιμέλειάν τινα ποιήσῃ; Βέλτιον γοῦν, ἔφη, καὶ τοῦτο. Θήγειν δὲ τὰς ψυχὰς τῶν ἱππέων καὶ ἐξοργίζειν πρὸς τοὺς πολεμίους, εἴπερ ἀλκιμωτέρους ποιεῖν διανενόησαι;[4]

§ 8. Εἰ δὲ μή, ἀλλὰ νῦν γε πειράσομαι, ἔφη. Ὅπως δέ σοι πείθωνται οἱ ἱππεῖς, πεφροντικάς τι; ἄνευ γὰρ δὴ τούτου οὔτε ἵππων οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκίμων οὐδὲν ὄφελος. Ἀληθῆ λέγεις, ἔφη· ἀλλὰ πῶς ἄν τις μάλιστα, ὦ Σώκρατες, ἐπὶ τοῦτο αὐτοὺς προτρέψαιτο;

§ 9. Ἐκεῖνο μὲν δήπου οἶσθα, ὅτι ἐν παντὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι πείθεσθαι, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι. Καὶ γὰρ ἐν νόσῳ οὓν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ μάλιστα πείθονται· καὶ ἐν πλοίῳ οἱ πλέοντες, οὓν ἂν κυβερνητικώτατον· καὶ ἐν γεωργίᾳ, οὓν ἂν γεωργικώτατον. Καὶ μάλα, ἔφη. Οὐκοῦν εἰκὸς, ἔφη, καὶ ἐν ἱππικῇ, ὃς ἂν μάλιστα εἰδὼς φαίνηται ἃ δεῖ ποιεῖν, τούτῳ μάλιστα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι.

§ 10. Ἐὰν οὖν, ἔφη, ἐγώ, ὦ Σώκρατες, βέλτιστος ὢν αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο εἰς τὸ πείθεσθαι αὐτοὺς ἐμοί; Ἐάν γε πρὸς τούτῳ ἔφη, διδάξῃς[2] αὐτοὺς, ὡς τὸ πείθεσθαί σοι, κάλ-

---

τέρους] εὐχερεστέρως ἀναβαίνειν δυναμένους. — § 7. 2. Τί δέ;] Ταύτην ἐκ ΔΓ προείλετο, καλῶς ποιῶν, ὁ Σ. τὴν γραφήν, τῆς »Τί γάρ». Ἐπιθι τὰ σημειωθέντα μοι ἐν τοῖς πρόσθεν.

— 3. ὡς πλεῖστον.] Καινοτέρως ἔδοξε πεφρᾶσθαι, ἀντὶ τοῦ Ἐπὶ πλεῖστον. Ἀλλ' ἔστι καὶ τὸ ὡΣ ἐνθάδε προθετικῶς ἐλλαβεῖν, ἀντὶ τοῦ, Εἰς πλεῖστον, ἢ καὶ ἐπιῤῥηματικῶς κατ' ἔλλειψιν τῆς προθέσεως, ἀντὶ τοῦ, Ἕως εἰς πλεῖστον; — 4. Θήγειν . . . ΕΪΠΕΡ ἀλκιμωτέρους ΠΟΙΕΪΝ διανενόησαι] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν μεταβαλὼν καὶ τὴν στίξιν, ἀντὶ τοῦ . . . ΆΠΕΡ ἀλκιμωτέρους ΠΟΙΕΪ, διανενόησαι. Τὸ ΠΟΙΕΪΝ γὰρ μόνον συναρτητέον τῷ τελευταίῳ ῥήματι, καὶ οὐ τὸ Θήγειν καὶ τὸ ἐξοργίζειν, ἅπερ ἤρτηται ἐκ τοῦ ἀνωτέρω, «ἐπιμέλειαν τινὰ ποιήσῃ.» Ὁ νοῦς, Ἐπιμελήσῃ δὲ τοῦ ἀκονᾶν καὶ ἐξοργίζειν πρὸς τοὺς πολεμίους τὰς ψυχὰς τῶν ἱππέων, εἴπερ ἀλκιμωτέρους ποιεῖν διανενόησαι. — § 10. 2. διδάξῃς] Ἴσ. γρ.

λιόν τε καὶ σωτηριώτερον αὐτοῖς ἔσται. Πῶς οὖν, ἔφη, τοῦτο διδάξω; Πολὺ, νὴ Δί', ἔφη, ῥᾷον, ἢ εἴ σε θέοι διδάσκειν, ὡς τὰ κακὰ τῶν ἀγαθῶν ἀμείνω καὶ λυσιτελέστερά ἐστι.

§ 11. Λέγεις, ἔφη, σὺ, τὸν ἵππαρχον πρὸς τοῖς ἄλλοις ἐπιμελεῖσθαι δεῖν καὶ τοῦ λέγειν δύνασθαι; Σὺ δ' ὤου, ἔφη, χρῆναι σιωπῇ ἱππαρχεῖν; ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλλιστα ὄντα δι' ὧν γε ζῆν ἐπιστάμεθα, ταῦτα πάντα διὰ λόγου ἐμάθομεν, καὶ εἴ τι ἄλλο καλὸν μανθάνει τις μάθημα, διὰ λόγου μανθάνει. Καὶ οἱ ἄριστα διδάσκοντες μάλιστα λόγῳ χρῶνται, καὶ οἱ τὰ σπουδαιότατα μάλιστα ἐπιστάμενοι κάλλιστα διαλέγονται;

§ 12. Ἢ τόδε οὐκ ἐντεθύμησαι, ὡς, ὅταν γε χορὸς εἷς ἐκ τῆσδε τῆς πόλεως γίγνηται, ὥσπερ ὁ εἰς Δῆλον πεμπόμενος, οὐδεὶς ἄλλοθεν οὐδαμόθεν τούτῳ ἐφάμιλλος γίγνεται,[2] οὐδὲ εὐανδρία[3] ἐν ἄλλῃ πόλει ὁμοία τῇ ἐνθάδε συνάγεται; Ἀληθῆ λέγεις, ἔφη.

§ 13. Ἀλλὰ μὴν οὔτε εὐφωνίᾳ τοσοῦτον διαφέρουσιν Ἀθηναῖοι τῶν ἄλλων, οὔτε σωμάτων μεγέθει καὶ ῥώμῃ, ὅσον φιλοτιμίᾳ, ἥπερ μάλιστα παροξύνει πρὸς τὰ καλὰ καὶ ἔντιμα. Ἀληθές, ἔφη, καὶ τοῦτο.

§ 14. Οὐκοῦν οἴει, ἔφη, καὶ τοῦ ἱππικοῦ τοῦ ἐνθάδε εἴ τις ἐπιμεληθείη, ὡς πολὺ ἂν καὶ τοῦτο διενέγκοιεν[2] τῶν ἄλλων ὅπλων τε καὶ ἵππων παρασκευῇ καὶ εὐταξίᾳ, καὶ τῷ ἑτοίμως κινδυνεύειν πρὸς τοὺς πολεμίους, εἰ νομίσειαν ταῦτα ποιοῦντες ἐπαίνου καὶ τιμῆς τεύξεσθαι; Εἰκός γε, ἔφη.

§ 15. Μὴ τοίνυν ὄκνει, ἔφη, ἀλλὰ πειρῶ τοὺς ἄνδρας ἐπὶ ταῦτα προτρέπειν, ἀφ' ὧν αὐτός τε ὠφεληθήσῃ, καὶ οἱ ἄλλοι πολῖται διὰ σέ. Ἀλλὰ, νὴ Δία, πειράσομαι, ἔφη.

ΚΕΦΑΛΑΙΟΝ IV.

§ 1. Ἰδών δέ ποτε Νικομαχίδην ἐξ ἀρχαιρεσιῶν ἀπιόντα, ἤρετο. Τίνες, ὦ Νικομαχίδη, στρατηγοὶ ἥρηνται; Καὶ ὃς, Οὐ

αι διδάξης. — § 12. 2. χορὸς ΕΙΣ.. ὥσπερ ὁ εἰς Δῆλον πεμπόμενος, ΟΥΔΕΙΣ ἄλλοθεν οὐδαμόθεν τούτῳ ἐφάμιλλος γίγνεται.] Τῶν κριτικῶν τις ἰσοδυναμεῖν ἐνθάδε τὸ Εἷς ᾤετο τῷ ἀορίστῳ Τίς· ὅπερ ὁ Σ. οὐκ ἀπεδέξατο, νομίσας ἀντιδιεστάλθαι τὸν ἕνα Ἀττικὸν χορὸν πρὸς τοὺς ἄλλους ἄλλοθεν τῆς Ἑλλάδος συνερχομένους, πολλοὺς ὄντας. Ἐμοὶ δὲ δοκεῖ, ἀπολαμβάνοντας ἐν ἀρχῇ τοῦ κειμένου τὸ Εἷς, μετατιθέναι μετὰ τὴν μετοχὴν, ἵν' ᾖ, «χορός . . . ὥσπερ »ὁ εἰς Δῆλον πεμπόμενος, ΕΙΣ ΟΥΔΕΙΣ ἄλλοθεν κ. τ. λ.» Εἷς οὐδεὶς ἰσοδυναμεῖ τῷ τῶν Γάλλων, pas un ne, ὥσπερ τὸ οὐδεὶς μόνον τῷ aucun ne. — 3. Εὐανδρία.] Τοὺς καλλίστους γὰρ καὶ νέους καὶ γέροντας ἐξελέγοντο εἰς τὰς πομπὰς καὶ τὰς θεωρίας (Ἰδ. Ξενοφ. Συμποσ. 4, § 17, καὶ Ἀθην. σελ. 565). — § 14. 2. τοῦ ἱππικοῦ . . . ὡς πολὺ ἂν καὶ τοῦτο διενέγκοιεν.] Τὸ ῥῆμα πληθυντικὸν διὰ τὸ περεκτικὸν Ἱππικὸν (la cavalerie), ὅ ἐστιν, οἱ ἱππεῖς πολὺ ἂν διενέγκοιεν· ὡς ὀρθῶς ἐξηγήσατο ὁ Λ. § 1. 2. Οὐ γάρ . . . τοιοῦτοί εἰσιν

γάρ, ἔφη, ὦ Σώκρατες, τοιοῦτοί εἰσιν Ἀθηναῖοι,[2] ὥστε ἐμὲ μὲν οὐχ εἵλοντο, ὃς ἐκ καταλόγου στρατευόμενος[3] κατατέτριμμαι, καὶ λοχαγῶν, καὶ ταξιαρχῶν, καὶ τραύματα ὑπὸ τῶν πολεμίων τοσαῦτα ἔχων (ἅμα δὲ τὰς οὐλὰς τῶν τραυμάτων ἀπογυμνούμενος ἐπεδείκνυεν)· Ἀντισθένην δὲ, ἔφη, εἵλοντο, τὸν οὔτε ὁπλίτην πώποτε στρατευσάμενον, ἔν τε τοῖς ἱππεῦσιν οὐδὲν περίβλεπτον ποιήσαντα, ἐπιστάμενόν τε ἄλλο οὐδὲν ἢ χρήματα συλλέγειν;

§ 2. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τοῦτο μὲν ἀγαθὸν, εἴ γε τοῖς στρατιώταις ἱκανὸς ἔσται τὰ ἐπιτήδεια πορίζειν. Καὶ γὰρ οἱ ἔμποροι, ἔφη ὁ Νικομαχίδης, χρήματα συλλέγειν ἱκανοί εἰσιν· ἀλλ' οὐχ ἕνεκα τούτου καὶ στρατηγεῖν δύναιντ' ἄν.

§ 3. Καὶ ὁ Σωκράτης ἔφη, Ἀλλὰ καὶ φιλόνικος Ἀντισθένης ἐστίν, ὁ στρατηγῷ προσεῖναι ἐπιτήδειόν ἐστιν. Οὐχ ὁρᾷς, ὅτι καὶ ὁσάκις κεχορήγηκε, πᾶσι τοῖς χοροῖς νενίκηκε;[2] Μὰ Δί', ἔφη ὁ Νικομαχίδης, ἀλλ' οὐδὲν ὅμοιόν ἐστι χοροῦ τε καὶ στρατεύματος προεστάναι.

§ 4. Καὶ μὴν, ἔφη ὁ Σωκράτης, οὐδὲ ὠθῆς γε ὁ Ἀντισθένης οὐδὲ χορῶν διδασκαλίας ἔμπειρος ὤν, ὅμως ἐγένετο ἱκανὸς εὑρεῖν τοὺς κρατίστους ταῦτα. Καὶ ἐν τῇ στρατιᾷ[2] οὖν, ἔφη ὁ Νικομαχίδης, ἄλλους μὲν εὑρήσει τοὺς τάξοντας ἀνθ' ἑαυτοῦ, ἄλλους δὲ τοὺς μαχουμένους.[3]

§ 5. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐάν γε καὶ ἐν τοῖς πολεμικοῖς τοὺς κρατίστους, ὥσπερ ἐν τοῖς χορικοῖς, ἐξευρίσκῃ τε καὶ προαιρῆται, εἰκότως ἂν καὶ τούτου νικηφόρος εἴη· καὶ θαπανᾷν δ' αὐτὸν εἰκὸς μᾶλλον ἂν ἐθέλειν εἰς τὴν ξὺν ὅλῃ τῇ πόλει τῶν πολεμικῶν νίκην, ἢ εἰς τὴν ξὺν τῇ φυλῇ τῶν χορικῶν.

§ 6. Λέγεις σὺ, ἔφη, ὦ Σώκρατες, ὡς τοῦ αὐτοῦ ἀνδρός ἐστι χορηγεῖν τε καλῶς καὶ στρατηγεῖν; Λέγω ἔγωγ', ἔφη, ὡς, ὅτου ἄν τις προστατεύῃ, ἐὰν γιγνώσκῃ τε ὧν δεῖ, καὶ ταῦτα πορίζεσθαι δύνηται, ἀγαθὸς ἂν εἴη προστάτης, εἴτε χοροῦ εἴτε οἴκου εἴτε πόλεως εἴτε στρατεύματος προστατεύοι.

§ 7. Καὶ ὁ Νικομαχίδης, Μὰ Δί', ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε ὤμην ἐγώ σου ἀκοῦσαι, ὡς οἱ ἀγαθοὶ οἰκονόμοι ἀγαθοὶ στρατηγοί

Ἀθηναῖοι;] Ὁ δὲ B Nonne vides . . . quales Athenienses sint, ὥσπερ ἂν εἰ ἐγέγραπτο; «Οὐχ ὁρᾷς . . . οἷοί εἰσιν Ἀθηναῖοι» καὶ ἴσως ὀρθότερον τῆς φερομένης γραφῆς. — 3. ἐκ καταλόγου στρατευόμενος,] ἐν τοῖς κατειλεγμένοις ὢν στρατιώταις (un conscrit ἢ de la conscription, ὥσπερ ἂν φαίη Γάλλος ἀνήρ), πρὸς ἀντιδιαστολὴν τῶν ἐθελοντί στρατευομένων, οὓς ἐνί ὀνόματι ἐθελοντὰς (volontaires) ἀλλαχοῦ Ξενοφῶν καλεῖ — § 3. 2. πᾶσι τοῖς χοροῖς νενίκηκε] Διάφοροι γὰρ καὶ διαφόροις ὀνόμασι σημαινόμενοι ἦσαν οἱ χοροί, οἷον Κύκλιοι, Κωμικοί, Τραγικοί (Ἰδ. τὴν σημ. τοῦ Σ). — § 4. 2. ἐν τῇ στρατιᾷ] Ἄμεινον ἴσως γράφειν, ἐν τῇ «στρατηγίᾳ» ὅπερ ἡρμήνευσε καὶ ὁ B. quum impe-

ἂν εἶεν.[2] Ἴθι δή, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν, πότερον τὰ αὐτά ἐστιν, ἢ διαφέρει τι. Πάνυ γε, ἔφη.

§ 8. Οὐκοῦν, ἔφη, τὸ μὲν τοὺς ἀρχομένους κατηκόους τε καὶ εὐπειθεῖς ἑαυτοῖς παρασκευάζειν, ἀμφοτέρων ἐστὶ ἔργον; Καὶ μάλα, ἔφη. Τί δέ; τὸ προστάττειν ἑκάστοις τὰ ἐπιτήδεια πράττειν;[3] Καὶ τοῦτο, ἔφη. Καὶ μὴν καὶ τὸ τοὺς κακοὺς κολάζειν, καὶ τοὺς ἀγαθοὺς τιμᾶν, ἀμφοτέροις οἶμαι προσήκειν. Πάνυ μὲν οὖν, ἔφη.

§ 9. Τὸ δὲ τοὺς ὑπηκόους εὐμενεῖς ποιεῖσθαι, πῶς οὐ καλὸν ἀμφοτέροις; Καὶ τοῦτ', ἔφη. Συμμάχους δὲ καὶ βοηθοὺς προσάγεσθαι, δοκεῖ σοι συμφέρειν ἀμφοτέροις, ἢ οὔ; Πάνυ μὲν οὖν, ἔφη. Ἀλλὰ φυλακτικοὺς τῶν ὄντων οὐκ ἀμφοτέρους εἶναι προσήκει; Σφόδρα γ', ἔφη. Οὐκοῦν καὶ ἐπιμελεῖς καὶ φιλοπόνους ἀμφοτέρους εἶναι προσήκει περὶ τὰ αὐτῶν ἔργα.

§ 10. Ταῦτα μὲν οὖν, ἔφη, πάντα ὁμοίως ἀμφοτέρων ἐστίν·[2] ἀλλὰ τὸ μάχεσθαι οὐκέτι ἀμφοτέρων. Ἀλλ' ἐχθροί γέ τοι ἀμφοτέροις γίγνονται; Καὶ μάλα, ἔφη, τοῦτό γε. Οὐκοῦν τὸ περιγενέσθαι τούτων ἀμφοτέροις συμφέρει;

§ 11. Πάνυ γε, ἔφη· ἀλλ' ἐκείνῳ παροῦσα, ἂν δέῃ μάχεσθαι, τί ὠφελήσει ἡ οἰκονομική;[2] Ἐνταῦθα δήπου καὶ πλεῖστον, ἔφη· ὁ γὰρ ἀγαθὸς οἰκονόμος, εἰδὼς ὅτι οὐδὲν οὕτω λυσιτελές τε καὶ

---

rator erit. — 3. μαχουμένους] Ἐκ ΔΓ, ΑΓ. μαχομένους. — § 7. 2. ὡς οἱ ἀγαθοὶ οἰκονόμοι ἀγαθοὶ στρατηγοὶ ἂν εἶεν.] Ἐκ ΔΓ (ἀπὸ τῶν ἐπισημειώσεων τοῦ Σ) προσείληφα τὸ ἄρθρον. — § 8. 2. προστάττειν ἑκάστοις τὰ ἐπιτήδεια πράττειν] ΔΓ. (ἀμείνων ἴσως) προσάττειν ἕκαστα τοῖς ἐπιτηδείοις τράττειν ἢ ὁ νοῦς, «Προσάττειν ἕκαστα ἔργα, ἢ ἑκάστοις πράξεις, ἐκείνοις, οἳ ἂν ὦσιν ἱκανοὶ πράττειν αὐτάς.» Ὁ Β. ἡρμήνευτε, præcipere cuilib et quæ facere sciat.

§ 10. 2. Πάντα ὁμοίως ἀμφοτέρων ἐστίν) ΔΓ, πάντα ὅμοια καὶ ἀμφοτέρων ἐστίν. — § 11. 2. ἀλλ ΕΚΕΙΝΩ ΠΑΡΟΥΣΑ, ἂν δέῃ μάχεσθαι τί ὠφελήσει ἡ οἰκονομική;] ΠΔ, ΑΤ, (ἀδιανοήτου) «ἀλλ' ΕΚΕΙΝΟ ΠΑΡΙΕΙΣ, ἂν δέῃ κτλ.» ὅπερ ἀπήρεσκε καὶ τῷ Σ. Ὅτε δὲ τῷ Παροῦσα ἐνθάδε ἰσοδυναμεῖ τῷ ἥκουσα σύμμαχος, δῆλον μὲν καὶ ἐξ ἄλλων οὐκ ὀλίγων χωρίων τοῦ Ξενοφῶντος, ἃ συνείλοχεν ὁ Λεξικογράφος αὐτοῦ (λέξ. Παρεῖναι § 2 καὶ 3), δηλοῦται δὲ καὶ ἐκ τοῦ Θουκυδίδου (VIII, 26) «Ἀγγέλλεται αὐτοῖς τὰς πεντήκοντα ναῦς ὁσονοὺ παρεῖναι» οἷς ἔχεις ποστθῆναι καὶ τὰ τοῦ Εὐριπίδου (Ἑκάβ. 1042),

Ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι, Τρωάσιν τε συμμάχους·
Ὁ νοῦς, Τί ὠφελήσει τὸν Ἀντισθένην παροῦσα ἡ οἰκονομικὴ (τουτέστιν, εἰ οἰκονομεῖν ἐπίσταιτο καὶ ἔχοι σύμμαχον αὐτὴν ἐν ἄλλοις), ἂν δέῃ μάχεσθαι; Τὴν μὲν εἰς τὸ «Παροῦσα» τροπὴν τοῦ «Παριεὶς» δεδήλωκα παράνω· ἔστι δὲ πιςῶσασθαι τὴν διόρθωσιν καὶ παραπλησίῳ παραδείγματι ἐκ Δίωνος τοῦ Χρυσοςόμου (Λόγ. XI, σελ. 364—365), ἔνθα ὁ πληθυντικὸς τῆς αὐτῆς μετοχῆς ἀόριστος, «Παρέντες» ἀτοπωτέρως τὸν τόπον ὀνόματος χώρας κατείληφε. Λέγει γὰρ ὁ Δίων, τὸν Διομήδην ἐλθόντα παρὰ τὸν Αἰνείαν βοηθείας δεῖσθαι· τὸν δ' Αἰνείαν «Ἀναλαβεῖν αὐτὸν ἔχοντα ὀλίγας ναῦς, » καὶ μέρος τι παραδοῦναι τῆς ΣΤΡΑ- » ΤΙΑΣ. Ὕστερον δὲ τῶν Ἀχαιῶν τοὺς » ἐκπεσόντας ὑπὸ Δωριέων, ἀπορουῦντας » ὅποι τράπωνται δι' ἀσθένειαν εἰς » τὴν Ἀσίαν ἐλθεῖν, ὡς παρὰ φίλους τε » καὶ ἐνσπόνδους τοὺς ἀπὸ Πριάμου τε » καὶ Ἕκτορος, [καὶ] λαβόντας οἰκῆσαι, » κατὰ φιλίαν, ΠΑΡΕΝΤΕΣ καὶ ἄλλα οὐ »σμικρὰ χωρία.» Τῶν κεφαλαίοις γράμμασι κεχαραγμένων προδήλων ἁμαρτημάτων δύο, τὸ μὲν πρῶτον ὑπενόει

κερδαλέον ἐστὶν ὡς τὸ μαχόμενον τοὺς πολεμίους νικᾶν, οὐδὲ οὕτως ἀλυσιτελές τε καὶ ζημιῶδες ὡς τὸ ἡττᾶσθαι, προθύμως μὲν τὰ πρὸς τὸ νικᾶν συμφέροντα ζητήσει καὶ παρασκευάσεται, ἐπιμελῶς δὲ τὰ πρὸς τὸ ἡττᾶσθαι φέροντα σκέψεται καὶ φυλάξεται, ἐνεργῶς δ', ἂν τὴν παρασκευὴν ὁρᾷ νικητικὴν οὖσαν, μαχεῖται, οὐχ ἥκιστα δὲ τούτων, ἐὰν ἀπαράσκευος[3] ᾖ, φυλάξεται συνάπτειν μάχην.

§ 12. Μὴ καταφρόνει, ἔφη, ὦ Νικομαχίδη, τῶν οἰκονομικῶν ἀνδρῶν· ἡ γὰρ τῶν ἰδίων ἐπιμέλεια πλήθει μόνον διαφέρει τῆς τῶν κοινῶν, τὰ δὲ ἄλλα παραπλήσια ἔχει· τὸ δὲ μέγιστον, ὅτι οὔτε ἄνευ ἀνθρώπων οὐδετέρα γίγνεται, οὔτε δι' ἄλλων μὲν ἀνθρώπων τὰ ἴδια πράττεται, δι' ἄλλων δὲ τὰ κοινά· οὐ γὰρ ἄλλοις τισὶν ἀνθρώποις οἱ τῶν κοινῶν ἐπιμελόμενοι χρῶνται, ἢ οἵσπερ οἱ τὰ ἴδια οἰκονομοῦντες,[2*] οἷς οἱ ἐπιστάμενοι χρῆσθαι, καὶ τὰ ἴδια καὶ τὰ κοινὰ καλῶς πράττουσιν· οἱ δὲ μὴ ἐπιστάμενοι, ἀμφοτέρωθι[3] πλημμελοῦσιν.

ΚΕΦΑΛΑΙΟΝ V.

§ 1. Περικλεῖ δέ ποτε, τῷ τοῦ πάνυ Περικλέους υἱῷ,[2] διαλεγόμενος, Ἐγώ τοι, ἔφη, ὦ Περίκλεις, ἐλπίδα ἔχω, σοῦ στρατηγήσαντος ἀμείνω τε καὶ ἐνδοξοτέραν τὴν πόλιν εἰς τὰ πολεμικὰ ἔσεσθαι, καὶ τῶν πολεμίων κρατήσειν. Καὶ ὁ Περικλῆς, Βουλοίμην ἄν, ἔφη, ὦ Σώκρατες, ἃ λέγεις· ὅπως δὲ ταῦτα γένοιτ' ἄν, οὐ δύναμαι γνῶναι. Βούλει οὖν, ἔφη ὁ Σωκράτης, διαλογιζόμενοι περὶ αὐτῶν ἐπισκοπῶμεν, ὅπου ἤδη τὸ δυνατόν ἐστιν; Βούλομαι, ἔφη.

§ 2. Οὐκοῦν, οἶσθα, ἔφη, ὅτι πλήθει μὲν οὐδὲν μείους εἰσὶν Ἀθηναῖοι Βοιωτῶν; Οἶδα γάρ, ἔφη. Σώματα δὲ ἀγαθὰ καὶ καλὰ πότερον ἐκ Βοιωτῶν οἴει πλείω ἂν ἐκλεχθῆναι, ἢ ἐξ Ἀθηνῶν; Οὐδὲ ταύτῃ μοι δοκοῦσι λείπεσθαι. Εὐμενεστέρους δὲ ποτέρους ἑαυτοῖς[2] εἶναι νομίζεις; Ἀθηναίους ἔγωγε· Βοιωτῶν μὲν γὰρ πολλοί, πλεονεκτούμενοι ὑπὸ Θηβαίων, δυσμενῶς αὐτοῖς ἔχουσιν· Ἀθήνῃσι δὲ οὐδὲν ὁρῶ τοιοῦτον.

τρεπτέον εἶναι ὁ Ῥεῖσκιος εἰς τὸ « Βρεττίας » τὸ δεύτερον δὲ ὁ Κασωβὼν εἰς τὸ « Πάρον ἢ Πάριον. » Γράφε, εἴ σ' ἀρέσκοι ἡ ἐξῆς ἡμετέρα διόρθωτις, « Καὶ μέρος τι παραδοῦναι τῆς ΙΤΑΛΙΑΣ. Ὕστερον δὲ . . . οἰκῆσαι, κατὰ φιλίαν, ΚΑΡΙΑΝΤΕ καὶ ἄλλα οὐ σμικρὰ χωρία »

— 3. Ἀπαράσκευος] ΔΓ. (ἢ μᾶλλον ἐξήγησις), ἀπαρασκεύαστος· ἐν πλείονι γὰρ χρήσει τοῦτο τοῦ πρώτου. — § 12. 2. Οὐ γὰρ ἄλλοις . . . οἱ τὰ ἴδια οἰκονομοῦντες] Ἐκκαίδεκα λέξεις τοῖς ἀφοριστικοῖς σημείοις ἀπέκλεισε τοῦ κειμένου ὁ Σ. μεθ' ἑτέρων τινῶν, ὡς οὐδὲν πλέον λεγούτας τῶν προλελεγμένων. — 3. ἀμφοτέρωθι,] ἐν ἀμφοτέροις, καὶ ἐν τοῖς ἰδίοις καὶ ἐν τοῖς κοινοῖς.

§ 1. 2. Υἱῷ] οὐ γνησίῳ, ἀλλὰ ποιηθέντι. (Ἴδε Πλούταρχ. Περικλ. § 37). —

§ 2. 2. Ἑαυτοῖς.] Ἐπὶ τοῦ ἀλλήλοις,

§ 3. Ἀλλὰ μὴν φιλοτιμότατοί γε καὶ φιλοφρονέστατοι πάντων εἰσίν· ἅπερ οὐχ ἥκιστα παροξύνει κινδυνεύειν ὑπὲρ εὐδοξίας τε καὶ πατρίδος. Οὐδὲ ἐν τούτοις Ἀθηναῖοι μεμπτοί. Καὶ μὴν προγόνων γε καλὰ ἔργα οὐκ ἔστιν οἷς μείζω καὶ πλείω ὑπάρχει ἢ Ἀθηναίοις· ὧ πολλοὶ ἐπαιρόμενοι προτρέπονταί τε ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ἄλκιμοι γίγνεσθαι.

§ 4. Ταῦτα μὲν ἀληθῆ λέγεις πάντα, ὦ Σώκρατες· ἀλλ' ὁρᾷς ὅτι, ἀφ' οὗ ἥ τε σὺν Τολμίδῃ τῶν χιλίων ἐν Λεβαδείᾳ συμφορὰ ἐγένετο καὶ ἡ μεθ' Ἱπποκράτους ἐπὶ Δηλίῳ,[2] ἐκ τούτων τεταπείνωται μὲν ἡ τῶν Ἀθηναίων δόξα πρὸς τοὺς Βοιωτούς, ἐπῆρται δὲ τὸ τῶν Θηβαίων φρόνημα πρὸς τοὺς Ἀθηναίους· ὥστε Βοιωτοὶ μέν, οἱ πρόσθεν οὐδ' ἐν τῇ ἑαυτῶν τολμῶντες Ἀθηναίοις ἄνευ Λακεδαιμονίων τε καὶ τῶν ἄλλων Πελοποννησίων ἀντιτάττεσθαι, νῦν ἀπειλοῦσιν αὐτοὶ καθ' αὑτοὺς ἐμβαλεῖν εἰς τὴν Ἀττικήν· Ἀθηναῖοι δέ, οἱ πρότερον, ὅτε Βοιωτοὶ μόνοι ἐγένοντο, πορθοῦντες τὴν Βοιωτίαν, φοβοῦνται, μὴ Βοιωτοὶ δηώσωσι τὴν Ἀττικήν.

§ 5. Καὶ ὁ Σωκράτης, Ἀλλ' αἰσθάνομαι μέν, ἔφη, ταῦτα οὕτως ἔχοντα· δοκεῖ δέ μοι ἀνδρὶ ἀγαθῷ ἄρχοντι νῦν εὐαρεστοτέρως διακεῖσθαι ἡ πόλις. Τὸ μὲν γὰρ θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτοτέρους ποιεῖ.

§ 6. Τεκμήριο δ' ἂν τοῦτο καὶ ἀπὸ τῶν ἐν ταῖς ναυσίν. Ἔστ' ἂν μὲν γὰρ δήπου μηδὲν φοβῶνται, μεστοί εἰσιν ἀταξίας· ὅταν δὲ ἢ χειμῶνα[2] ἢ πολεμίους δείσωσιν, οὐ μόνον τὰ κελευόμενα πάντα ποιοῦσιν, ἀλλὰ καὶ σιγῶσι καρδοκοῦντες τὰ προσταχθησόμενα, ὥσπερ χορευταί.

§ 7. Ἀλλὰ μήν, ἔφη ὁ Περικλῆς, εἴγε νῦν μάλιστα πείθοιντο, ὥρα ἂν εἴη λέγειν, πῶς ἂν αὐτοὺς προτρεψαίμεθα πάλιν ἀνεράσθηναι[2] τῆς ἀρχαίας ἀρετῆς τε καὶ εὐκλείας καὶ εὐδαιμονίας.

ὧδέ τε καὶ ἀλλαχοῦ πλειστάχοῦ ὁ Ξενοφῶν. — § 4. 2 Ἡ . . . ἐπὶ Δηλίῳ,] ἐν ᾗ καὶ Σωκράτης παρεγένετο, καὶ Ξενοφῶν μετ' αὐτοῦ (Ἴδε Στραβ. σελ. 403 καὶ Διογ. Λαέρτ. II, 22). — §6. 2. ΕΣΤ' ΑΝ μὲν γὰρ δήπου μηδὲν φοβῶνται . . . Ὅταν δὲ ἢ χειμῶνα κ. τ. λ.] Ῥεμβατμῷ διανοίας, ἠκολούθησεν ὁ Σ. τοῖς ἐκ ΔΓ. διωρθωκόσιν. ΟΤΑΝ μὲν γὰρ μηδὲν δήπου φοβῶνται . . . ΕΣΤ' ΑΝ δὲ ἢ χειμῶνα, μεταβαλὼν εἰς τοῦτο (ἔτσ' ἂν) τὸ δεύτερον. Ὅταν τῶν προτέρων ἐκδόσεων, δέον τὸ πρῶτον. Εἰκὸς γὰρ τὴν διάφορον γραφὴν εἰς τὸ πρῶτον Ὅταν ἀνηνέχθαι· ἄλλως γὰρ τόλοιπον ἂν εἴη τὸ λεγόμενον, εἴγε τὸ μὲν « Ἔστ' ἂν » ἴσον δύναται τῷ Ἕως, ἢ μέχρις ἂν (jusqu'à ce que, tandis que), τὸ δὲ « Ὅταν » τῷ ἡνίκ', ἄν (quand', dès que). Ὁ νοῦς, Ἕως ἂν μηδὲν φοβῶνται, ἀτακτοῦσιν· ὅταν δὲ ἢ χειμῶνα δείσωσιν, ἢ πολεμίους, τὰ κελευόμενα εὐτάκτως τε καὶ μετὰ σιγῆς ποιοῦσι. Μαρτυρεῖ καὶ ὁ Β. τάξας πρῶτον τὸ « Ἔστ' ἂν » καὶ δεύτερον τὸ « Ὅταν » ἐν τῇ μεταφράσει, QUAMDIU nihil timent . . . QUUM vero aut tempestatem etc. — § 7. 2. ἀνερασθῆναι.] Ἐ-

§ 8. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ μὲν ἐβουλόμεθα χρημάτων αὐτούς, ὧν οἱ ἄλλοι εἶχον, ἀντιποιεῖσθαι, ἀποδεικνύντες αὐτοῖς ταῦτα πατρῷά τε ὄντα καὶ προσήκοντα, μάλιστα ἂν οὕτως αὐτοὺς ἐξορμῷμεν ἀντέχεσθαι τούτων· ἐπὶ δὲ τοῦ μετ' ἀρετῆς πρωτεύειν αὐτοὺς ἐπιμελεῖσθαι βουλόμεθα, τοῦτ' αὖ δεικτέον ἐκ παλαιοῦ μάλιστα προσῆκον αὐτοῖς· καὶ ὡς, τούτου ἐπιμελούμενοι, πάντων ἂν εἶεν κράτιστοι.

§ 9. Πῶς οὖν ἂν τοῦτο διδάσκοιμεν; Οἶμαι μέν, εἰ τοὺς γε παλαιοτάτους, ὧν ἀκούομεν, προγόνους αὐτῶν ἀναμιμνήσκοιμεν αὐτοὺς ἀκηκοότας,[2] ἀρίστους γεγονέναι.

§ 10. Ἆρα λέγεις τὴν τῶν Θεῶν κρίσιν,[2] ἣν οἱ περὶ Κέκροπα δι' ἀρετὴν ἔκριναν; Λέγω γάρ, καὶ τὴν Ἐρεχθέως γε τροφὴν καὶ γένεσιν,[3] καὶ τὸν πόλεμον τὸν ἐπ' ἐκείνου γιγνόμενον πρὸς τοὺς ἐκ τῆς ἐχομένης ἠπείρου πάσης, καὶ τὸν ἐφ' Ἡρακλειδῶν πρὸς τοὺς ἐν Πελοποννήσῳ, καὶ πάντας τοὺς ἐπὶ Θησέως πολεμηθέντας,[4] ἐν οἷς πᾶσιν ἐκεῖνοι δῆλοι γεγόνασι τῶν καθ' ἑαυτοὺς ἀνθρώπων ἀριστεύσαντες.

§ 11. Εἰ δὲ βούλει, ἃ ὕστερον οἱ ἐκείνων μὲν ἀπόγονοι,[2] οὐ πολὺ δὲ πρὸ ἡμῶν γεγονότες, ἔπραξαν, τὰ μὲν αὐτοὶ καθ' ἑαυτοὺς ἀγωνιζόμενοι πρὸς τοὺς κυριεύσαντας τῆς τε Ἀσίας πάσης καὶ τῆς Εὐρώπης μέχρι Μακεδονίας, καὶ πλείστην τῶν προγεγονότων δύναμιν καὶ ἀφορμὴν κεκτημένους, καὶ μέγιστα ἔργα κατειργασμένους, τὰ δὲ καὶ μετὰ Πελοποννησίων ἀριστεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· οἳ δὴ καὶ λέγονται πολὺ διενεγκεῖν τῶν καθ' ἑαυτοὺς ἀνθρώπων.

§ 12. Λέγονται γάρ, ἔφη. Τοιγαροῦν πολλῶν μὲν μεταναστάσεων ἐν τῇ Ἑλλάδι γεγονυιῶν, διέμειναν ἐν τῇ ἑαυτῶν·[2] πολλοὶ

πιτυχέστατα εἰς τοῦτο μετεποίησεν ὁ Σ. τὸ παρὰ τοῖς πρότερον. «ἀνερεθισθῆναι» ἔστι δὲ, ἐκ δευτέρου ἐρασθῆναι.— § 9. 2. εἰ τοὺς γε . . . ἀκηκοότας.] Ἀφορίζει τοῦ κειμένου τὴν μετοχὴν ταύτην ὁ Σ. μηδὲν δέον· ἔστι γὰρ ὁ νοῦς, Εἴγε ἀναμιμνήσκοιμεν, αὐτοὺς (τοὺς νῦν ζῶντας), ἀκηκοότας, ἀρίστους γεγονέναι τοὺς παλαιοτάτους ὧν ἀκούομεν, προγόνους αὐτῶν. — § 10. 2. τὴν τῶν Θεῶν κρίσιν κ. τ. λ.] Ἀθηνᾶς καὶ Ποσειδῶνος, ἣν ὁ Κέκροψ ἔκρινε. — 3. τὴν Ἐρεχθέως γε τροφὴν καὶ γένεσιν,] περὶ οὗ καὶ ὁ Ποιητὴς εἰρηκεν (Ἰλιάδ. β, 547,)

Ὃν ποτ' Ἀθήνη
Θρέψε, Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος Ἄρουρα.

— 4. τοὺς ἐπὶ Θησέως πολεμηθέντας] τοὺς πολέμους οὓς ἐπολέμησε Θησεὺς πρὸς Ἀμαζόνας καὶ Θρᾷκας. — § 11. 2. οἱ ἐκείνων ἀπόγονοι] Μιλτιάδης, Θεμιστοκλῆς, Ἀριστείδης, καὶ οἱ συγκατορθώσαντες αὐτοῖς τὸν κατὰ Περσῶν πόλεμον. — § 12. 2. διέμειναν ἐν τῇ ἑαυτῶν·] αὐτόχθονες γὰρ εἶναι ἐκαυχῶντο οἱ Ἀθηναῖοι. Διὸ καὶ ὁ Κωμικὸς ὑποδηλῶσαι βουλόμενος τὸν Ἀττικὸν τοῦτον κόμπον, γέροντας Ἀθηναίους παράγει λέγοντας περὶ ἑαυτῶν (Σφ. 1075)· Ἐσμὲν Ἀττικοὶ, μόνοι δικαίως εὐγενεῖς αὐτόχθονες.

Ἀνδρικώτατον γένος, καὶ πλεῖστα
τὴν δὲ τὴν πόλιν
Ὠφελήσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθ' ὁ
βάρβαρος.

δὲ ὑπὲρ δικαίων ἀντιλέγοντες ἐπέτρεπον ἐκείνοις·[3] πολλοὶ δὲ, ὑπὸ κρειττόνων ὑβριζόμενοι, κατέφευγον πρὸς ἐκείνους.

§ 13. Καὶ ὁ Περικλῆς, Καὶ θαυμάζω γε, ἔφη, ὦ Σώκρατες, ἡ πόλις ὅπως ποτ'[2] ἐπὶ τὸ χεῖρον ἔκλινεν. Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, ὥσπερ καὶ ἀθληταί τινες διὰ τὸ πολὺ ὑπερενεγκεῖν καὶ κρατιστεῦσαι καταῤῥᾳθυμήσαντες ὑστεροῦσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους πολὺ διενεγκόντας ἀμελῆσαι ἑαυτῶν, καὶ διὰ τοῦτο χείρους γεγονέναι.

§ 14. Νῦν οὖν, ἔφη, τί ἂν ποιοῦντες ἀναλάβοιεν τὴν ἀρχαίαν ἀρετήν; Καὶ ὁ Σωκράτης, Οὐδὲν ἀπόκρυφον δοκεῖ μοι εἶναι· ἀλλ' εἰ μὲν, ἐξευρόντες τὰ τῶν προγόνων ἐπιτηδεύματα,[2] μηδὲν χεῖρον ἐκείνων ἐπιτηδεύοιεν, Οὐδὲν ἂν χείρους ἐκείνων γενέσθαι·[3] εἰ δὲ μή, τούς γε νῦν πρωτεύοντας[4] μιμούμενοι, καὶ τούτοις τὰ αὐτὰ ἐπιτηδεύοντες, ὁμοίως μὲν τοῖς αὐτοῖς χρώμενοι, οὐδὲν ἂν χείρους ἐκείνων εἶεν· εἰ δ' ἐπιμελέστερον, καὶ βελτίους.

§ 15. Λέγεις, ἔφη, πόῤῥω που εἶναι τῇ πόλει τὴν καλοκἀγαθίαν. Πότε γὰρ οὕτως Ἀθηναῖοι, ὥσπερ Λακεδαιμόνιοι, ἢ πρεσβυτέρους αἰδέσονται; οἱ ἀπὸ τῶν πατέρων ἄρχονται καταφρονεῖν τῶν γεραιτέρων;[2] ἢ σωμασκήσουσιν οὕτως; οἱ οὐ μόνον αὐτοὶ εὐεξίας ἀμελοῦσιν, ἀλλὰ καὶ τῶν ἐπιμελουμένων καταγελῶσι.

§ 16. Πότε δὲ οὕτω πείσονται τοῖς ἄρχουσιν; οἱ καὶ ἀγάλλονται[2] ἐπὶ τῷ καταφρονεῖν τῶν ἀρχόντων· ἢ πότε οὕτως ὁμονοήσουσιν; οἵ γε, ἀντὶ τοῦ μὲν συνεργεῖν ἑαυτοῖς τὰ συμφέροντα, ἐπηρεάζουσιν ἀλλήλοις, καὶ φθονοῦσιν ἑαυτοῖς μᾶλλον ἢ τοῖς ἄλλοις ἀνθρώποις. Μάλιστα δὲ πάντων ἔν τε ταῖς ἰδίαις συνόδοις

— 3. Ἐπέτρεπον ἐκείνοις] τὴν περὶ τῶν δικαίων κρίσιν. — § 13. 2. θαυμάζω . . . ἡ πόλις ὅπως ποτ' κ. τ. λ.] Ἀναστροφὴ συντάξεως, ἀντὶ τοῦ « θαυμάζω ὅπως ποτὲ ἡ πόλις » ἥτις καὶ κατ' αἰτιατικὴν γένοιτ' ἄν, Θαυμάζω τὴν πόλιν, ὅπως ποτὲ, κατὰ τὸ (Ἀριστοφ. Ὄρν. 1269)

Δεινόν γε τὸν κήρυκα, τὸν παρὰ τοὺς βροτούς
Οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν,

τουτέστι, Δεινὸν εἰ ὁ κήρυξ μηδέποτε νοστήσει. Καὶ κατὰ γενικήν, Θαυμάζω τῆς πόλεως ὅπως ποτὲ, κατὰ τὸ (Ξενοφ. Ἀπολογ. § 11.) « Θαυμάζω Μελίτου, ὅτῳ ποτὲ γνοὺς λέγει » τουτέστι, Θαυμάζω ὅτῳ ποτὲ Μέλιτος γνοὺς λέγει. — § 14. 2. ἀλλ' εἰ μὲν ἐξεύροντες τὰ τῶν προγόνων ἐπιτηδεύματα κ. τ. λ.] Ἐκ τούτων τε καὶ τῶν τούτοις παραπλησίων μαθεῖν ἐστιν ὅπως ἡ παρ' ἡμῖν συνήθεια τὸ « Ἐξεύρω » ἐπὶ τοῦ γινώσκω ἔταξεν. Ἃ γάρ τις ἐξεῦρεν, οὐ παρ' ἄλλου ἔμαθεν, ἀλλ' αὐτόθεν ἔγνω· διὸ καὶ ἐνθάδε εἶχεν εἰπεῖν ὁ Ξενοφῶν, « Γνόντες τὰ τῶν προγόνων ἐπιτηδεύματα. » — 3. οὐδὲν ἂν χείρους ἐκείνων γενέσθαι] Ὁ Σ. ἐν ταῖς ἐπισημειώσεσι, ἢ τρεπτέον εἶναι λέγει τὸ ἀπαρέμφατον « γενέσθαι » εἰς τὸ « εἶεν, » ἢ διαγραπτέον αὐτό τε καὶ τὰ προηγούμενα. Ἔστιν, οἶμαι, κατὰ χώραν ἐᾶν, συνάπτοντα τῷ προηγουμένῳ, « Δοκεῖ μοι· » — 4. τούς γε νῦν πρωτεύοντας] ἐπ' ἀρετῇ· νοεῖ δὲ τοὺς Λακεδαιμονίους, ἢ δῆλον ἐκ τῶν ἑπομένων. —

§ 15. 2. οἱ ἀπὸ τῶν πατέρων . . . τῶν γεραιτέρων,] οἱ καταφρονοῦσι τῶν γερόντων οὕτως, ὥστε μηδὲ τῶν γεννησάντων φείδεσθαι. — § 16. 2. ἀγάλλονται.] σεμνύνονται, καυχῶνται. —

καὶ ταῖς κοιναῖς διαφέρονται, καὶ πλείστας δίκας ἀλλήλοις δικάζονται, καὶ προαιροῦνται μᾶλλον οὕτω κερδαίνειν ἀπ' ἀλλήλων ἢ συνωφελοῦντες αὐτούς· τοῖς δὲ κοινοῖς ὥσπερ ἀλλοτρίοις χρώμενοι, περὶ τούτων αὖ μάχονται, καὶ ταῖς εἰς τὰ τοιαῦτα δυνάμεσι μάλιστα χαίρουσιν.

§ 17. Ἐξ ὧν πολλὴ μὲν ἀπορία[2] καὶ κακία τῇ πόλει ἐμφύεται, πολλὴ δὲ ἔχθρα καὶ μῖσος ἀλλήλων τοῖς πολίταις ἐγγίγνεται, δι' ἃ ἔγωγε μάλα φοβοῦμαι ἀεί, μή τι μεῖζον, ἢ ὥστε φέρειν δύνασθαι, κακὸν τῇ πόλει συμβῇ.

§ 18. Μηδαμῶς, ἔφη ὁ Σωκράτης, ὦ Περίκλεις, οὕτως ἡγοῦ ἀνηκέστῳ πονηρίᾳ νοσεῖν Ἀθηναίους. Οὐχ ὁρᾷς, ὡς εὔτακτοι μέν εἰσιν ἐν τοῖς ναυτικοῖς, εὐτάκτως δ' ἐν τοῖς γυμνικοῖς ἀγῶσι πείθονται τοῖς ἐπιστάταις, οὐδενῶν δὲ καταδεέστερον ἐν τοῖς χοροῖς ὑπηρετοῦσι τοῖς διδασκάλοις.

§ 19. Τοῦτο γάρ τοι, ἔφη, καὶ θαυμαστόν ἐστι, τὸ τοὺς μὲν τοιούτους πειθαρχεῖν τοῖς ἐφεστῶσι, τοὺς δὲ ὁπλίτας καὶ τοὺς ἱππεῖς, οἳ δοκοῦσι καλοκἀγαθίᾳ προκεκρίσθαι τῶν πολιτῶν, ἀπειθεστάτους εἶναι πάντων.

§ 20. Καὶ ὁ Σωκράτης ἔφη, Ἡ δὲ ἐν Ἀρείῳ πάγῳ βουλή, ὦ Περίκλεις, οὐκ ἐκ τῶν δεδοκιμασμένων[2] καθίσταται; Καὶ μάλα, ἔφη. Οἶσθα οὖν τινας, ἔφη, κάλλιον ἢ νομιμώτερον ἢ σεμνότερον ἢ δικαιότερον τάς τε δίκας δικάζοντας καὶ τἆλλα πάντα πράττοντας; Οὐ μέμφομαι, ἔφη, τούτοις.[3] Οὐ τοίνυν, ἔφη, δεῖ ἀθυμεῖν, ὡς οὐκ εὐτάκτων ὄντων Ἀθηναίων.

§ 21. Καὶ μὴν ἔν γε τοῖς στρατιωτικοῖς, ἔφη, ἔνθα μάλιστα δεῖ σωφρονεῖν τε καὶ εὐτακτεῖν καὶ πειθαρχεῖν, οὐδενὶ τούτων προσέχουσιν. Ἴσως γάρ, ἔφη ὁ Σωκράτης, ἐν τούτοις οἱ ἥκιστα ἐπιστάμενοι ἄρχουσιν αὐτῶν. Οὐχ ὁρᾷς, ὅτι κιθαριστῶν μὲν καὶ χορευτῶν καὶ ὀρχιστῶν οὐδὲ εἷς ἐπιχειρεῖ ἄρχειν μὴ ἐπιστάμενος, οὐδὲ πα-

---

§ 17. 2. ἀπορία.] Ἐκ ΔΓ, ΑΤ, ἀπειρία. Ἑτέρα ΔΓ, ἀτηρία. Τῶν δὲ κριτικῶν, οἱ μὲν εἰς τὸ ἐπήρεια, οἱ δὲ εἰς τὸ ἀπειροκαλία, τρέπειν δεῖν ὡήθησαν. Ἦν δ' αὐτὸς προειλόμην γραφήν, ἔστι καὶ ἐξ ὧν Ἰσοκράτης λέγει πιστώσασθαι· ἀνειδίζων γάρ κἀκεῖνος τοῖς Ἀθηναίοις, ἔν τε τῷ Συμμαχικῷ ὅλῳ καὶ τῷ Ἀρειοπαγιτικῷ (§ ιζ', σελ. 146) φησί, «Τὰς μὲν ἀπορίας διὰ »τὰς ἀργίας γιγνομένας, τὰς δὲ κα»κουργίας διὰ τὰς ἀπορίας.» — § 20, 2. Ἡ δὲ ἐν Ἀρείῳ πάγῳ βουλὴ . . . οὐκ ἐκ τῶν δεδοκιμασμένων, κτλ.] Μαρτυρεῖ καὶ τοῦτο ἥπερ ἔφθην προσελόμενος ΔΓ, ἀπορία· Ἐν γὰρ τῷ αὐτῷ Ἀρειοπαγιτικῷ καὶ Ἰσοκράτης, ἐνῷ καθάπτεται τῶν Ἀθηναίων διὰ τὰς ἀπορίας τε καὶ κακίας, ἐπαινεῖ τοὺς Ἀρειοπαγίτας (§ ιέ. σελ. 145.) «Ἔτι γὰρ καὶ νῦν ἁπάν»των τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκι»μασίαν ταύτην καθημένων, ἴδοιμεν »ἂν τοὺς ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ »ἀνεκτοὺς ὄντας, ἐπειδὰν εἰς Ἄρειον »πάγον ἀναβῶσιν, ὀκνοῦντας τῇ φύσει »χρῆσθαι, καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις, »ἢ ταῖς αὑτῶν κακίαις ἐμμένοντας.» — 3. οὐ μέφομαι, ἔφη, τούτοις,] τοῖς Ἀρειοπαγίταις, ὑπονοούμενον ἐκ τοῦ προλελεγμένου, Ἡ ἐν Ἀρείῳ πάγῳ βουλή. —

λαιστῶν οὐδὲ παγκρατιαστῶν; ἀλλὰ πάντες, ὅσοι τούτων ἄρχουσιν, ἔχουσι δεῖξαι, ὁπόθεν ἔμαθον ταῦτα, ἐφ' οἷς ἐφεστᾶσι· τῶν δὲ στρατηγῶν οἱ πλεῖστοι αὐτοσχεδιάζουσιν.[2]

§ 22. Οὐ μέντοι σέ γε τοιοῦτον ἐγὼ νομίζω εἶναι, ἀλλ' οἶμαί σε οὐδὲν ἧττον ἔχειν εἰπεῖν, ὁπότε στρατηγεῖν ἢ ὁπότε παλαίειν ἤρξω μανθάνειν. Καὶ πολλὰ μὲν οἶμαί σε τῶν πατρώων στρατηγημάτων[2] παρειληφότα διασώζειν, πολλὰ δὲ πανταχόθεν συνενηνοχέναι,[3] ὁπόθεν οἷόν τε ἦν μαθεῖν τι ὠφέλιμον εἰς στρατηγίαν.

§ 23. Οἶμαι δέ σε πολλὰ μεριμνᾶν, ὅπως μὴ λάθῃς σεαυτὸν ἀγνοῶν τι τῶν εἰς στρατηγίαν ὠφελίμων· καὶ ἐάν τι τοιοῦτον αἴσθῃ σεαυτὸν μὴ εἰδότα, ζητεῖν τοὺς ἐπισταμένους ταῦτα, οὔτε δώρων οὔτε χαρίτων φειδόμενον[2], ὅπως μάθῃς παρ' αὐτῶν ἃ μὴ ἐπίστασαι, καὶ συνεργοὺς ἀγαθοὺς ἔχῃς.

§ 24. Καὶ ὁ Περικλείς, Οὐ λανθάνεις με, ὦ Σώκρατες, ἔφη, ὅτι οὐκ οἰόμενός[2] με τούτων ἐπιμελεῖσθαι ταῦτα λέγεις, ἀλλ' ἐγχειρῶν με διδάσκειν, ὅτι τὸν μέλλοντα στρατηγεῖν τούτων ἁπάντων ἐπιμελεῖσθαι δεῖ. Ὁμολογῶ μέντοι κἀγώ σοι ταῦτα.

§ 25. Τοῦτο δ', ἔφη, ὦ Περίκλεις, κατανενόηκας, ὅτι πρόκειται τῆς χώρας ἡμῶν ὄρη μεγάλα, καθήκοντα ἐπὶ τὴν Βοιωτίαν, δι' ὧν εἰς τὴν χώραν[2] εἴσοδοι στεναί τε καὶ προσάντεις εἰσί, καὶ ὅτι μέση διέζωσται ὄρεσιν[3] ἐρυμνοῖς; Καὶ μάλα, ἔφη.

§ 26 Τί δέ; οὐδ' ἐκεῖνο ἀκήκοας[2], ὅτι Μυσοὶ καὶ Πισίδαι ἐν τῇ βασιλέως χώρᾳ κατέχοντες ἐρυμνὰ πάνυ χωρία, καὶ κούφως ὡπλισμένοι, δύνανται πολλὰ μὲν τὴν βασιλέως χώραν καταθέοντες κακοποιεῖν, αὐτοὶ δὲ ζῆν ἐλεύθεροι; Καὶ τοῦτό γε, ἔφη, ἀκούω.

§ 27. Ἀθηναίους δ' οὐκ ἂν οἴει, ἔφη, μέχρι τῆς ἐλαφρᾶς ἡλικίας[2] ὡπλισμένους κουφοτέροις ὅπλοις, καὶ τὰ προκείμενα τῆς χώ-

---

§ 21. 2. αὐτοσχεδιάζουσιν.] ἀπρονοήτως καὶ ἀπροβουλεύτως πράττουσι.— § 22. 2. τῶν πατρώων στρατηγημάτων,] τῶν τοῦ σοῦ πατρὸς Περικλέους.— 3. συνενηνοχέναι] ΔΓ (οὐ χείρων) συνειλοχέναι.— § 23, 2. οὔτε δώρων οὔτε χαρίτων φειδόμενον] Δῶρα, τὰ τοῖς Γάλλοις λεγόμενα dons, présents, χάριτες grâces, cervices, bons offices. Ἡ παρ' ἡμῖν συνήθεια καὶ τὸ Δῶρα οἶδε καὶ τὸ συνώνυμον αὐτοῦ Χαρίσματα· τὴν δὲ Χάριτα, Χάριν καλεῖ, ὡς ἐν τῷ Κάμε μου τὴν χάριν, faites-moi la grâce ἢ le plaisir.— § 24, 2. οὐκ οἰόμενος.] Ἐκ παραινέσεως τοῦ Σ. ΑΤ, εὖδ' οἰόμενος.— § 25, 2. εἰς τὴν χώραν,] εἰς τὴν Ἀττικήν.— 3. μέση διέζωσται ὄρεσιν,] ἡ Ἀττικὴ· ἔστι δὲ τὰ διαζωννύντα αὐτὴν ὄρη, ὁ Πάρνης, ὁ Γ̓μηττὸς καὶ ἕτερα.— § 26, 2. Τί δέ; ΟΥΔ ΕΚΕΙΝΟ ἀκήκοας κτλ.] ΗΔ, ΑΤ, Τί δέ; ΣΥ ΕΚΕΙΝΟ ἀκήκοας, κτλ. ΔΓ (χειρίστη) ΣΕ ΕΚΕΙΝΟ. Διορθώσεις δὲ ἄλλων ἄλλαι οὐ πάνυ πιθαναί, πλὴν τῆς «Τί δέ ΓΕ; ΕΚΕΙΝΟ ΟΥΚ ἀκήκοας». μετ' ἀρνήσεως γὰρ εἰκὸς γεγράφθαι πάλαι, ἢ δῆλον καὶ ἐκ τῆς τοῦ Β. ἑρμηνείας. Quid vero? illud ne unquam audivisti.— § 27, 2. μέχρι τῆς ἐλαφρᾶς ἡλικίας,] ἕως ἂν ὦσιν ἐλαφροὶ τῷ σώματι, τουτέστι νέοι· λέγει δὲ τοὺς Ἀθήνητι καλουμένους Περιπόλους. Εἰς μὲν γὰρ τοὺς Ἐφήβους λεγομένους εἰσήεσαν (ὡς φησιν ὁ Πολυδεύκης) ὀκτωκαίδεκα ἔτη γενόμενοι, δύο δὲ ἐν τοῖς Περιπόλοις ἐξητάζοντο, εἰκοστῷ δὲ

ρας ὄρη κατέχοντας, βλαβεροὺς μὲν τοῖς πολεμίοις εἶναι, μεγάλην δὲ προβολὴν τοῖς πολίταις τῆς χώρας κατεσκευάσθαι; Καὶ ὁ Περικλῆς, Πάντ' οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ταῦτα χρήσιμα εἶναι.

§ 28. Εἰ τοίνυν, ἔφη ὁ Σωκράτης, ἀρέσκει σοι ταῦτα, ἐπιχείρει αὐτοῖς, ὦ ἄριστε· ὅ τι μὲν γὰρ ἂν τούτων καταπράξῃς, καὶ σοὶ καλὸν ἔσται καὶ τῇ πόλει ἀγαθόν· ἐὰν δέ τι ἀδυνατῇς, οὔτε τὴν πόλιν βλάψεις οὔτε σαυτὸν καταισχυνεῖς.

ΚΕΦΑΛΑΙΟΝ VI.

§ 1. Γλαύκωνα[2] δὲ τὸν Ἀρίστωνος, ὅτ' ἐπεχείρει δημηγορεῖν, ἐπιθυμῶν προστατεύειν τῆς πόλεως, οὐδέπω εἴκοσιν ἔτη γεγονὼς, ὄντων ἄλλων οἰκείων καὶ φίλων, οὐδεὶς ἠδύνατο παῦσαι ἑλκόμενόν τε ἀπὸ τοῦ βήματος καὶ καταγέλαστον ὄντα· Σωκράτης δὲ, εὔνους ὢν αὐτῷ διά τε Χαρμίδην τὸν Γλαύκωνος[3] καὶ διὰ Πλάτωνα, μόνος ἔπαυσεν.

§ 2. Ἐντυχὼν γὰρ αὐτῷ, πρῶτον μὲν εἰς τὸ ἐθελῆσαι ἀκούειν τοιάδε λέξας, κατέσχεν. Ὦ Γλαύκων, ἔφη, προστατεύειν ἡμῖν διανενόησαι τῆς πόλεως; Ἔγωγ', ἔφη, ὦ Σώκρατες. Νὴ Δί', ἔφη, καλὸν γάρ, εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. Δῆλον γάρ, ὅτι, ἐὰν τοῦτο διαπράξῃ, δυνατὸς μὲν ἔσῃ αὐτὸς τυγχάνειν οὗ ἂν ἐπιθυμῇς, ἱκανὸς δὲ τοὺς φίλους ὠφελεῖν, ἐπαρεῖς δὲ τὸν πατρῷον οἶκον, αὐξήσεις δὲ τὴν πατρίδα, ὀνομαστὸς δ' ἔσῃ πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα δ' ἐν τῇ Ἑλλάδι, ἴσως δὲ ὥσπερ Θεμιστοκλῆς καὶ ἐν τοῖς βαρβάροις· ὅπου δ' ἂν ἧς, πανταχοῦ περίβλεπτος ἔσῃ.

§ 3. Ταῦτ' οὖν ἀκούων ὁ Γλαύκων ἐμεγαλύνετο, καὶ ἡδέως παρέμενε. Μετὰ δὲ ταῦτα ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, τοῦτο μέν, ὦ Γλαύκων, δῆλον, ὅτι, εἴπερ τιμᾶσθαι βούλει, ὠφελητέα σοι ἡ πόλις ἐστίν; Πάνυ μὲν οὖν, ἔφη. Πρὸς Θεῶν ἔφη, μὴ τοίνυν ἀποκρύψῃ, ἀλλ' εἰπὲ ἡμῖν, ἐκ τίνος ἄρξῃ τὴν πόλιν εὐεργετεῖν;

§ 4. Ἐπεὶ δὲ ὁ Γλαύκων διεσιώπησεν, ὡς ἂν τότε σκοπῶν, ὁπόθεν ἄρχοιτο· Ἆρ', ἔφη ὁ Σωκράτης, ὥσπερ, φίλου οἶκον εἰ αὐξῆσαι βούλοιο, πλουσιώτερον αὐτὸν ἐπιχειροίης ἂν ποιεῖν, οὕτω καὶ τὴν πόλιν πειράσῃ πλουσιωτέραν ποιῆσαι; Πάνυ μὲν οὖν, ἔφη.

§ 5. Οὐκοῦν πλουσιωτέρα γ' ἂν εἴη, προσόδων αὐτοῖ πλειόνων γενομένων; Εἰκὸς γοῦν, ἔφη. Λέξον δὴ, ἔφη, ἐκ τίνων νῦν αἱ

ἐνεγράφοντο τῷ Ληξιαρχικῷ γραμματείῳ. Ἐκαλοῦντο δὲ οὕτως, ἀπὸ τοῦ περιπολεῖν τὴν χώραν καὶ διατρίβειν ἐν τοῖς φρουρίοις· εἰς γὰρ τοὺς ὑπερορίους πολέμους εἰκοσαετίαν πληρώσαντες ἐστέλλοντο.

§ 1, 2. Γλαύκωνα] τὸν ἀδελφὸν Πλάτωνος τοῦ φιλοσόφου.— 3. Γλαύκωνος.] Ἕτερος οὗτος Γλαύκων, θεῖος τοῦ Πλάτωνος.—

πρόσοδοι τῇ πόλει, καὶ πόσαι τινές εἰσι; δῆλον γὰρ ὅτι ἔσκεψαι, ἵνα, εἰ μέν τινες αὐτῶν ἐνδεῶς ἔχουσιν, ἐκπληρώσῃς· εἰ δὲ παραλείπονται, προσπορίσῃς. Ἀλλὰ, μὰ Δί', ἔφη ὁ Γλαύκων, ταῦτά γε οὐκ ἐπέσκεμμαι.

§ 6. Ἀλλ', εἰ τοῦτο, ἔφη παρέλιπες, τάς γε δαπάνας τῆς πόλεως ἡμῖν εἰπέ· δῆλον γάρ, ὅτι καὶ τούτων τὰς περιττὰς ἀφαιρεῖν διανοῇ. Ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐδὲ πρὸς ταῦτά πω ἐσχόλασα. Οὐκοῦν, ἔφη, τὸ μὲν πλουσιωτέραν τὴν πόλιν ποιεῖν ἀναβαλούμεθα· πῶς γὰρ οἷόν τε, μὴ εἰδότα γε τὰ ἀναλώματα καὶ τὰς προσόδους, ἐπιμεληθῆναι τούτων;

§ 7. Ἀλλ' ὦ Σώκρατες, ἔφη ὁ Γλαύκων, δυνατόν ἐστι καὶ ἀπὸ πολεμίων τὴν πόλιν πλοτίζειν. Νὴ Δία, σφόδρα γ', ἔφη ὁ Σωκράτης, ἐάν τις αὐτῶν κρείττων ᾖ· ἧττων δὲ ὢν καὶ τὰ οἰκεῖα[2] προσαποβάλοι ἄν. Ἀληθῆ λέγεις, ἔφη.

§ 8. Οὐκοῦν, ἔφη, τόν γε βουλευσόμενον, πρὸς οὕστινας δεῖ πολεμεῖν, τήν τε τῆς πόλεως δύναμιν καὶ τὴν τῶν ἐναντίων εἰδέναι δεῖ, ἵνα, ἐὰν μὲν ἡ τῆς πόλεως κρείττων ᾖ, συμβουλεύῃ ἐπιχειρεῖν τῷ πολέμῳ· ἐὰν δὲ ἧττων τῆς τῶν ἐναντίων, εὐλαβεῖσθαι πείθῃ. Ὀρθῶς λέγεις, ἔφη.

§ 9. Πρῶτον μὲν τοίνυν, ἔφη, λέξον ἡμῖν τῆς πόλεως τήν τε πεζικὴν καὶ τὴν ναυτικὴν δύναμιν, εἶτα τὴν τῶν ἐναντίων. Ἀλλά, μὰ τὸν Δί', ἔφη, οὐκ ἂν ἔχοιμί σοι οὕτως γε ἀπὸ στόματος εἰπεῖν. Ἀλλ', εἰ γέγραπταί σοι, ἔνεγκε, ἔφη· πάνυ γὰρ ἡδέως ἂν τοῦτο ἀκούσαιμι. Ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐδὲ γέγραπταί μοι πω.

§ 10. Οὐκοῦν, ἔφη, καὶ περὶ πολέμου συμβουλεύειν τήν γε πρώτην ἐπισχήσομεν· ἴσως γὰρ καὶ διὰ τὸ μέγεθος αὐτῶν, ἄρτι ἀρχόμενος τῆς προστατείας, οὔπω ἐξήτακας. Ἀλλά τοι περί γε φυλακῆς τῆς χώρας οἶδ' ὅτι σοι μεμέλημεν, καὶ οἶσθα, ὁπόσαι τε φυλακαὶ ἐπίκαιροί εἰσι καὶ ὁπόσαι μή, καὶ ὁπόσοι τε φρουροὶ ἱκανοί εἰσι καὶ ὁπόσοι μή εἰσι· καὶ τὰς μὲν ἐπικαίρους φυλακὰς συμβουλεύσεις μείζονας ποιεῖν, τὰς δὲ περιττὰς ἀφαιρεῖν.

§ 11. Νὴ Δί', ἔφη ὁ Γλαύκων, ἁπάσας μὲν οὖν ἔγωγε,[2] ἕνεκά γε τοῦ οὕτως αὐτὰς φυλάττεσθαι, ὥστε ἁρπάζεσθαι τὰ ἐκ τῆς χώρας.[3] Ἐὰν δέ τις ἀφέλῃ γ', ἔφη, τὰς φυλακάς, οὐκ οἴει καὶ ἁρπάζειν ἐξουσίαν ἔσεσθαι τῷ βουλομένῳ; ἀτάρ, ἔφη, πότερον ἐλθὼν αὐτὸς ἐξήτακας τοῦτο, ἢ πῶς οἶσθα, ὅτι κακῶς φυλάτ-

---

— § 7, 2. καὶ τὰ οἰκεῖα.] ΔΓ, καὶ τὰ προσόντα. — § 11, 2. ἁπάσας μὲν οὖν ἔγωγε] ἀφαιρεῖν συμβουλείσω τὰς φυλακάς. — 3. ἕνεκά γε τοῦ οὕτως αὐτὰς φυλάσσεθαι, ὥστε ΑΡΠΑΖΕΣΘΑΙ τὰ ἐκ τῆς χώρας.] Ἐξ ΕΔ, ἀντὶ τοῦ «ἅπτεσθαι.» ΔΓ. «κλέπτεσθαι: βλάπτεσθαι.» Αἱ δὲ προβληθεῖσαι διορθώσεις

τονται; Εἰκάζω, ἔφη. Οὐκοῦν, ἔφη, καὶ περὶ τούτων, ὅταν μηκέτι εἰκάζωμεν, ἀλλ' ἤδη εἰδῶμεν, τότε συμβουλεύσομεν; Ἴσως, ἔφη ὁ Γλαύκων, βέλτιον.

§ 12. Εἷς γε μήν, ἔφη, τἀργύρια οἶδ' ὅτι οὐκ ἀφῖξαι, ὥστ' ἔχειν εἰπεῖν, διότι νῦν ἐλάττω ἢ πρόσθεν προσέρχεται αὐτόθεν. Οὐ γὰρ οὖν ἐλήλυθα, ἔφη. Καὶ γάρ, νὴ Δί', ἔφη ὁ Σωκράτης, λέγεται βαρὺ τὸ χωρίον εἶναι.[2] Ὥστε, ὅταν περὶ τούτου δέῃ συμβουλεύειν, αὕτη σοι ἡ πρόφασις ἀρκέσει.[3] Σκέψομαι, ἔφη ὁ Γλαύκων.

§ 13. Ἀλλ' ἐκείνου γέ τοι, ἔφη, οἶδ' ὅτι οὐκ ἠμέληκας, ἀλλ' ἔσκεψαι, πόσον χρόνον ἱκανός ἐστιν ὁ ἐκ τῆς χώρας γιγνόμενος σῖτος διατρέφειν τὴν πόλιν, καὶ πόσου εἰς τὸν ἐνιαυτὸν προσδέεται, ἵνα μὴ τούτου λάθῃ σέ ποτε ἡ πόλις ἐνδεὴς γενομένη, ἀλλ' εἰδώς, ἔχῃς ὑπὲρ τῶν ἀναγκαίων συμβουλεύων τῇ πόλει βοηθεῖν τε καὶ σώζειν αὐτήν. Λέγεις, ἔφη ὁ Γλαύκων, παμμέγεθες πρᾶγμα, εἴ γε καὶ τῶν τοιούτων ἐπιμελεῖσθαι δεήσει.

§ 14. Ἀλλὰ μέντοι, ἔφη ὁ Σωκράτης, οὐδ' ἂν τὸν ἑαυτοῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται, ὧν προσδέεται, πάντων δὲ ἐπιμελόμενος ἐκπληρώσει. Ἀλλ' ἐπεὶ ἡ μὲν πόλις ἐκπλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε, χαλεπὸν δέ ἐστιν ἅμα τοσούτων οἴκων ἐπιμελεῖσθαι, πῶς οὐχ ἕνα, τὸν τοῦ Θείου, πρῶτον ἐπειράθης αὐξῆσαι; δέεται δέ. Κἂν μὲν τοῦτον δύνῃ, καὶ πλείσιν ἐπιχειρήσεις· ἕνα δὲ μὴ δυνάμενος ὠφελῆσαι, πῶς ἂν πολλούς γε δυνηθείης; ὥσπερ εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερόν, ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ;

§ 15. Ἀλλ' ἔγωγ', ἔφη ὁ Γλαύκων, ὠφελοίην ἂν τὸν τοῦ Θείου οἶκον, εἴ μοι ἐθέλοι πείθεσθαι. Εἶτα, ἔφη ὁ Σωκράτης, τὸν Θεῖον οὐ δυνάμενος πείθειν, Ἀθηναίους πάντας μετὰ τοῦ Θείου νομίζεις δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι;

§ 16. Φυλάττου, ἔφη, ὦ Γλαύκων, ὅπως μή, τοῦ εὐδοξεῖν ἐπιθυμῶν, εἰς τοὐναντίον ἔλθῃς. Ἢ οὐχ ὁρᾷς, ὡς σφαλερόν ἐστι τὸ, ἃ μὴ οἶδέ τις, ταῦτα λέγειν ἢ πράττειν; ἐνθυμοῦ δὲ τῶν ἄλλων, ὅσους οἶσθα τοιούτους, οἵοι φαίνονται καὶ λέγοντες ἃ μὴ ἴσασι καὶ πράττοντες. Πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον ἢ ψόγου τυγχάνειν; καὶ πότερον θαυμάζεσθαι μᾶλλον ἢ καταφρονεῖσθαι;

§ 17. Ἐνθυμοῦ δὲ καὶ τῶν εἰδότων ὅ τί τε λέγουσι καὶ ἃ τι ποιοῦσι· καὶ, ὡς ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσιν ἔργοις τοὺς μὲν

«ἄγεσθαι : ἀπάγεσθαι». — § 12, 2. λέγεται βαρὺ τὸ χωρίον εἶναι] δυσάερον καὶ νοσῶδες. Ἔσωσε δὲ καὶ ἡ συνήθεια τὴν λέξιν, «Βαρὺν ἀέρα» λέγουσα τὸν νοσοποιόν. — 3. αὕτη σοι ἡ πρόφασις ἀρκέσει] ὅτι οὐκ ἀφῖξαι εἰς τὰ ἀργύρια, φόβῳ τῆς βαρύτητος τοῦ ἀέρος.

εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους ἐκ τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρονουμένους ἐκ τῶν ἀμαθεστάτων.

§ 18. Εἰ οὖν ἐπιθυμεῖς εὐδοκιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ πόλει, πειρῶ κατεργάσασθαι ὡς μάλιστα τὸ εἰδέναι, ἃ βούλει πράττειν· ἐὰν γὰρ τούτῳ διενεγκὼν τῶν ἄλλων ἐπιχειρῇς τὰ τῆς πόλεως πράττειν, οὐκ ἂν θαυμάσαιμι, εἰ πάνυ ῥᾳδίως τύχοις ὧν ἐπιθυμεῖς.

ΚΕΦΑΛΑΙΟΝ VII.

§ 1. Χαρμίδην δὲ τὸν Γλαύκωνος ὁρῶν ἀξιόλογον μὲν ἄνδρα ὄντα, καὶ πολλῷ δυνατώτερον τῶν τὰ πολιτικὰ τότε πραττόντων, ὀκνοῦντα δὲ προσιέναι τῷ δήμῳ, καὶ τῶν τῆς πόλεως πραγμάτων ἐπιμελεῖσθαι, Εἰπέ μοι, ἔφη, ὦ Χαρμίδη, εἴ τις ἱκανὸς ὢν τοὺς στεφανίτας ἀγῶνας νικᾶν, καὶ διὰ τοῦτο αὐτός τε τιμᾶσθαι καὶ τὴν πατρίδα ἐν τῇ Ἑλλάδι εὐδοκιμωτέραν ποιεῖν, μὴ θέλοι ἀγωνίζεσθαι, ποῖόν τινα τοῦτον νομίζεις ἂν τὸν ἄνδρα εἶναι; Δῆλον ὅτι, ἔφη, μαλακόν τε καὶ δειλόν.

§ 2. Εἰ δέ τις, ἔφη, δυνατὸς ὢν, τῶν τῆς πόλεως πραγμάτων ἐπιμελόμενος τήν τε πόλιν αὔξειν καὶ αὐτὸς διὰ τοῦτο τιμᾶσθαι, ὀκνοίη τοῦτο πράττειν, οὐκ ἂν εἰκότως δειλὸς νομίζοιτο; Ἴσως, ἔφη. Ἀτὰρ πρὸς τί με ταῦτα ἐρωτᾷς; Ὅτι, ἔφη, οἶμαί σε, δυνατὸν ὄντα, ὀκνεῖν ἐπιμελεῖσθαι, καὶ ταῦτα, ὧν ἀνάγκη σοι μετέχειν πολίτῃ γε ὄντι.

§ 3. Τὴν δὲ ἐμὴν δύναμιν, ἔφη ὁ Χαρμίδης, ἐν ποίῳ ἔργῳ καταμαθὼν, ταῦτά μου καταγιγνώσκεις; Ἐν ταῖς συνουσίαις, ἔφη, αἷς σύνει τοῖς τὰ τῆς πόλεως πράττουσι· καὶ γάρ, ὅταν τι ἀναλοινῶνταί σοι, ὁρῶ σε καλῶς συμβουλεύοντα, καὶ, ὅταν τι ἁμαρτάνωσιν, ὀρθῶς ἐπιτιμῶντα.

§ 4. Οὐ ταὐτόν ἐστιν, ἔφη, ὦ Σώκρατες, ἰδίᾳ τε διαλέγεσθαι, καὶ ἐν τῷ πλήθει ἀγωνίζεσθαι. Καὶ μήν, ἔφη, ὅ γε ἀριθμεῖν δυνάμενος οὐδὲν ἧττον ἐν τῷ πλήθει ἢ μόνος ἀριθμεῖ, καὶ οἱ κατὰ μόνας ἄριστα κιθαρίζοντες οὗτοι καὶ ἐν τῷ πλήθει κρατιστεύουσιν.

§ 5. Αἰδῶ δὲ καὶ φόβον, ἔφη, οὐχ ὁρᾷς ἔμφυτά τε ἀνθρώποις ὄντα, καὶ πολλῷ μᾶλλον ἐν τοῖς ὄχλοις[2] ἢ ἐν ταῖς ἰδίαις ὁμιλίαις παριστάμενα; καὶ σέ γε διδάξων, ἔφη, ὥρμημαι, ὅτι

---

§ 5, 2. ἐν τοῖς ὄχλοις] ἐν τοῖς συλλόγοις, κατὰ τὴν ἐξήγησιν τῶν πρὸ ἡμῶν· ἢ προστίθει καὶ τὰ ἐκ τοῦ Ἡσυχίου. «Ὀχλιζομένων, συναγομένων» καὶ «Ὄχλησιν (ἴσ. Ὄχλισιν). ἐκκλησίαν.» — 3. Καὶ σέ γε διδάξων, ἔφη, ὥρμημαι, ὅτι οὔτε τοὺς φρονιμωτάτους . . αἰσχύνῃ λέγειν] ΔΓ . . «ὥρμημαι, ΕΙΤΑ ΣΕ οὔτε τινὰς» καὶ κ. τ. λ. Ὅλον τοῦτο τὸ χωρίον συγχεχύσθαι καὶ οἱ πρὸ ἡμῶν

σὔτε τοὺς φρονιμωτάτους αἰδούμενος οὔτε τοὺς ἰσχυροτάτους φοβούμενος, ἐν τοῖς ἀφρονεστάτοις τε καὶ ἀσθενεστάτοις αἰσχύνη λέγειν.[3]

§ 6. Πότερον γὰρ τοὺς γναφεῖς αὐτῶν ἢ τοὺς σκυτεῖς ἢ τοὺς τέκτονας ἢ τοὺς χαλκεῖς ἢ τοὺς γεωργοὺς ἢ τοὺς ἐμπόρους ἢ τοὺς ἐν τῇ ἀγορᾷ μεταβαλλομένους,[2] καὶ φροντίζοντας, ὅτι ἐλάττονος πριάμενοι πλείονος ἀποδῶνται, αἰσχύνῃ; ἐν γὰρ τούτων ἁπάντων ἡ ἐκκλησία συνίσταται.

§ 7. Τί δὲ οἴει διαφέρειν ὁ σὺ ποιεῖς, ἢ τῶν ἀσκητῶν ὄντα κρείττω[2] τοὺς ἰδιώτας φοβεῖσθαι; ἐν γὰρ τοῖς πρωτεύουσιν ἐν τῇ πόλει[3] (ὧν ἔνιοι καταφρονοῦσί σου) ῥᾳδίως διαλεγόμενος, καὶ τῶν ἐπιμελουμένων[4] τοῦ τῇ πόλει διαλέγεσθαι πολὺ περιών, ἐν τοῖς μηδὲ πώποτε φροντίσασι τῶν πολιτικῶν μηδὲ σοῦ καταπεφρονηκόσιν ἀνεῖς λέγειν, δεδιὼς μὴ καταγελασθῇς.

§ 8. Τί δ'; ἔφη, οὐ δοκοῦσί σοι πολλάκις οἱ ἐν τῇ ἐκκλησίᾳ τῶν ὀρθῶς λεγόντων καταγελᾶν; Καὶ γὰρ καὶ οἱ ἕτεροι,[2] ἔφη· διὸ καὶ θαυμάζω σου, εἰ ἐκείνους, ὅταν τοῦτο ποιῶσι, ῥᾳδίως χειρούμενος, τούτοις μηδένα τρόπον οἴει δυνήσεσθαι προσενεχθῆναι.

§ 9. Ὦ γαθέ,[2] μὴ ἀγνόει σεαυτὸν, μηδὲ ἁμάρτανε, ἃ οἱ πλεῖστοι ἁμαρτάνουσιν. Οἱ γὰρ πολλοὶ ὡρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα, οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. Μὴ οὖν ἀπορράθυμει τούτου, ἀλλὰ διατείνου μᾶλλον πρὸς τὸ σαυτῷ προσέχειν· καὶ μὴ ἀμέλει τῶν τῆς πόλεως, εἴ τι δυνατόν ἐστι διὰ σὲ βέλτιον ἔχειν. Τούτων γὰρ καλῶς ἐχόντων, οὐ μόνον οἱ ἄλλοι πολῖται ἀλλὰ καὶ οἱ σοὶ φίλοι καὶ αὐτὸς σὺ οὐκ ἐλάχιστα ὠφελήσῃ.

ἀπεφήναντο. Εἰ ὀρθή ἐστιν ἡ διάφορος γραφὴ, «Εἶτα σὺ,» ὥσπερ μοι καὶ δοκεῖ εἶναι, ἐρωτηματίζειν χρὴ τὸ τέλος, »αἰσχύνῃ λέγειν;« ἵν' ᾖ ὁ νοῦς, «Εἶτα σὺ, ὦ Χαρμίδη, ὁ ἐν ταῖς ἰδίαις ὁμιλίαις οὔτε τοὺς φρονιμωτάτους αἰδούμενος οὔτε τοὺς ἰσχυροτάτους φοβούμενος, αἰσχύνῃ λέγειν ἐν ὄχλοις, ἐν οἷς πλεῖστοι ἀφρονέστατοι καὶ ἀσθενέστατοι;» Ἀλλὰ τούτων οὕτω νενοημένων, τὰ προηγούμενα, «Καί σέ γε διδάξων, ἔφη, ὥρμημαι» εἴτε τῷ Σωκράτῃ εἴθ', ὡς ἕτεροι εἴπασαν, τῷ Χαρμίδῃ εἰρημένα, οὐδένα νοῦν ἔξουσι. Νοητὰ δ' οὖν ἔσται, εἰ ἅπαντα μέχρι τέλος τῷ Χαρμίδῃ τις ἀπονέμοι ἀφορίσας τοῦ κειμένου τὸ ἔφη, (ὅπερ καὶ ὁ Β παρέλιπε) καὶ μεταποιήσας τὸ παρατελευταῖον «αἰσχύνῃ» εἰς τὸ αἰσχύνομαι. — § 6. 2. τοὺς ἐν τῇ ἀγορᾷ μεταβαλλομένους.] Ὅθεν καὶ αΜετάβολοι, πραγματευταί, μεταπράται· παρά τε τῷ Φωτίῳ καὶ τῷ Σουίδᾳ. Ἐλέγοντο δὲ καὶ «Κάπηλοι, καὶ Παλιγκάπηλοι.» Οἷδεν ἡ συνήθεια τοὺς μεταπράτας οὓς καὶ μεταπωλητὰς ὀνομάζει, τοὺς τὰ μικρὰ πιπράσκοντας καὶ μεταβάλλοντας· Πραγματευτὰς δὲ καλεῖ τοὺς ἐμπορευομένους τὰ μείζω καὶ τὰ τιμιώτερα. — § 7, 2. ἢ ΤΩΝ ἀσκητῶν ὄντα κρείττω κ. τ. λ.] Ἴσ. γρ. ΤΟΝ ΤΩΝ. «Ἀσκητὴς, ἀθλητὴς» φησὶν Ἡσύχιος. Ἰδιώτας, δὲ λέγει τοὺς μὴ πεπειραμένους τῶν ἀθλητικῶν γυμνασμάτων. — 3. Ἐν ΓΑΡ ΤΟΪΣ πρωτεύουσιν ἐν τῇ πόλει κ. τ. λ.] Οὕτως ἐκ διορθώσεως τοῦ Στεφάνου ἔγραψεν ὁ Σ. ἀντὶ τοῦ, ΟΥ ΓΑΡ ΕΝ ΤΟΙΣ. — 4. ἐπιμελουμένων.] ΔΓ, ἐπιμελομένων. — § 8, 2. Καὶ γὰρ καὶ οἱ ἕτεροι,] οἱ ἐν ταῖς ἰδίαις ὁμιλίαις συνόντες σοι καταγελῶσιν, ὥσπερ οἱ ἐν ταῖς ἐκκλησίαις. ἀκροώμενοί σου.

§ 9. 2. Ὦ γαθέ.] Ἐκ Δ Γ, ΑΤ, Ὦ ἀγαθέ.

ΚΕΦΑΛΑΙΟΝ VIII.

§ 1. Ἀριστίππου[2] δὲ ἐπιχειροῦντος ἐλέγχειν τὸν Σωκράτη, ὥσπερ αὐτὸς ὑπ' ἐκείνου τὸ πρότερον ἠλέγχετο, βουλόμενος τοὺς συνόντας ὠφελεῖν ὁ Σωκράτης, ἀπεκρίνατο, οὐχ ὥσπερ οἱ φυλαττόμενοι μή πη ὁ λόγος ἐπαλλαχθῇ,[3] ἀλλ' ὡς ἂν πεπεισμένοι μάλιστα πράττοιεν τὰ δέοντα.[4]

§ 2. Ὁ μὲν γὰρ αὐτὸν ἤρετο, εἴ τι εἰδείη ἀγαθόν, ἵνα, εἴ τι ἐ̓ποι τῶν τοιούτων, οἷον ἢ σιτίον ἢ ποτὸν ἢ χρήματα ἢ ὑγείαν ἢ ῥώμην ἢ τόλμαν, δεικνύῃ δὴ τοῦτο κακὸν ἐνίστε ὄν. Ὁ δὲ εἰδὼς, ὅτι, ἐάν τι ἐνοχλῇ ἡμᾶς, δεόμεθα τοῦ παύσοντος,[2] ἀπεκρίνατο, ἥπερ καὶ ποιεῖν κράτιστον.

§ 3. Ἆρα γάρ,[2] ἔφη, ἐρωτᾷς με, εἴ τι οἶδα πυρετοῦ ἀγαθόν; Οὐκ ἔγωγ', ἔφη. Ἀλλὰ ὀφθαλμίας; Οὐδὲ τοῦτο. Ἀλλὰ λιμοῦ; Οὐδὲ λιμοῦ. Ἀλλὰ μήν, ἔφη, εἴγ' ἐρωτᾷς με, εἴ τι ἀγαθὸν οἶδα, ὃ μηδενὸς ἀγαθόν ἐστιν, οὔτ' οἶδα, ἔφη, οὔτε δέομαι.

§ 4. Πάλιν δὲ τοῦ Ἀριστίππου ἐρωτῶντος αὐτὸν, εἴ τι εἰδείη καλόν; Καὶ πολλά, ἔφη. Ἆρ' οὖν, ἔφη, πάντα ὅμοια ἀλλήλοις; Ὡς οἷόν τε μὲν οὖν, ἔφη, ἀνομοιότατα ἔνια. Πῶς οὖν, ἔφη, τὸ τῷ καλῷ ἀνόμοιον καλὸν ἂν εἴη; Ὅτι, νὴ Δί', ἔφη, ἔστι μὲν τῷ καλῷ πρὸς δρόμον ἀνθρώπῳ ἄλλος ἀνόμοιος, καλὸς πρὸς πάλην· ἔστι δὲ καὶ ἀσπὶς, καλὴ πρὸς τὸ προβαλέσθαι, ὡς ἔνι ἀνομοιοτάτη τῷ ἀκοντίῳ, καλῷ πρὸς τὸ σφόδρα τε καὶ ταχὺ φέρεσθαι.

§ 5. Οὐδὲν διαφερόντως, ἔφη, ἀποκρίνῃ μοι, ἢ ὅτε σε ἠρώτησα, εἴ τι ἀγαθὸν εἰδείης. Σὺ δ' οἴει, ἔφη, ἄλλο μὲν ἀγαθὸν, ἄλλο δὲ καλὸν εἶναι; οὐκ οἶσθ', ὅτι πρὸς ταὐτὰ πάντα καλά τε καὶ ἀγαθά ἐστι; πρῶτον μὲν γὰρ ἡ ἀρετὴ οὐ πρὸς ἄλλα μὲν ἀγαθὸν, πρὸς ἄλλα δὲ καλόν ἐστιν· ἔπειτα οἱ ἄνθρωποι τὸ αὐτό τε[2] καὶ πρὸς τὰ αὐτὰ καλοὶ κἀγαθοὶ λέγονται· πρὸς τὰ αὐτὰ δὲ καὶ τὰ σώματα τῶν ἀνθρώπων καλά τε κἀγαθὰ φαίνεται· πρὸς ταὐτὰ δὲ καὶ

— § 1. 2. Ἀριστίππου.] Οὗτος ἦν Ἀριστιππος ὁ Κυρηναῖος, οὗ κἂν τοῖς πρόσθεν ἐμνήσθη, τῶν Διονυσίου κολάκων ὁ εὐφυέστατος, καὶ ἀνεκτικώτατος δὲ, ὥστε καὶ ἐμπτύεσθαι ὑπὸ τοῦ τυράννου ὑπομένειν ἡδέως. — 3. μή πη ὁ λόγος ἐπαλλαχθῇ,] Ἴσον μοί δοκεῖ δύνασθαι τὸ «Ἐπαλλάττεσθαι» ἐνταῦθα τῷ ἐν τῇ τῶν Γάλλων φωνῇ, être détorqué. Οἱ νῦν, Ὁ Σωκράτης τοῦτο μόνον ἐν τοῖς λόγοις τροπῶν, ὅπως ὠφελήσει τοὺς συνόντας, ἀπεκρίνατο τῷ σοφιστῇ Ἀριστίππῳ, οὐχ ὅσπερ ἀποκρίνεσθαι φιλοῦσιν οἱ σοφισταῖς διαλεγόμενοι, φυλαττόμενοι μὴ ὁ λόγος ὑπ' ἐκείνων ἐπαλλαχθῇ, τουτέστιν ἑτέρως ἑρμηνευθῇ· οὗτος γὰρ ἦν ὁ τρόπος τῶν σοφιστῶν, τὸ ἐπαλάττειν (détorquer) τὰ ῥήματα τῶν προσδιαλεγομένων. — 4. ὡς ἂν πεπεισμένοι μάλιστα πράττοιεν τὰ δέοντα,] οἱ συνόντες Σωκράτει καὶ ἀκροώμενοι αὐτοῦ. — § 2, 2. δεόμεθα τοῦ παύσοντος.] Τῶν ἐκδοτῶν τις ἔγραψεν ἐγκλιτικῶς, « δεόμεθά του παύσοντος » Οὐδὲν διοίσει, ὁποτέρως ἂν γράφῃς. — § 3, 2. Ἆρα γάρ.] Α Γ, Ἆρά γε. — § 5, 2. τὸ αὐτό τε]

τἆλλα πάντα, οἷς ἄνθρωποι χρῶνται, καλά τε καὶ ἀγαθὰ νομίζεται, πρὸς ἅπερ ἂν εὔχρηστα ᾖ.

§ 6. Ἆρ' οὖν, ἔφη, καὶ κόφινος κοπροφόρος καλόν ἐστιν; Νὴ Δί', ἔφη, καὶ χρυσῆ γε ἀσπὶς αἰσχρόν, ἐὰν πρὸς τὰ ἑαυτῶν ἔργα ὁ μὲν καλῶς πεποιημένος ᾖ, ὁ δὲ κακῶς. Λέγεις σύ, ἔφη, καλά τε καὶ αἰσχρὰ τὰ αὐτὰ εἶναι;

§ 7. Καὶ νὴ Δία, ἔγωγ', ἔφη, ἀγαθά τε καὶ κακά· πολλάκις γὰρ τό γε λιμοῦ ἀγαθόν,[2] πυρετοῦ κακόν ἐστι, καὶ τὸ πυρετοῦ ἀγαθόν,[3] λιμοῦ κακόν ἐστι· πολλάκις δὲ τὸ μὲν πρὸς δρόμον καλόν, πρὸς πάλην αἰσχρόν· τὸ δὲ πρὸς πάλην καλόν, πρὸς δρόμον αἰσχρόν. Πάντα γὰρ ἀγαθὰ μὲν καὶ καλά ἐστι πρὸς ἃ ἂν εὖ ἔχῃ, κακὰ δὲ καὶ αἰσχρά, πρὸς ἃ ἂν κακῶς.

§ 8. Καὶ οἰκίας δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ χρησίμους, παιδεύειν ἔμοιγ' ἐδόκει, οἵας χρὴ οἰκοδομεῖσθαι. Ἐπεσκόπει δὲ ὧδε. Ἆρά γε τὸν μέλλοντα οἰκίαν, οἵαν χρή, ἔχειν τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι καὶ χρησιμωτάτη ἔσται;

§ 9. Τούτου δὲ ὁμολογουμένου, Οὐκοῦν ἡδὺ μὲν θέρους ψυχεινὴν ἔχειν, ἡδὺ δὲ χειμῶνος ἀλεεινήν; Ἐπειδὴ δὲ καὶ τοῦτο συμφαῖεν,[2] Οὐκοῦν ἐν ταῖς πρὸς μεσημβρίαν βλεπούσαις οἰκίαις τῷ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς παστάδας[3] ὑπολάμπει, τοῦ δὲ θέρους ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος σκιὰν παρέχει. Οὐκοῦν εἴ γε καλῶς ἔχει ταῦτα οὕτω γίγνεσθαι, οἰκοδομεῖν δεῖ ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ χειμερινὸς ἥλιος μὴ ἀποκλείηται· χθαμαλώτερα δὲ τὰ πρὸς ἄρκτον, ἵνα οἱ ψυχροὶ μὴ ἐμπίπτωσιν[4] ἄνεμοι.

§ 10. Ὡς δὲ συνελόντι εἰπεῖν, ὅποι πάσας ὥρας αὐτός τε ἂν ἥδιστα καταφεύγοι καὶ τὰ ὄντα ἀσφαλέστατα τιθοῖτο, αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις εἴη. Γραφαὶ δὲ καὶ ποικιλίαι πλείονας εὐφροσύνας ἀποστεροῦσιν ἢ παρέχουσι. Ναοῖς γε

Ἐλλειπτικῶς τῆς Κατά. — 7, 2. τό γε λιμοῦ ἀγαθόν] σιτίον ἢ ποτόν. — 3. τὸ πυρετοῦ ἀγαθόν,] ἡ ἀσιτία. — § 9, 2. συμφαῖεν.] οἱ παρόντες τῷ λόγῳ. Ἡ δὲ μνημονευομένη καὶ ἀρέσκουσα τῷ Σ. ΔΓ, « συμφαίη » πρὸς τὸν Ἀρίστιππον μόνον ἂν ἀποτείνοιτο. — 3. παστάδας.] ΔΓ. παραστάδας. Ἕτερον μέν τοι ἡ παστὰς τῆς παραστάδος « Παραστάδες (φησὶν Ἡσύχιος), οἱ πρὸς τοῖς τοίχοις τετραμμένοι κίονες· » καὶ « Παστάδες, παστοί, στοαί. » Ὁ δὲ Σουΐδας « Παστὰς, ὁ παστὸς, ὁ νυμφών. » « Παστὸν » ἔτι καὶ νῦν ἡ συνήθεια ἀρσενικῶς καλεῖ τὸν νυμφῶνα (la chambre nuptiale), ἢ δῆλον καὶ ἐκ τῆς χυδαίας παροιμίας, « Ὅ,τι λάβῃ ἡ νύμφη, εἰς τὸν Παστὸν, » ὑπονοουμένου ἐπὶ τέλους τοῦ, « Τὸ λαμβάνει. » Ἐπὶ δὲ τοῦ προκειμένου χωρίου, « Παστάδας » ἐκληπτέον τὰς γυναικωνίτιδας, ἢ καὶ τὰ οἰκήματα ἐν οἷς ἐδείπνουν· σημαίνει γὰρ ἡ λέξις καὶ τοῦτο καθά φησιν Ἡσύχιος, « Παστάδες, παστοί, στοαί . . . καὶ τόποι ἔνθα ἐδείπνουν κ. τ. λ. » — 4. ἵνα οἱ ψυχροὶ μὴ ἐμπίπτωσιν.] Παρὰ δὲ τῷ Στοβαίῳ « Ἐ-

μην καὶ βωμοῖς χώραν ἔφη εἶναι πρεπωδεστάτην, ἥτις ἐμφανεστάτη[2] οὖσα καὶ ἀστιβεστάτη[3] εἴη· ἡδὺ μὲν γὰρ ἰδόντας προσεύξασθαι,[4] ἡδὺ δὲ ἀγνῶς ἔχοντας προσιέναι.[5]

ΚΕΦΑΛΑΙΟΝ IX.

§ 1. Πάλιν δὲ ἐρωτώμενος, ἡ ἀνδρία πότερον εἴη διδακτὸν ἢ φυσικόν; οἶμαι μέν, ἔφη, ὥσπερ σῶμα σώματος ἰσχυρότερον πρὸς τοὺς πόνους φύεται, οὕτω καὶ ψυχὴν ψυχῆς ἐρρωμενεστέραν πρὸς τὰ δεινὰ φύσει γίγνεσθαι. Ὁρῶ γὰρ ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους πολὺ διαφέροντας ἀλλήλων τόλμῃ.

§ 2. Νομίζω μέν τοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς ἀνδρίαν αὔξεσθαι. Δῆλον μὲν γάρ, ὅτι Σκῦθαι καὶ Θρᾷκες οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες Λακεδαιμονίοις διαμάχεσθαι· φανερὸν δέ, ὅτι καὶ Λακεδαιμόνιοι οὔτ' ἂν Θραξὶν ἐν πέλταις καὶ ἀκοντίοις, οὔτε Σκύθαις ἐν τόξοις ἐθέλοιεν ἂν διαγωνίζεσθαι.

§ 3. Ὁρῶ δ' ἔγωγε καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους, καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. Ἐκ δὲ τούτων δῆλόν ἐστιν, ὅτι πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους καὶ τοὺς ἀμβλυτέρους τὴν φύσιν, ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν καὶ μελετᾶν.

§ 4. Σοφίαν δὲ καὶ σωφροσύνην οὐ διώριζεν, ἀλλὰ τὸν τὰ μὲν καλά τε καὶ ἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς,[2] καὶ τὸν τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι, σοφόν τε καὶ σώφρονα ἔκρινε.[3]

να μὴ οἱ ψυχροὶ παρεμπίπτωσιν.»—§ 10, 2. ἐμφανεστάτη,] ἀπὸ μηκίστου φαίνεσθαι δυναμένη, μακρόθεν ἄποπτος. — 3. ἀστιβεστάτη] ἥκιστα στειβομένη· τοιαύτη δ' ἂν εἴη μακρὰν οὖσα τῶν πατουμένων ὁδῶν ἢ τριβῶν. «Ἀστιβῆ, ἄβατα» καὶ «Ἀστίβους, ἀπατήτους» φησὶν Ἡσύχιος· καὶ «Ἀστίβητοι οἶκοι, τὰ ἄδυτα» — 4. Ἰδόντας προτεύξασθαι] μακρόθεν, κατὰ τὸν παρ' Εὐριπίδῃ (Φοινισσ. 1380) Ἐτεοκλέα, ὃς

Παλλάδος χρυσάσπιδος
Βλέψας πρὸς οἶκον ηὔχετ'· Ὦ Διὸς κόρη.

ἢ καὶ τὸν Ἱππόλυτον (Ἱππολ. 102) λέγοντα περὶ τῆς Ἀφροδίτης,

Πρόσωθεν αὐτὴν ἁγνὸς ὢν ἀσπάζομαι.

— 5. ἡδὺ δὲ ἁγνῶς ἔχοντας προσιέναι] καλὸν δὲ καὶ πλησιάζειν τοῖς ναοῖς καθαροὺς ὄντας· καὶ τοιούτους εἰκὸς εἶναι μᾶλλον τοὺς δι' ἀστιβεστάτης ὁδοῦ ἢ τοὺς διὰ τετριμμένης καὶ λεωφόρου προσιόντας. — § 4, 2. τὸν τὰ μὲν καλά τε καὶ ἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς.] Προσυπακουστέον μέτον τῆς μετοχῆς καὶ τοῦ ἀπαρεμφάτου τὸ, «Ὥστε» ἵν' εὐοδῶται ἡ σύνταξις. Εἰ δὲ τὸ πρῶτον ἀρσενικὸν μεταβάλλοις εἰς οὐδέτερον (τὸ τὰ μὲν καλὰ κ. τ. λ.) καθὰ καὶ φέρεται ἐν ἀρχαίᾳ τινὶ ἐκδόσει, τηνικαῦτα ἡ συνάρτησις ἔσται, «Τὸ γιγνώσκοντα τὰ καλὰ καὶ ἀγαθὰ χρῆσθαι» τουτέστι τὸ μετὰ γνώσεως χρῆσθαι τοῖς καλοῖς καὶ ἀγαθοῖς. Καὶ ἦν ἂν οὕτως μικρῷ ἄμεινον, εἰ μὴ ἐκώλυε τὰ ἑξῆς, ὡς ἔσται δῆλον αὐτίκα. — 3. τὸν τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι, σοφόν τε καὶ σώφρονα ἔκρινε] Προσυπακουστέον ὡσαύτως, μέσον τῆς μετοχῆς καὶ τοῦ ἀπαρεμφάτου, τὸ «Ὥστε» εἰ δὲ βούλοιο μεταβάλλειν κἀντεῦθα τὸ πρῶτον ἀρσενικὸν ἄρθρον εἰς οὐδέτερον (τὸ τὰ αἰσχρὰ κ. τ. λ.), ἀποδεκτέον καὶ ἦν ὁ Στέφανος προϋβαλε διόρθωσιν τῶν ἑξῆς γράφοντα, «σοφὸν

Προσερωτώμενος δὲ, εἰ τοὺς ἐπισταμένους μὲν, ἃ δεῖ πράττειν, ποιοῦντας δὲ τἀναντία, σοφούς τε καὶ ἐγκρατεῖς εἶναι νομίζοι; Οὐδέν γε μᾶλλον, ἔφη, ἢ [τοὺς] ἀσόφους τε καὶ ἀκρατεῖς.[4] Πάντας γὰρ οἶμαι προαιρουμένους ἐκ τῶν ἐνδεχομένων, ἃ ἂν οἴωνται συμφορώτατα αὐτοῖς εἶναι, ταῦτα πράττειν. Νομίζω οὖν τοὺς μὴ ὀρθῶς πράττοντας, οὔτε σοφοὺς οὔτε σώφρονας εἶναι.

§ 5. Ἔφη δὲ καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν σοφίαν εἶναι. Τά τε γὰρ δίκαια καὶ πάντα, ὅσα ἀρετῇ πράττεται, καλά τε καὶ ἀγαθὰ εἶναι· καὶ οὔτ' ἂν τοὺς ταῦτα εἰδότας ἄλλο ἀντὶ τούτων οὐδὲν προελέσθαι, οὔτε τοὺς μὴ ἐπισταμένους δύνασθαι πράττειν, ἀλλὰ καὶ, ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν. Οὕτω καὶ τὰ καλά τε καὶ ἀγαθὰ τοὺς μὲν σοφοὺς πράττειν, τοὺς δὲ μὴ σοφοὺς οὐ δύνασθαι, ἀλλὰ καὶ, ἐὰν ἐγχειρῶσιν, ἁμαρτάννειν Ἐπεὶ οὖν τά τε δίκαια καὶ τὰ ἄλλα καλά τε καὶ ἀγαθὰ πάντα ἀρετῇ πράττεται, δῆλον εἶναι, ὅτι καὶ δικαιοσύνη καὶ ἡ ἄλλη πᾶσα ἀρετὴ σοφία ἐστί.

§ 6. Μανίαν γε μὴν ἐναντίον μὲν ἔφη εἶναι σοφίᾳ, οὐ μέν τοι γε τὴν ἀνεπιστημοσύνην[2] μανίαν ἐνόμιζεν. Τὸ δὲ ἀγνοεῖν ἑαυτὸν, καὶ ἃ μὴ οἶδε δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν, ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι. Τοὺς μέν τοι πολλοὺς ἔφη, ἃ μὲν οἱ πλεῖστοι ἀγνοοῦσι, τοὺς διημαρτηκότας τούτων οὐ φάσκειν μαίνεσθαι· τοὺς δὲ διημαρτηκότας, ὧν οἱ πολλοὶ γιγνώσκουσι, μαινομένους καλεῖν.

§ 7. Ἐάν τε γάρ τις μέγας οὕτως οἴηται εἶναι, ὥστε κύπτειν τὰς πύλας τοῦ τείχους διεξιών, ἐάν τε οὕτως ἰσχυρὸς, ὥστ' ἐπιχειρεῖν οἰκίας αἴρεσθαι, ἢ ἄλλῳ τῷ ἐπιτίθεσθαι τῶν πᾶσι δήλων ὅτι ἀδύνατά ἐστι, τοῦτον μαίνεσθαι φάσκειν· τοὺς δὲ μικρὸν διαμαρτάνοντας[2] οὐ δοκεῖν τοῖς πολλοῖς μαίνεσθαι, ἀλλ', ὥσπερ τὴν ἰσχυρὰν ἐπιθυμίαν ἔρωτα καλοῦσιν, οὕτω καὶ τὴν μεγάλην παράνοιαν μανίαν αὐτοὺς καλεῖν.

τε καὶ σώφρονος ἔκρινε.» — 4. Οὐδέν μᾶλλον, ἔφη, ἢ τοὺς ἀσόφους τε καὶ ἀκρατεῖς.] Ἐξ ΕΔ. προσείληφα τὸ ἄρθρον· ὁ γὰρ νοῦς, Τοὺς ἐπισταμένους μὲν τὰ δέοντα, ποιοῦντας δὲ τὰ μὴ δέοντα, οὐδὲν μᾶλλον σοφοὺς καὶ ἐγκρατεῖς κρίνω, ἢ τοὺς διὰ τὸ μὴ ἐπίστασθαι τὰ δέοντα ποιοῦντας τὰ μὴ δέοντα· καὶ γὰρ καὶ τοὺς λεγομένους τούτους ἐπίστασθαι μὲν τὰ δέοντα, ποιοῦντας δὲ τἀναντία, καταχρηστικῶς ἐπιστήμονας λέγεσθαι τῶν δεόντων ἐγωγέ φημι, τοὺς αὐτοὺς ὄντας τοῖς ἀσόφοις καὶ ἀνεπιστήμοσιν αὐτῶν. — § 6, 2. ἀνεπιστημοσύνην.] Ἴσως ἐγράφετο πάλαι «ἀδαημοσύνην» ὡς ὑπενόησέ τις τῶν κριτικῶν ὠομημένος ἔκ τινος Λεξικογράφου BERKKER, ANECD. GRŒC. pag. 80) λέγοντος, «Ἀδημοσύνη (γρ. Λ' ἀδαημοσύνη)· Ξενοφῶν ἀπομνημονεύμασιν». Ἔστι δὲ τῇ ἀνεπιστημοσύνῃ συνώνυμον ἡ Ἀδαημοσύνη, ἣν ὁ Ποιητὴς (Ὀδύσσ. ὠ, 243) δίχα τοῦ σ εἴρηκεν, «Ἀδαημονίη·» «Ἀδαημονίη, ἀπειρία» φησὶν Ἡσύχιος, καὶ, «Ἀδαήμονας, ἀμαθεῖς, ἀπείρους.» —

§ 7. 2. τοὺς δὲ ΜΙΚΡΟΝ διαμαρτάνοντας.] ΜΙΚΡΩΝ ὑπονοεῖ γεγράφθαι

§ 8. Φθόνον δὲ σκοπῶν, ὅ,τι εἴη, λύπην μέν τινα ἐξεύρισκεν αὐτὸν ὄντα, οὔτε μέν τοι τὴν ἐπὶ φίλων ἀτυχίαις οὔτε τὴν ἐπ' ἐχθρῶν εὐτυχίαις γιγνομένην· ἀλλὰ μόνους ἔφη φθονεῖν τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμένους. Θαυμαζόντων δέ τινων, εἴ τις φιλῶν τινα ἐπὶ τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπεμίμνησκεν, ὅτι πολλοὶ οὕτω πρός τινας ἔχουσιν, ὥστε κακῶς μὲν πράττοντας μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν, εὐτυχούντων δὲ λυπεῖσθαι. Τοῦτο δὲ φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν συμβῆναι, τοὺς ἠλιθίους δὲ δὴ πάσχειν αὐτό.

§ 9. Σχολὴν δὲ σκοπῶν, τί εἴη, ποιοῦντας μέν τι ὅλως ἅπαντας, σχολάζοντας μέντοι τοὺς πλείστους ἔφη εὑρίσκειν· καὶ γὰρ τοὺς πεττεύοντας καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι· πάντας δὲ τούτους ἔφη σχολάζειν· ἐξεῖναι γὰρ αὐτοῖς[2] ἰέναι πράξοντας τὰ βελτίω τούτων. Ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον,[3] ἀσχολίας αὐτῷ οὔσης, καλῶς ἔφη *τοῦτο* πράττειν.[4]

§ 10. Βασιλεῖς δὲ καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας, οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους, οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν.[2]

§ 11. Ὁπότε γάρ τις ὁμολογήσειε τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ,τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι, ἐπεδείκνυεν, ἔν τε νηὶ τὸν μὲν ἐπιστάμενον,[2] ἄρχοντα, τὸν δὲ ναύκληρον καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηὶ πάντας, πειθομένους τῷ ἐπισταμένῳ· καὶ ἐν γεωργίᾳ, τοὺς κεκτημένους ἀγροὺς· καὶ ἐν νόσῳ, τοὺς νοσοῦντας· καὶ ἐν σωμασκίᾳ, τοὺς σωμασκοῦντας· καὶ τοὺς ἄλλους πάντας, οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐτοὶ ἡγῶνται ἐπίστασθαι, ἐπιμελεῖσθαι· εἰ δὲ μή, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι τὰ δέοντα πράττωσιν. Ἐν δὲ ταλασίᾳ[3] καὶ τὰς γυναῖκας ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν, διὰ τὸ τὰς μὲν εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν, τοὺς δὲ μὴ εἰδέναι.

πάλαι ὁ Σ. εἰκότως ἴσως. — § 9. 2. ἐξεῖναι γὰρ αὐτοῖς κ. τ. λ.] Ἔξεστι γὰρ αὐτοῖς ἀφεμένους τῆς πεττείας καὶ τοῦ γελωτοποιεῖν, ἐπὶ βελτίονας πράξεις μεταβῆναι· ᾧ δὲ ἔξεστιν ἰέναι ὅποι ἂν βούληται, δικαίως οὗτος σχολάζειν ἂν λέγοιτο. — 3. εἰ δέ τις ἴοι, τοῦτον κ. τ. λ.] εἰ δέ τις ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χείρω μεταβαίνοι, τοῦτον ἔλεγε κακῶς πράττειν, ἀσχολίας αὐτῷ οὔσης τῆς ἐπὶ τοῖς βελτίοσιν, ἐπὶ τὰ χείρω ἰέναι, ὅπερ ἐστὶ ταὐτὸ τῷ σχολάζειν. — 4. κακῶς ἔφη τοῦτο πράττειν.] Ὅπερ ἀστερίσκοις διείληφα ἀντωνυμίαν ἀφώρισε καὶ ὁ Σ. τοῦ κειμένου· — § 10. 2. Βασιλεῖς δὲ καὶ ἄρχοντας οὐ τοὺς . . . ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν.] Καὶ δεύτερον ἂν ἔπιες τὸ κώνειον, ὦ Σώκρατες, εἰ ἀνεβίωσας, τοιαῦτα λέγων. — § 11, 2. τὸν μὲν ἐπιστάμενον] κυβερνᾶν τὴν ναῦν. — 3. ἐν δὲ ταλασίᾳ.] Καθ' Ἡσύχιον, «Ταλασία, ἐριουργία, ΕΡΓΑ-

§ 12. Εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς λέγουσιν· Καὶ πῶς ἂν, ἔφη, ἐξείη μὴ πείθεσθαι ἐπικειμένης γε ζημίας, ἐάν τις τῷ εὖ λέγοντι μὴ πείθηται;[2] ἐν ᾧ γὰρ ἄν τις πράγματι μὴ πείθηται[3] τῷ εὖ λέγοντι, ἁμαρτήσεται δήπου, ἁμαρτάνων δὲ ζημιωθήσεται.

§ 13. Εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖναι τὸν εὖ φρονοῦντα· Τὸν δὲ ἀποκτείνοντα,[2] ἔφη, τοὺς κρατίστους τῶν συμμάχων οἴει ἀζήμιον γίγνεσθαι, ἢ, ὡς ἔτυχε, ζημιοῦσθαι;[3] πότερον γὰρ ἂν μᾶλλον οἴει σώζεσθαι τὸν ταῦτα ποιοῦντα, ἢ οὕτω καὶ τάχιστ' ἂν ἀπολέσθαι;[4]

§ 14. Ἐρομένου δέ τινος αὐτὸν, τί δοκοίη αὐτῷ κράτιστον ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο, Εὐπραξίαν. Ἐρομένου δὲ πάλιν, εἰ καὶ τὴν εὐτυχίαν ἐπιτήδευμα νομίζοι εἶναι, Πᾶν μὲν οὖν τοὐναντίον ἔγωγ', ἔφη, τύχην καὶ πρᾶξιν ἡγοῦμαι· τὸ μὲν γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν δεόντων, εὐτυχίαν οἶμαι εἶναι· τὸ δὲ μαθόντα τι καὶ μελετήσαντα εὖ ποιεῖν, εὐπραξίαν νομίζω· καὶ οἱ τοῦτο ἐπιτηδεύοντες, δοκοῦσί μοι εὖ πράττειν.

§ 15. Καὶ ἀρίστους δὲ καὶ θεοφιλεστάτους ἔφη εἶναι ἐν μὲν γεωργίᾳ τοὺς τὰ γεωργικὰ εὖ πράττοντας, ἐν δὲ ἰατρείᾳ τοὺς τὰ ἰατρικά, ἐν δὲ πολιτείᾳ τοὺς τὰ πολιτικά· τὸν δὲ μηδὲν εὖ πράττοντα, οὔτε χρήσιμον οὐδὲν ἔφη εἶναι οὔτε θεοφιλῆ.

ΚΕΦΑΛΑΙΟΝ X.

§ 1. Ἀλλὰ μὴν καὶ εἴ ποτε τῶν τὰς τέχνας ἐχόντων, καὶ ἐργασίας ἕνεκα χρωμένων αὐταῖς, διαλέγοιτό τινι, καὶ τούτοις ὠφέ-

---

ΣΙΑ » Τρέπε τὴν τελευταίαν λέξιν εἰς τὸ ἘΡΙΩΝ ἘΡΓΑΣΙΑ. — § 12, 2. ἐάν τις τῷ εὖ λέγοντι μὴ πείθηται.] Παρὰ τῷ Στοβαίῳ . . . πίθηται. Εἰκὸς δέ φασι τὸν Ξενοφῶντα ὧδε τὸ Ἡσιόδειον (Ἔργ. καὶ ἡμ. 295) αἰνίττεσθαι τοῦτο.

Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.

— 3. πράγματι μὴ πείθηται.] Καὶ πάλιν πίθηται ὁ Στοβαῖος· Ἡ δὲ διὰ τοῦ τ γραφὴ, τῶν Ἰώνων οὖσα, χώραν ἔχει καὶ ἐν τῷ συνθέτῳ Ἀπιθέω (συνηρημένως Ἀπιῶ), καθα δηλοῖ καὶ τὸ παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. ά, 220) «Οὐδ' ἀπίθησε μύθῳ Ἀθηναίης.» Καὶ ἔστιν ἐντεῦθεν διορθοῦν καὶ τὸ Ἱπποκράτους τόδε χωρίον (Προρρήτ. Β, § 11, σελ. 496) τέως ἠμελημένον· «Ἐξαπατέουσι »δὲ τοὺς ἀλγέοντας οὗτοι οἱ ὕδρωπες, »ὥστε ποιέουτιν αὐτοὺς ἈΠΙΟΝΤΑΣ τοι»σιν ἰητροῖσιν ἀπόλυσθαι.» Δῆλον γὰρ ὅτι γραπτέον, ἈΠΙΘΕΟΝΤΑΣ ἢ ἈΠΙΘΕΥΝΤΑΣ, χαίρειν φράσαντας τῇ ἑρμηνείᾳ τῶν μεταφρασάντων εἰς τὴν Λατίνων φωνὴν, ut a medicis discedant, ὡς ὁ Κορνάριος, ἢ relictis medicis, κατὰ τὸν Φρέσιον, ὥσπερ ἂν εἰ ἐγέγραπτο »Ἀπιόντας ἀπὸ τῶν ἰητρῶν. — § 13, 2. Τὸν δὲ ἀποκτείνοντα.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ἀνθ' ἧς ὁ Σ. προείλετο τὴν ἐκ τοῦ Στοβαίου, ἀποκτείναντα. — 3. ἢ, ὡς ἔτυχε, ζημιοῦσθαι,] ἢ ζημιοῦσθαι τὴν τυχοῦσαν ζημίαν, τουτέστι μικράν. — 4. ἢ οὕτω καὶ ΤΑΧΙΣΤ' ἂν ἀπολέσθαι;] ἢ τοῦτον τὸν τρόπον πράττοντα, ἀποκτείνοντα δηλονότι τοὺς συμμάχους, οὐκ εἰς μακρὰν καὶ αὐτὸν ἂν ἀπολέσθαι. Ὑπενόει τις τῶν κριτικῶν οὐκ ἀπιθάνως οὐδ' ἀκόμψως, γεγράφθαι πάλαι, ΚΑΚΙΣΤ'. Ἴσως μέντοι γραπτέον ΤΑΧΙΟΝ, ἢ ΘΑΤΤΟΝ, citius, ὡς ἡρμήνευσεν ὁ Β.

λιμος ἦν. Εἰσελθών μέν γάρ ποτε πρὸς Παῤῥάσιον τὸν ζωγράφον, καὶ διαλεγόμενος αὐτῷ, Ἆρα, ἔφη, ὦ Παῤῥάσιε, ἡ γραφικὴ ἐστιν εἰκασία τῶν ὁρωμένων; τὰ γοῦν κοίλα καὶ τὰ ὑψηλά, καὶ τὰ σκοτεινὰ καὶ τὰ φωτεινά, καὶ τὰ σκληρὰ καὶ τὰ μαλακά, καὶ τὰ τραχέα καὶ τὰ λεῖα, καὶ τὰ νέα καὶ τὰ παλαιὰ σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε.

§ 2. Ἀληθῆ λέγεις, ἔφη. Καὶ μὴν τά γε καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἅμεμπτα πάντα ἔχοντι, ἐκ πολλῶν συνάγοντες[2] τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι;

§ 3. Ποιοῦμεν γάρ, ἔφη, οὕτως. Τί γάρ; ἔφη, τὸ πιθανώτατόν[2] τε καὶ ἥδιστον καὶ φιλικώτατον καὶ ποθεινότατον καὶ ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος; ἢ οὐδὲ μιμητόν ἐστι τοῦτο; Πῶς γὰρ ἄν, ἔφη, μιμητὸν εἴη, ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν[3] μήτε χρῶμα μήτε ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει, μηδὲ ὅλως ὁρατόν ἐστιν;

§ 4. Ἆρ' οὖν,[2] ἔφη, γίγνεται ἐν ἀνθρώπῳ τό τε φιλοφρόνως καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν τοῦτό γε μιμητὸν ἐν τοῖς ὄμμασιν; Καὶ μάλα, ἔφη. Ἐπὶ δὲ τοῖς τῶν φίλων[3] ἀγαθοῖς καὶ τοῖς κακοῖς ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα οἵ τε φροντίζοντες[4] καὶ οἱ μή; Μὰ Δί', οὐ δῆτα, ἔφη· ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς φαιδροί, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ γίγνονται. Οὐκοῦν ἔφη, καὶ ταῦτα δυνατὸν ἀπεικάζειν; Καὶ μάλα, ἔφη.

§ 5. Ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον καὶ

---

§ 2. 2. ἐκ πολλῶν συνάγοντες.] ἐκ πολλῶν ἀνθρώπων συναθροίζοντες. ΔΓ, συναγαγόντες. Ζεῦξιν τοῦτο ποιῆσαι φησὶν ὁ Κικέρων (de invent. II, 1) συναγαγόντα πέντε Κροτωνιατῶν παρθένους τὰς καλλίστας, ἐξ ὧν ἔγραψε τὴν Ἑλένην. Καὶ ἔστι τὸ τοιοῦτον κάλλος, τὸ τοῖς Γάλλοις καλούμενον beau idéal, ὅπερ ἡμῖν οὐ μόνον Φανταστὸν κάλλος, ἀλλὰ καὶ Συναχτὸν κάλλος ἑρμηνεύειν ἔξεστι. — § 3, 2. τὸ πιθανώτατον] Ἰσως γραπτέον μετὰ τῆς ἀνωτέρω ὑποστιγμῆς, Οὐ τὸ πιθανώτατον; ὥσπερ ἐδόκει τῷ Στεφάνῳ. — 3. Πῶς γὰρ ἄν, ἔφη, μιμητὸν εἴη . . . ὃ μήτε συμμετρίαν κ. τ. λ.] Πρῶτος ὁ Παῤῥάσιος συμμετρίαν τοῖς γραφομένοις ἔδωκεν primus symmetriam picturæ dedit, ἧ φησι Πλίνιος (XXXV, 10). Δι' ὃ καὶ ἠπορήθη, διὰ τί ὁ παρὰ τῷ Ξενοφῶντι Παῤῥάσιος ἥκιστα μιμητὸν εἶναι τῇ γραφῇ τὸ τῆς ψυχῆς ἦθος λέγει, Πλινίου τὴν τοῦ ἤθους μίμησιν Παῤῥασίῳ μάλιστ' ἀπονείμαντος, ἐν οἷς λέγει (IBID.) ὅτι γράψας τὸν Ἀθηναίων δῆμον, ἐν τῇ εἰκόνι ἔδειξε τὸ ποικίλον τοῦ ἤθους· Pinxit Demon Atheniensium, argumento quoque ingenioso. Volebat namque varium, iracundum, inconstantem: eumdem exorabilem clementem, misericordem, etc. Ἀλλ' ἔττιν εἰπεῖν, ὅτι Παῤῥάσιος οὐ πεπεισμένος τοῦτο ἀποφαίνεται, ἀλλὰ κινῆσαι τὸν Σωκράτην βουλόμενος, εἰδὼς αὐτὸν πολλὰ καὶ καλὰ περὶ πολλῶν πολλάκις διαλεγόμενον. — § 4. 2. Ἆρ' οὖν,] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ἣν ὁ Σ. ἔτρεψεν εἰς τὸ ἀρνητικόν, Ἆρ' οὐχί; Τὴν αὐτὴν γὰρ ἀπόφασιν ἐμφαίνει πως καὶ ἡ ἐρωτηματικὴ στίξις. — 3. Ἐπὶ δὲ τοῖς τῶν φίλων.] Ἀφορίζει τὰς τελευταίας δύο λέξεις (τῶν φίλων) τοῦ κειμένου, μηδὲν δέον ὁ Λ. — 4. οἵ τε φρον-

τὸ ταπεινόν τε καὶ ἀνελεύθερον, καὶ τὸ σωφρονικόν[2] τε καὶ φρόνιμον καὶ τὸ ὑβριστικόν τε καὶ ἀπειρόκαλον καὶ διὰ τοῦ προσώπου καὶ διὰ τῶν σχημάτων καὶ ἑστώτων καὶ κινουμένων ἀνθρώπων διαφαίνει.[3] Ἀληθῆ λέγεις, ἔφη. Οὐκοῦν καὶ ταῦτα μιμητά; Καὶ μάλα, ἔφη· Πότερον οὖν, ἔφη, νομίζεις ἥδιον ὁρᾶν τοὺς ἀνθρώπους, δι' ὧν τὰ καλά τε κἀγαθὰ καὶ ἀγαπητὰ ἤθη φαίνεται, ἢ δι' ὧν τὰ αἰσχρά τε καὶ πονηρὰ καὶ μισητά; Πολὺ νή Δί', ἔφη, διαφέρει, ὦ Σώκρατες.

§ 6. Πρὸς δὲ Κλείτωνα[2] τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε, καὶ διαλεγόμενος αὐτῷ, Ὅτι μέν, ἔφη, ὦ Κλείτων, ἀλλοίους ποιεῖς δρομεῖς[3] τε καὶ παλαιστὰς καὶ πύκτας καὶ παγκρατιστάς, ὁρῶ γε[4] καὶ οἶδα· ὁ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους, τὸ ζωτικὸν φαίνεσθαι, πῶς τοῦτο ἐνεργάζῃ τοῖς ἀνδριάσιν;

§ 7. Ἐπεὶ δὲ ἀπορῶν ὁ Κλείτων οὐ ταχὺ ἀπεκρίνατο, Ἆρ', ἔφη, τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον, ζωτικωτέρους ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; Καὶ μάλα, ἔφη. Οὐκοῦν τά τε ὑπὸ τῶν σχημάτων καταστρώμενα καὶ τὰ ἀναστρώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα καὶ τὰ διελκόμενα, καὶ τὰ ἐντεινόμενα καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά τε τοῖς ἀληθινοῖς καὶ πιθανώτερα ποιεῖς φαίνεσθαι; Πάνυ μὲν οὖν, ἔφη.

§ 8. Τὸ δὲ καὶ τὰ πάθη τῶν ποιούντων τι[2] σωμάτων ἀπομιμεῖσθαι, οὐ ποιεῖ τινα τέρψιν τοῖς θεωμένοις; Εἰκός γ' οὖν, ἔφη. Οὐκοῦν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα ἀπεικαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα;[3] Σφόδρα γε, ἔφη. Δεῖ ἄρα, ἔφη, τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν.[4]

§ 9. Πρὸς δὲ Πιστίαν[2] τὸν θωρακοποιὸν εἰσελθών, ἐπιδείξαντος αὐτοῦ τῷ Σωκράτει θώρακας εὖ εἰργασμένους, Νὴ τὴν Ἥ-

---

τιζοντες] τῶν φίλων. — § 5, 2. σωφρονικόν.] Ἐκ ΔΓ, ΑΤ, σωφρονητικόν. — 3. διαφαίνει.] Ἴσον οὐδὲ δύναται τῷ οὐδετέρῳ percer τῶν Γάλλων. — § 6, 2. Πρὸς δὲ Κλείτωνα] Παρὰ δὲ τῷ Στοβαίῳ μονοφθόγγως, Κλίτωνα. Οὐδαμόθεν ἄλλοθεν ἔγνωσται ὁ ἀνδριαντοποιὸς οὗτος Κλείτων, ὃν μετεποίησα ἂν εἰς τὸν Κλέωνα, εἴ γέ μοι δῆλος ἦν μᾶλλον ὁ παρὰ τῷ Πλινίῳ (XXXIV, 9, § 27) ἀνδριαντοποιὸς Κλέων. — 3. ἀλλοίους ποιεῖς δρομεῖς.] δρομέας ὤφειλεν εἶναι ἡ αἰτιατική, κατὰ τοὺς Ἀττικιστὰς (εἴρηκε μέντοι καὶ ἀνωτέρω (Γ, IX, § 10) βασιλεῖς. — 4. ὁρῶ γε] Ἐκ τῆς παρὰ τῷ Στοβαίῳ γραφῆς, ΑΤ, ὁρῶ τε. — § 8, 2. τὰ ΠΑΘΗ τῶν ποιούντων τι κ. τ. λ.] Ὁ Στοβαῖος, ΗΘΗ. — 3. τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα.] Ἐν τῇ Στεφανείῳ ἐλδότει φέρεται, «τῶν δὲ νενικηκότων ΕΥ'ΦΡΑΙΝΟΜΕΝΩΝ »ὄψις μιμητέα,» ὃ μετεποίησεν ὁ Σ. εἰς τὸ . . . ΕΥ'ΦΡΑΙΝΟΜΕΝΗ ἡ ὄψις. Τῆς διορθώσεως ταύτης μόνον τὸ θηλυκὸν ἄρθρον προσείληφα. Ὁ νοῦς, Νενικηκότας δὲ γράφοντα, μιμητέον ὄψιν εὐφραινομένων. — 4. τὰ τῆς ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν,] πρὸς τῷ τοῦ σώματος εἴδει τὰ τῆς ψυχῆς πάθη εἰκάζειν, καὶ σῶμα καὶ ψυχὴν εἰκονίζειν. — § 9, 2. Πρὸς δὲ Πιστίαν.] Ἀντισθένης δὲ (παρ' Ἀθην. σελ. 220) Πίστωνα τοῦτον

ραν, ἔφη, καλόν γε, ὦ Πιστία, τὸ εὕρημα, τὸ τὰ μὲν δεόμενα σκέπης τοῦ ἀνθρώπου σκεπάζειν τὸν Θώρακα, ταῖς δὲ χερσὶ μὴ κωλύειν χρῆσθαι.

§ 10. Ἀτάρ, ἔφη, λέξον μοι, ὦ Πιστία, διὰ τί οὔτε ἰσχυροτέρους οὔτε πολυτελεστέρους τῶν ἄλλων ποιῶν τοὺς Θώρακας, πλείονος πωλεῖς; Ὅτι, ἔφη, ὦ Σώκρατες, εὐρυθμοτέρους ποιῶ. Τὸν ῥυθμὸν δ', ἔφη, πότερα μέτρῳ ἢ σταθμῷ ἐπιδεικνύων,[2] πλείονος τιμᾷς; οὐ γὰρ δὴ ἴσους γε πάντας οὐδὲ ὁμοίους, οἶμαί σε ποιεῖν εἴ γε ἁρμόττοντας ποιεῖς. Ἀλλὰ νὴ Δί', ἔφη, ποιῶ·[3] οὐδὲν γὰρ ὄφελός ἐστι Θώρακος ἄνευ τούτου.[4]

§ 11. Οὐκοῦν, ἔφη, σώματά γε ἀνθρώπων τὰ μὲν εὔρυθμά ἐστι, τὰ δὲ ἄῤῥυθμα; Πάνυ μὲν οὖν, ἔφη. Πῶς οὖν, ἔφη, τῷ ἀῤῥύθμῳ σώματι ἁρμόττοντα τὸν Θώρακα εὔρυθμον ποιεῖς;[2] Ὥσπερ καὶ ἁρμόττοντα, ἔφη· ὁ ἁρμόττων γάρ ἐστιν εὔρυθμος.

§ 12. Δοκεῖς μοι, ἔφη ὁ Σωκράτης, τὸ εὔρυθμον οὐ καθ' ἑαυτὸ λέγειν, ἀλλὰ πρὸς τὸν χρώμενον· ὥσπερ ἂν εἰ φαίης ἀσπίδα, ᾧ ἐὰν ἁρμόττῃ,[2] τούτῳ εὔρυθμον εἶναι, καὶ χλαμύδα, καὶ τἄλλα ὡσαύτως ἔοικεν ἔχειν τῷ σῷ λόγῳ.

§ 13. Ἴσως δὲ καὶ ἄλλο τι οὐ μικρὸν ἀγαθὸν τῷ ἁρμόττειν πρόσεστι. Δίδαξον, ἔφη, ὦ Σώκρατες, εἴ τι ἔχεις. Ἧττον, ἔφη, τῷ βάρει πιέζουσιν οἱ ἁρμόττοντες τῶν ἀναρμόστων, τὸν αὐτὸν σταθμὸν ἔχοντες. Οἱ μὲν γὰρ ἀνάρμοστοι, ἢ ὅλοι ἐκ τῶν ὤμων κρεμάμενοι ἢ καὶ ἄλλο τι τοῦ σώματος σφόδρα πιέζοντες, δύσφοροι καὶ χαλεποὶ γίγνονται· οἱ δὲ ἁρμόττοντες, διειλημμένοι τὸ βάρος τὸ μὲν ὑπὸ τῶν κλειδῶν καὶ ἐπωμίδων, τὸ δὲ ὑπὸ τῶν ὤμων, τὸ δὲ ὑπὸ τοῦ στήθους, τὸ δὲ ὑπὸ τοῦ νώτου, τὸ δὲ ὑπὸ τῆς γαστρός, ὀλίγου δεῖν οὐ φορήματι ἀλλὰ προσθήματι ἐοίκασιν.[2]

καλεῖ. Συμβαίνει δ' ἡ τοιαύτη διαφωνία ποτὲ μὲν διὰ τοὺς ἀντιγραφέας, ποτὲ δὲ καὶ διὰ τὸ παρ' ἅπασι κοινὸν ἔθος τοῦ ποικίλλειν τὰ κυριωνυμικά· οὕτω γὰρ καὶ Κρίτων καὶ Κριτίας, καὶ Νίκων καὶ Νικίας. — § 10, 2. ἐπιδεικνύων.] Μεταμέλει μοι μὴ γράψαντι «ἀποδεικνύων» ὡς ἠβούλετο μέν, οὐκ ἔγραψε δὲ οὐδ' ὁ Σ. — 3. νὴ Δί', ἔφη, ποιῶ] ἁρμόττοντας. — 4. ἄνευ τούτου] τοῦ ἁρμόζειν — § 11, 2. Πῶς οὖν, ἔφη, ΤΩ ἀῤῥύθμῳ σώματι ἁρμόττοντα ΤΟΝ ΘΩΡΑΚΑ εὔρυθμον ποιεῖς;] Ἴσως ἐγέγραπτο: «Πῶς οὖν ΤΟΝ ἀῤῥύθμῳ σώματι ἁρμόττοντα ΘΩΡΑΚΑ εὔρυθμον ποιεῖς;» δι' ἑνὸς ἄρθρου. Ὁ δ' οὖν νοῦς, Πῶς δύνασαι ποιεῖν τινι, ἄῤῥυθμον ἔχοντι τὸ σῶμα, εὔρυθμον Θώρακα; — § 12, 2. ᾧ ἐὰν ἁρμόττῃ.] Ἴσως γραφικῶς ἡμάρτηται, ἀντὶ τοῦ, «ᾧ ἂν ἁρμόττῃ.» Οὐ γὰρ τῶν δοκίμων ἡ χρῆσις τοῦ Ἐὰν, ἀντὶ τοῦ ἀριστολογικοῦ, Ἄν, ἀλλὰ τῶν μεταγενεστέρων, καὶ μάλιστα τῶν ἱερῶν συγγραφέων· οἷόν ἐστι τὸ «ᾧ »ἐὰν βούληται» τοῦ Εὐαγγελιστοῦ Λουκᾶ (ί, 22), καὶ ἕτερα τοιαῦτα παρὰ τοῖς λοιποῖς. — § 13, 2. οὐ φορήματι, ἀλλὰ ΠΡΟΣΘΗΜΑΤΙ ἐοίκασιν.] Διαφόρως ἐξηγήσαντο οἱ πρὸ ἡμῶν τὸ Πρόσθημα. Ἴσως γραπτέον ΠΡΟΣΧΗΜΑΤΙ. Φόρημα μὲν λέγεται, πᾶν ὅ,τι τις φέρει ἢ βαστάζει, καὶ ἰδιαιτέρως τὸ ἔνδυμα, τὸ ἐν τῇ συνηθείᾳ καλούμενον Φόρεμα. Τὸ Πρόσχημα δ' ἐξηγοῦνται κυρίως οἱ γραμματικοὶ προκάλυμμα (ἢ προσκάλυμμα) κόσμον, καλλώπισμα· κατὰ πλείονα δὲ

§ 14. Εἴρηκας, ἔφη, αὐτὸ, δι' ὅπερ ἔγωγε τὰ ἐμὰ ἔργα πλείστου ἄξια νομίζω εἶναι. Ἔνιοι μέντοι τοὺς ποικίλους καὶ τοὺς ἐπιχρύσους θώρακας μᾶλλον ὠνοῦνται. Ἀλλὰ μήν, ἔφη, εἴ γε διὰ ταῦτα μὴ ἁρμόττοντας ὠνοῦνται, κακὸν ἔμοι γε δοκοῦσι ποικίλον τε καὶ ἐπίχρυσον ὠνεῖσθαι.

§ 15. Ἀτάρ, ἔφη, τοῦ σώματος μὴ μένοντος ἀλλὰ τοτὲ μὲν κυρτουμένου, τοτὲ δὲ ὀρθουμένου, πῶς ἂν ἀκριβεῖς θώρακες ἁρμόττοιεν; Οὐδαμῶς, ἔφη. Λέγεις, ἔφη, ἁρμόττειν οὐ τοὺς ἀκριβεῖς, ἀλλὰ τοὺς μὴ λυποῦντας ἐν τῇ χρείᾳ. Αὐτὸ, ἔφη, τοῦτο λέγω[2] ὦ Σώκρατες, καὶ τὰ νῦν ὀρθῶς ἀποδέχῃ.[3]

ΚΕΦΑΛΑΙΟΝ XI.

§ 1. Γυναικὸς δέ ποτε οὔσης ἐν τῇ πόλει καλῆς, ᾗ ὄνομα ἦν Θεοδότη,[2] καὶ οἵας συνεῖναι τῷ πείθοντι,[3] μνησθέντος αὐτῆς τῶν παρόντων τινὸς, καὶ εἰπόντος, ὅτι κρεῖττον εἴη λόγου τὸ κάλλος τῆς γυναικὸς, καὶ ζωγράφους φήσαντος εἰσιέναι πρὸς αὐτὴν ἀπεικασομένους, οἷς ἐκείνην ἐπιδεικνύειν ἑαυτῆς ὅσα καλῶς ἔχοι.[4] Ἰτέον ἂν εἴη θεασομένους, ἔφη, ὁ Σωκράτης· οὐ γὰρ δὴ ἀκούσασί γε τὸ τοῦ λόγου κρεῖττόν ἐστι καταμαθεῖν. Καὶ ὁ διηγησάμενος, οὐκ ἂν φθάνοιτ', ἔφη, ἀκολουθοῦντες;

§ 2. Οὕτω μὲν δὴ πορευθέντες πρὸς τὴν Θεοδότην, καὶ καταλαβόντες ζωγράφῳ τινὶ παρεστηκυῖαν, ἐθεάσαντο. Παυσαμένου δὲ τοῦ ζωγράφου, Ὦ ἄνδρες, ἔφη ὁ Σωκράτης, πότερον ἡμᾶς δεῖ μᾶλλον Θεοδότῃ χάριν ἔχειν, ὅτι ἡμῖν τὸ κάλλος ἑαυτῆς ἐπέδειξεν, ἢ ταύτην, ἡμῖν, ὅτι ἐθεασάμεθα; Ἆρ' εἰ μὲν ταύτῃ ὠφελιμωτέρα ἐστὶν ἡ ἐπίδειξις, ταύτην ἡμῖν χάριν ἐκτέον·[3] εἰ δὲ ἡμῖν ἡ θέα, ἡμᾶς ταύτῃ;[2]

§ 3. Εἰπόντος δέ τινος, ὅτι δίκαια λέγοι, Οὐκοῦν, ἔφη, αὕτη μὲν ἤδη τε τὸν παρ' ἡμῶν ἔπαινον κερδαίνει, καὶ, ἐπειδὰν εἰς πλείους διαγγείλωμεν, πλείω ὠφελήσεται·[2] ἡμεῖς δὲ ἤδη τε, ὧν ἐθεασάμε-

---

χρῆσιν μεταφορικῶς, πρόφασιν. Εἴη δ' ἂν οὖν ἐνταῦθα ὁ νοῦς, Οἱ ἁρμόττοντες τῷ σώματι θώρακες μικροῦ δεῖν παραπλήσιοί εἰσιν οὐ φορήματι, ἀλλὰ προσκαλύμματι τινὶ, ἐπιβαλλομένῳ τοῖς φορήματι χρείας ἢ κόσμου ἕνεκα. — § 15, 2. Αὐτὸ . . . τοῦτο λέγω.] ΗΔ, ΑΤ (Στεφανείου γραφῆς) »Αὐτὸς . . . τοῦτο »λέγεις» ἦν ὁ Σ. καὶ ἕτεροι μετεποίησαν εἰς τὴν, »Αὐτὸς . . . τοῦτο λέγω.» Ἄλλοι δὲ γράφειν προείλοντο, «Αὐτὸ . «. . τοῦτο λέγεις.» Ἡ ἡμετέρα διόρθωσις εἴη ἂν ἑρμηνευομένη Γαλλιστὶ, c'est cela même, Socrate, que je dis. — 3. καὶ τὰ νῦν ὀρθῶς ἀποδέχῃ] καὶ νῦν, ὦ Σώκρατες, νοεῖς ὀρθῶς ὅ,τι λέγω.

§ 1, 2. Θεοδότη] Τῆς ἐπιφανοῦς ταύτης Ἀττικῆς ἑταίρας μνημονεύει καὶ ὁ Ἀθήναιος (σελ. 574) Ἀλκιβιάδου λέγων ἐρωμένην γενέσθαι, ἣ καὶ στρατηγοῦντι τῷ Ἀλκιβιάδῃ συνεπορεύετο, καὶ ἀποθανόντα, ἐπιβουλῇ Φαρναβάζου, ἐκήδευσε. — 3. τῷ πείθοντι] λόγοις ἢ χρήμασι. — 4. ὅσα καλῶς ἔχοι] ὅσα τοῦ σεμνοῦ ὀπωστοῦν μὴ ἐκβαίνοι. — § 2. 2. ΑΡ' εἰ μὲν . . . ἡμᾶς ταύτῃ.] Οὕτως ἅπαντες ἀνερωτηματίστως, καίπερ περισπάσαντες τὸ Ἆρα. Ἐμοὶ δ' οὖν δοκεῖ γεγράφθαι πάλαι, «ΑΛΛ' εἰ μὲν . . . ἡμᾶς ταύτῃ. — 3. ταύτην ἡμῖν χάριν ἑκτέον] τὴν Θεοδότην δεῖ χάριν ἡμῖν ἔχειν. — § 3, 2. ὠφελήσεται.] Ἐκ

θα, ἐπιθυμοῦμεν ἅψασθαι, καὶ ἅπιμεν ὑποκνιζόμενοι,[3] καὶ ἀπελθόντες ποθήσομεν. Ἐκ δὲ τούτων εἰκὸς, ἡμᾶς μὲν θεραπεύειν, ταύτην δὲ θεραπεύεσθαι. Καὶ ἡ Θεοδότη, νὴ Δί', ἔφη, εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ἐμὲ ἂν δέοι ὑμῖν τῆς θέας χάριν ἔχειν.

§ 4. Ἐκ δὲ τούτου ὁ Σωκράτης, ὁρῶν αὐτήν τε πολυτελῶς κεκοσμημένην, καὶ μητέρα παροῦσαν αὐτῇ ἐν ἐσθῆτι καὶ θεραπείᾳ οὐ τῇ τυχούσῃ, καὶ θεραπαίνας πολλὰς καὶ εὐειδεῖς, καὶ οὐδὲ ταύτας ἠμελημένως ἐχούσας, καὶ τοῖς ἄλλοις τὴν οἰκίαν ἀφθόνως κατεσκευασμένην, Εἰπέ μοι, ἔφη, ὦ Θεοδότη, ἔστι σοι ἀγρός; Οὐκ ἔμοιγ', ἔφη. Ἀλλ' ἄρα οἰκία προσόδους ἔχουσα; Οὐδὲ οἰκία, ἔφη. Ἀλλὰ μὴ χειροτέχναι τινές; Οὐδὲ χειροτέχναι, ἔφη. Πόθεν οὖν, ἔφη, τὰ ἐπιτήδεια ἔχεις; Ἐάν τις, ἔφη, φίλος μοι γενόμενος, εὖ ποιεῖν ἐθέλῃ, οὗτός μοι βίος ἐστί.

§ 5. Νὴ τὴν Ἥραν, ἔφη, ὦ Θεοδότη, καλόν γε τὸ κτῆμα, καὶ πολλῷ κρεῖττον οἴων τε καὶ βοῶν καὶ αἰγῶν, φίλων ἀγέλην κεκτῆσθαι. Ἆτάρ, ἔφη, πότερον τῇ τύχῃ ἐπιτρέπεις, ἐάν τίς σοι φίλος, ὥσπερ μυῖα, προσπτῆται, ἢ καὶ αὐτή τι μηχανᾷ;

§ 6. Πῶς δ' ἄν, ἔφη, ἐγὼ τούτου μηχανὴν εὕροιμι; Πολὺ νὴ Δί', ἔφη, προσηκόντως μᾶλλον ἢ αἱ φάλαγγες,[2] οἶσθα γάρ, ὡς ἐκεῖναι θηρῶσι τὰ πρὸς τὸν βίον· ἀράχνια γὰρ δήπου λεπτὰ ὑφηνάμεναι, ὅ,τι ἂν ἐνταῦθα ἐμπέσῃ τούτῳ τροφῇ χρῶνται.

§ 7. Καὶ ἐμοί οὖν, ἔφη, συμβουλεύεις ὑφήνεσθαί τι θήρατρον, οὐ γὰρ δὴ ἔφη οὕτω γε ἀτέχνως[2] οἴεσθαι χρὴ τὸ πλείστου ἄξιον ἄγρευμα, φίλους, θηράσειν. Οὐχ ὁρᾷς, ὅτι καὶ τὸ μικροῦ ἄξιον, τοὺς λαγώς, θηρῶντες πολλὰ τεχνάζουσιν;

§ 8. Ὅτι μὲν γὰρ τῆς νυκτὸς νέμονται, κύνας νυκτερευτικὰς πορισάμενοι, ταύταις αὐτοὺς θηρῶσιν· ὅτι δὲ μεθ' ἡμέραν ἀποδιδράσκουσιν, ἄλλας κτῶνται κύνας, αἵτινες, ἢ ἂν ἐκ τῆς νομῆς εἰς τὴν εὐνὴν ἀπέλθωσι,[2] τῇ ὀσμῇ αἰσθανόμεναι, εὑρίσκουσιν αὐτούς·

ΔΓ, ΑΤ, ὠφεληθήσεται. — 3. ὑποκνιζόμενοι,] οἱονεὶ τεμνόμενοι ἢ ξεόμενοι ὑπὸ τῆς ἐπιθυμίας «Κνίζων, λυπῶν, ἢ τέμνων» φησὶν ὁ Φώτιος. Καὶ τὸ Κνύζειν δὲ ἢ Κνύειν, καὶ τὸ Κνήθειν, καὶ τὸ θεματικώτερον Κνᾶν, τὴν αὐτὴν ἢ παραπλησίαν ἔχουσι σημασίαν. «Κνύειν, »ξύειν καὶ κνήθειν» κατὰ τὸν αὐτὸν Φώτιον. Ὅθεν καὶ τὸ Kneifen τῶν Γερμανῶν ῥῆμα καὶ τὸ Kneif ὄνομα, ἐξ οὗ τὸ παρὰ τοῖς Γάλλοις canif.

§ 6, 2. αἱ φάλαγγες,] ἃς ἀνωτέρω (Α'. III, 12.) —φαλάγγια» ὑποχριστικῶς ἔφρασε. — § 7, 2. Οὐ γὰρ δὴ ἔφη, οὕτω γε ἀτέχνως κ. τ. λ.] Ἀποκατέστησα τὴν ἐν τῇ Στεφανείῳ ἐκδόσει τάσιν, «ἀτέχνως» τῶν λοιπῶν περισπασάντων, «ἀτεχνῶς»· καὶ γὰρ ὁμοφώνως οἱ γραμματικοὶ διέκριναν τὸ σημαινόμενον τῇ διακρίσει τῆς τάσεως. Ὁ γοῦν Ἁρποκρατίων φησίν, «Ἀτεχνῶς· περισπωμένως μέν, »ἀντὶ τοῦ σαφῶς ἢ βεβαίως ἢ ἀσφαλῶς »ἢ φανερῶς· παροξυτόνως δὲ, ἀντὶ τοῦ »ἀμελῶς καὶ ἄνευ τέχνης.» Σημειωτέον δὲ, ὅτι ἀντὶ τοῦ, «οὕτω γε,» ὁ Βησσαρίων ἑτέρᾳ γραφῇ πιθανωτέρᾳ, «Οὕτω σε,» ἢ Οὕτω γέ σε (existimandum te), ἐντυχὼν δῆλός ἐστι. Ὁ νοῦς, οὐ γὰρ ὀφείλεις ὑπολαμβάνειν, ὅτι οὕτως ἄνευ τινὸς τέχνης δυνήσῃ θηρᾶν φίλους,

ὅτι δὲ ποδώκεις εἰσίν, ὥστε καὶ ἐκ τοῦ φανεροῦ τρέχοντες ἀποφεύγειν, ἄλλας αὖ κύνας ταχείας παρασκευάζονται, ἵνα κατὰ πόδας ἁλίσκωνται.[3] ὅτι δὲ καὶ ταύτας αὐτῶν τινες ἀποφεύγουσι, δίκτυα ἱστᾶσιν εἰς τὰς ἀτραπούς, ἢ φεύγουσιν, ἵν' εἰς ταῦτα ἐμπίπτοντες συμποδίζωνται.

§ 9. Τίνι οὖν, ἔφη, τοιούτῳ φίλους ἂν ἐγὼ θηρῴην; Ἐὰν νὴ Δί', ἔφη, ἀντὶ κυνὸς κτήσῃ, ὅστις σοι ἰχνεύων μὲν τοὺς φιλοκάλους καὶ πλουσίους εὑρήσει, εὑρὼν δὲ μηχανήσεται, ὅπως ἐμβάλῃ αὐτοὺς εἰς σὰ τὰ δίκτυα.

§ 10. Καὶ ποῖα, ἔφη, ἐγὼ δίκτυα ἔχω; Ἓν μέν δήπου, ἔφη, καὶ μάλα εὖ περιπλεκόμενον, τὸ σῶμα· ἐν δὲ τούτῳ ψυχήν, ἣ καταμανθάνεις καὶ ὡς ἂν ἐμβλέπουσα χαρίζοιο, καὶ ὅ,τι ἂν λέγουσα εὐφραίνοις, καὶ ὅτι δεῖ τὸν μὲν ἐπιμελόμενον[2] ἁσμένως ὑποδέχεσθαι, τὸν δὲ τρυφῶντα[3] ἀποκλείειν, καὶ ἀρρωστήσαντός γε φίλου φροντιστικῶς ἐπισκέψασθαι, καὶ καλόν τι πράξαντος σφόδρα συνησθῆναι, καὶ τῷ σφόδρα σου φροντίζοντι ὅλῃ τῇ ψυχῇ κεχαρίσθαι. Φιλεῖν γε μήν, εὖ οἶδ', ὅτι ἐπίστασαι οὐ μόνον μαλακῶς,[4] ἀλλὰ καὶ εὐνοϊκῶς· καὶ ὅτι ἄριστοί σοί εἰσιν οἱ φίλοι, οἶδ' ὅτι οὐ λόγῳ, ἀλλ' ἔργῳ ἀναπείθεις.[5] Μὰ τὸν Δί', ἔφη ἡ Θεοδότη, ἐγὼ τούτων οὐδὲν μηχανῶμαι.

§ 11. Καὶ μήν, ἔφη, πολὺ διαφέρει τὸ κατὰ φύσιν τε καὶ ὀρθῶς ἀνθρώπῳ προσφέρεσθαι. Καὶ γὰρ δὴ βίᾳ μὲν οὔτ' ἂν ἕλοις οὔτε κατάσχοις φίλον· εὐεργεσίᾳ δὲ καὶ ἡδονῇ τὸ θηρίον τοῦτο ἁλώσιμόν τε καὶ παραμόνιμόν ἐστιν.

τὸ πλείστου ἄξιον ἄγρευμα. — § 8. 2. ἢ ἄν . . . . εὐ τὴν εὐνὴν ἀπέλθωσιν] εὖ ἣν ἂν εὐνὴν πορεύσωνται, Ἴσως γραπτέον, οἵ ἂν . . . εἰς τὴν κ. τ. λ. ὅθεν καὶ «εὐναῖον» ἐκάλεσε Σοφοκλῆς τὸν λαγωόν, ὑπὸ τοῦ συμβαίνοντος, ὅτι καὶ ἐν τῇ εὐνῇ, τουτέστιν ἐν τοῖς περὶ τὴν εὐνὴν χωρίοις, πολλάκις ἁλίσκεται ἀντιδιεσταλμένως πρὸς τὸν ἐν δρόμοις καὶ ἄπωθεν τῆς εὐνῆς ἁλισκόμενον. Λέγει δὲ καὶ Ἡσύχιος «Δρομαλὸς (ἴσ. κατὰ τὸν Συειδέρ. γρ. Δρομαῖος), λαγωὸς ὁ ἐν δρόμοις ἁλισκόμενος. Εὐναῖος δέ, ὁ ἐν κοίτῃ.» καὶ πάλιν, «Εὐναῖος, λαγώς· Σοφοκλῆς Δόλοψι καταπτηχής.» Καὶ ταῦτα μὲν ὁ Ἡσύχιος· ὁ δὲ Φώτιος καὶ ὁ τοῦ Μεγάλου ἐτυμολογικοῦ πατὴρ (λέξ. Εὐναῖος) καὶ τὴν ῥῆσιν Σοφοκλέους παρένθετο·

Εὐναῖος εἴη (ἴσ. γρ. ἦσι) ὀραπέτην στέγειν ἔχον.

— 3. ἵνα κατὰ πόδας ἁλίσκωνται] ἵνα ἐξόπισθεν δρόμῳ διωκόμενοι λαμβάνωνται. »Καταπόδια ἐπιῤῥαμματικῶς μιᾷ λέξει ἐκφράζει τοῦτο ἡ συνήθεια, ὡς καὶ ἀλλαχοῦ (Ἡλιοδώρ. Αἰθ. B, σελ. 297) σεσημείωται. — § 10, 2. ἐπιμελόμενον.] Μετὰ τῆς ἀντωνυμίας, «ἐπιμελόμενόν σου» γραπτέον εἶναι οὐκ ἀπιθάνως φέρετο ὁ Λ. — 3. τὸν δὲ τρυφῶντα,] τὸν ἐμπαίζοντά σοι, καὶ προσποιούμενον ἐρᾶν μὴ ἐρῶντα. — 4. φιλεῖν . . . μαλακῶς] ὡς φιλεῖν εἰώθασιν οἱ τοῦ σωματικοῦ κάλλους ἐρῶντες μόνου· ἐρῶσι γὰρ ὑπὸ μαλακίας τινὸς καὶ ἀσθενείας τοῦ λογισμοῦ. — 5. καὶ ὅτι ἄριστοί σοί εἰσιν οἱ φίλοι, οἶδ' ὅτι . . . ἀναπείθεις.] Τῷ Σ. ὁμολογοῦντι μὴ συνιέναι τοῦ χωρίου τοῦδε τὸν νοῦν συνομολογῶ καὶ αὐτός. Ὁ Λ. γραφικῶς ἡμαρτῆσθαι τὴν τάξιν τῶν λέξεων ὑπολαβών, οὕτωσὶ διασκευάζειν πειρᾶται, «Καὶ ὅτι οἱ ἄριστοί σοι εἰσὶ φίλοι, οἶδ' ὅτι . . . ἀναπείθεις.» Γραπτέον, οἶμαι, «Καὶ ὅτι ὡς ἄριστοί σοι ὦσι φίλοι, οἶδ' ὅτι κ. τ. λ.» ὥσπερ ἔοικεν ἀνεγνωκέναι καὶ ὁ B μεταφράζει γὰρ et ut adsint tibi opti-

§ 12. Ἀληθῆ λέγεις, ἔφη. Δεῖ τοίνυν, ἔφη, πρῶτον μὲν τοὺς φροντίζοντάς σου τοιαῦτα ἀξιοῦν, οἷα ποιοῦσιν αὐτοῖς σμικρότατα μελήσει·[2] ἔπειτα δὲ αὐτὴν ἀμείβεσθαι χαριζομένην τὸν αὐτὸν τρόπον. Οὕτω γὰρ ἂν μάλιστα φίλοι γίγνοιντο, καὶ πλεῖστον χρόνον φιλοῖεν, καὶ μέγιστα εὐεργετοῖεν.

§ 13. Χαρίζοιο δ' ἂν μάλιστα, εἰ δεομένοις δωροῖο τὰ παρὰ σεαυτῆς. Ὁρᾷς γάρ, ὅτι καὶ τῶν βρωμάτων τὰ ἥδιστα, ἐὰν μέν τις προσφέρῃ πρὶν ἐπιθυμεῖν, ἀηδῆ φαίνεται, κεκορεσμένοις δὲ καὶ βδελυγμίαν[2] παρέχει· ἐὰν δέ τις προσφέρῃ λιμὸν ἐμποιήσας, κἂν φαυλότερα ᾖ, πάνυ ἡδέα φαίνεται.

§ 14. Πῶς οὖν ἄν, ἔφη, ἐγὼ λιμὸν ἐμποιεῖν τῷ τῶν παρ' ἐμοὶ δυναίμην; Εἰ, νὴ Δί', ἔφη, πρῶτον μὲν τοῖς κεκορεσμένοις μήτε προσφέροις μήτε ὑπομιμνήσκοις, ἕως ἂν τῆς πλησμονῆς παυσάμενοι πάλιν δέωνται· ἔπειτα δὲ τοὺς δεομένους ὑπομιμνήσκοις ὡς κοσμιωτάτῃ τε ὁμιλίᾳ, καὶ τῷ φαίνεσθαι βουλομένῃ χαρίζεσθαι, καὶ διαφεύγουσα ἕως ἂν ὡς μάλιστα δεηθῶσι. Τὴν αὐτὰ γὰρ πολὺ διαφέρει τὰ αὐτὰ δῶρα, ἢ πρὶν ἐπιθυμῆσαι, διδόναι.

§ 15. Καὶ ἡ Θεοδότη, Τί οὖν οὐ σύ μοι, ἔφη, ὦ Σώκρατες, ἐγένου[2] συνθηρατὴς τῶν φίλων; Ἐάν γε, νὴ Δί', ἔφη, πείθῃς με σύ. Πῶς οὖν ἄν, ἔφη, πείσαιμί σε; Ζητήσεις, ἔφη, τοῦτο αὐτὴ καὶ μηχανήσῃ, ἐάν τί μου δέῃ. Εἴσιθι τοίνυν, ἔφη, θαμινά.

§ 16. Καὶ ὁ Σωκράτης ἐπισκώπτων τὴν αὐτοῦ ἀπραγμοσύνην,[2] Ἀλλ', ὦ Θεοδότη, ἔφη, οὐ πάνυ μοι ῥᾴδιόν ἐστι σχολάσαι. Καὶ γὰρ ἴδια πράγματα πολλὰ καὶ δημόσια παρέχει μοι ἀσχολίαν· εἰσὶ δὲ καὶ φίλαι μοι, αἳ οὔτε ἡμέρας οὔτε νυκτὸς ἀφ' αὑτῶν ἐάσουσί με ἀπιέναι, φίλτρα τε μανθάνουσαι παρ' ἐμοῦ καὶ ἐπῳδάς.

§ 17. Ἐπίστασαι γάρ, ἔφη, καὶ ταῦτα, ὦ Σώκρατες; Ἀλλὰ διὰ τί οἴει, ἔφη, Ἀπολλόδωρόν τε τόνδε καὶ Ἀνττισθένην οὐδέπο-

---

mi aliqui amatores, re ipsa non verbo efficis. — § 12, 2. οἷα. . . . σμικρότατα μελήσει] τοιαῦτα παρὰ τῶν ἐρωττῶν αἰτεῖν, ὁποῖα ποιεῖν αὐτοῖς οὐ μεγάλης μελέτης καὶ μερίμνης δεήσει, τουτέστιν, ὁποῖα ποιεῖν εὐχερέστατα δυνήσονται. — § 13, 2. βδελυγμίαν,] ναυτίαν, κατὰ τὸν Ἡσύχιον· ὁ δὲ Πολυδεύκης φησί· «Τὸ δὲ ἐπὶ τῷ κόρῳ δυσχεραίνειν «βδελυγμίαν» Ξενοφῶν καλεῖ.» — § 15, 2. Τί οὖν οὐ σύ μοι . . . ἐγένου κ. τ. λ.] Σχῆμα λόγου ἴδιον Ἑλλησιν ἐν ταῖς μετ' ἀρνήσεως ἐρωτήσεσι, τὸ τὸν παρωχημένον ἀντὶ τοῦ ἐνεστῶτος τιθέναι· ἴσον γὰρ ἐνταῦθα δύνανται τῷ «Τί οὖν οὐ σύ μοι γίγνῃ;» — § 16, 2. ἐπισκώπτων τὴν ΑΥΤΟΥ ἀπραγμοσύνην.] ΑΥΤΗΣ (τῆς Θεοδότης) φέρει ἡ Στεφάνειος ἔκδοσις, καὶ ἕτεραί τινες, ἀνθ' οὗ εὐλόγως πάνυ προείλετο ὁ Σ. ἐξ ἑτέρων ἐκδόσεων τοῦ ΑΥΤΟΥ, ὅπερ ἐξέφρασε καὶ ὁ B. suuum hac in re otium carpens. Μαρτυρεῖ δὲ καὶ τὰ ἑπόμενα, ὅτι τὴν ἑαυτοῦ, οὐ τὴν Θεοδότης, ἀπραγμοσύνην ἐπισκώπτει Σωκράτης· τὸ δὲ σκῶμμά ἐστι, ὅτι τὴν ἑαυτοῦ ἀργίαν καὶ σχολὴν (τοῦτο γὰρ βούλεται ἡ ἀπραγμοσύνη) ἀσχολίαν ὀνομάζει.

τέ μου ἀπολείπεσθαι; διὰ τί δε καὶ Κέβητα καὶ Σιμμίαν Θήβηθεν παραγίγνεσθαι; εὖ ἴσθι, ὅτι ταῦτα οὐκ ἄνευ πολλῶν φίλτρων τε καὶ ἐπῳδῶν καὶ ἰύγγων[2] ἐστί.

§ 18. Χρῆσον τοίνυν μοι, ἔφη, τὴν ἴυγγα, ἵνα ἐπὶ σοὶ πρῶτον ἕλκω αὐτήν.[2] Ἀλλὰ μὰ Δί' ἔφη, οὐκ αὐτὸς ἕλκεσθαι πρὸς σὲ βούλομαι, ἀλλὰ σὲ πρὸς ἐμὲ[3] πορεύεσθαι. Ἀλλὰ πορεύσομαι, ἔφη· μόνον ὑποδέχου. Ἀλλ' ὑποδέξομαί σε, ἔφη, ἐὰν μή τις φιλωτέρα σου ἔνδον ᾖ.

ΚΕΦΑΛΑΙΟΝ XII.

§ 1. Ἐπιγένην δὲ τῶν ξυνόντων τινά, νέον τε ὄντα, καὶ τὸ σῶμα κακῶς ἔχοντα, ἰδών, Ὡς ἰδιωτικῶς, ἔφη, τὸ σῶμα ἔχεις,[2] ὦ Ἐπίγενες! Καὶ ὃς, Ἰδιώτης μὲν, ἔφη, εἰμί,[3] ὦ Σώκρατες. Οὐδέν γε μᾶλλον,[4] ἔφη, τῶν ἐν Ὀλυμπίᾳ μελλόντων ἀγωνίζεσθαι. Ἢ δοκεῖ σοι μικρὸς εἶναι, ὁ περὶ τῆς ψυχῆς πρὸς τοὺς πολεμίους ἀγών, ὃν Ἀθηναῖοι θήσουσιν, ὅταν τύχωσι;

§ 2. Καὶ μὴν οὐκ ὀλίγοι μὲν διὰ τὴν τοῦ σώματος καχεξίαν ἀποθνήσκουσί γε ἐν τοῖς πολεμικοῖς κινδύνοις, ἢ αἰσχρῶς σώζονται.[2] πολλοὶ δὲ δι' αὐτὸ τοῦτο ζῶντες ἁλίσκονται, καὶ ἁλόντες ἤτοι δουλεύουσι τὸν λοιπὸν βίον ἐὰν οὕτω τύχωσι[3] τὴν χα-

---

§ 17, 2. πολλῶν φίλτρων .... καὶ ἰύγγων.] Ἴυγξ ὄρνεόν ἐστι τὸ τοῖς Γάλλοις καλούμενον torcol, διὰ τὸ πολύστροφον καὶ εὐπερίστροφον τοῦ τραχήλου, ἴδιον ὂν τῷ ὀρνέῳ, καθὰ καὶ Ἀριστοτέλης (Περὶ ζ. ἱστορ. Β ἡ. § 2, ἔκδ. Σνειδ.) λέγει μερὶ τῆς Ἴυγγος· «Ἔτι περιστρέφει τὸν τράχηλον »εἰς τοὐπίσω, τοῦ λοιποῦ σώματος ἠρεμοῦντος, καθάπερ οἱ ὄφεις.» Καὶ ἐπειδὴ ἐχρῶντο τῇ Ἴυγγι ἐν ταῖς μαγείαις, μετηνέχθη τοὔνομα τῆς Ἴυγγος καὶ ἐπὶ πάντα τὰ θέλγειν, κηλεῖν ἢ γοητεύειν δυνάμενα. Ἡσύχιος ἐξηγούμενος τὴν λέξιν φησὶ «Ἴυγξ, φίλτρον, ἀ»πὸ Ἴυγγος τοῦ ὀρνέου. Τὸ γὰρ ὄρνεον »τοῦτό φασιν εἶναι ἐπιτήδειον εἰς τὰς »μαγγανείας. Καλεῖται δὲ καὶ Κυναι»δίον. Φασὶ δὲ καὶ Ἀφροδίτην αὐτῷ »χρῆσθαι. Ἀπὸ δὲ τοῦ ὀρνέου καὶ τὰ κατασκευαζόμενα εἰς ἔρωτας Ἴυγγας καλοῦσι.» — § 18, 2. ἵνα .... ἕλκω αὐτήν] Ἀπὸ τοῦ γινομένου καὶ λεγομένου ὑπὸ τῶν φαρμακευτριῶν, ἡνίκα ἕστρεφον τὴν ἴυγγα ὡς ἔστι μαθεῖν ἀπὸ τῆς ποιηθείσης τῷ Θεοκρίτῳ (Β', 17) «Φαρμακευτίας» ἢ τυχόντως ἐπιλέγει περιστρέφουσα τὴν Ἴυγγα,

Ἴυγξ, ἕλκε τὸ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

«Λαμβάνουσι γὰρ τὸ ὄρνεον δεσμεύ»ουσιν ἐκ τροχοῦ τινος, ὃν περιῤῥομβοῦ»σιν ἅμα ἐπᾴδουσαι» καθά φησιν ὁ τοῦ Πινδάρου (Πυθ. IV, 380) σχολιαστής. — 3. οὐκ αὐτὸς ἕλκεσθαι πρὸς σὲ βούλομαι, ἀλλὰ σὲ πρὸς ἐμέ.] Ὡρθοτόνητα τὰς ἐγκεκλιμένας δευτεροπροσώπους ἀντωνυμίας.

§ 1, 2. Ὡς ἰδιωτικῶς, ἔφη, τὸ σῶμα ἔχεις.] ἀντιδιέσταλται τὸ «ἰδιωτικῶς» πρὸς τὸ ἀσκητικῶς, ὥσπερ ἀνωτέρω (Γ, VII, § 7), οἱ ἰδιῶται, πρὸς τοὺς ἀσκητάς. Ὁ νοῦς, Ἀσθενὴς εἶ τὸ σῶμα, Ἐπίγενες, ὥσπερ οἱ ἰδιῶται, τουτέστιν οἱ μὴ ἀσκοῦντες τὸ σῶμα τοῖς γυμνασίοις. — 3. Ἰδιώτης ΜΕΝ, ἔφη, εἰμί·] Γραπτέον, οἶμαι, ΜΗΝ. — 4. Οὐδέν γε μᾶλλον,] ἰδιώτης εἶ. — § 2, 2. ἀποθνήσκουσί ΓΕ ἐν τοῖς πολεμικοῖς κινδύνοις, Ἢ αἰσχρῶς σώζονται.] ΗΔ, ΑΤ, ἀποθνήσκουσί ΤΕ ἐν τοῖς πολεμικοῖς κινδύνοις ΚΑΙ αἰσχρῶς σώζονται. Καὶ μαρτυρεῖ μου τῇ διορθώσει ὁ B. in bellorum periculis, aut pereunt, aut turpiter evadunt. — 3. ἐὰν οὕτω τύχωσι] Ἀφορίζουσι ταῦτα τοῦ κειμένου ὅ τε Σ.

λεπωτάτην δουλείαν, ἢ, εἰς τὰς ἀνάγκας τὰς ἀλγεινοτάτας ἐμπεσόντες καὶ ἐκτίσαντες ἐνίοτε πλείω τῶν ὑπαρχόντων αὐτοῖς, τὸν λοιπὸν βίον ἐνδεεῖς τῶν ἀναγκαίων ὄντες καὶ κακοπαθοῦντες διαζῶσι· πολλοὶ δὲ δόξαν αἰσχρὰν κτῶνται, διὰ τὴν τοῦ σώματος ἀδυναμίαν δοκοῦντες ἀποδειλιᾶν.

§ 3. Ἦ καταφρονεῖς τῶν ἐπιτιμίων τῆς καχεξίας τούτων, καὶ ῥᾳδίως ἂν οἴει φέρειν τοιαῦτα (καὶ μὴν οἶμαί γε πολλῷ ῥᾴω καὶ ἡδίω τούτων εἶναι, ἃ δεῖ ὑπομένειν τὸν ἐπιμελόμενον τῆς τοῦ σώματος εὐεξίας[2]); ἢ ὑγιεινότερόν τε καὶ εἰς τἆλλα χρησιμώτερον νομίζεις εἶναι τὴν καχεξίαν τῆς εὐεξίας, ἢ τῶν διὰ τὴν εὐεξίαν γιγνομένων καταφρονεῖς;

§ 4. Καὶ μὴν πάντα γε τἀναντία συμβαίνοι τοῖς εὖ τὰ σώματα ἔχουσιν ἢ τοῖς κακῶς. Καὶ γὰρ ὑγιαίνουσιν οἱ τὰ σώματα εὖ ἔχοντες, καὶ ἰσχύουσι. Καὶ πολλοὶ μὲν διὰ τοῦτο ἐκ τῶν πολεμικῶν ἀγώνων σώζονταί τε εὐσχημόνως, καὶ τὰ δεινὰ πάντα διαφεύγουσι· πολλοὶ δὲ φίλοις βοηθοῦσι καὶ τὴν πατρίδα εὐεργετοῦσι, καὶ διὰ ταῦτα χάριτός τε ἀξιοῦνται, καὶ δόξαν μεγάλην κτῶνται, καὶ τιμῶν καλλίστων τυγχάνουσι· καὶ διὰ ταῦτα τόν[2] τε λοιπὸν βίον ἥδιον καὶ κάλλιον διαζῶσι, καὶ τοῖς ἑαυτῶν παισὶ καλλίους ἀφορμὰς εἰς τὸν βίον[3] καταλείπουσιν.

καὶ ἕτεροι ὡς κακῶς πλεονάζοντα. Ἔστι γε μὴν καὶ ἐξηγεῖσθαι αὐτὰ οὕτως, Δουλεύουσιν οἱ ἁλόντες τὸν λοιπὸν βίον τὴν χαλεπωτάτην δουλείαν ἂν οὕτω τύχοισιν· ἔτι γὰρ καὶ μετριωτέρας δουλείας τυχεῖν δεσπότῃ περιπεσόντα τῶν οὐκ ἄγαν ὠμῶν. — § 3, 2. καὶ μὴν οἶμαί γε πολλῷ ῥᾴω καὶ ἡδίω τούτων εἶναι, ἃ δεῖ ὑπομένειν τὸν ἐπιμελόμενον τῆς τοῦ σώματος εὐεξίας.] Ἐννεακαίδεκα ταύτας λέξεις ἀφοριστέας ἔκρινεν εἶναι τοῦ κειμένου ὁ Σ. ὀρθότερον ἐμοὶ δοκεῖν, τηρητέας εἶναι κρίναντος τοῦ Λ. Ἐρωτήσας γὰρ ὁ Σωκράτης τὸν καχεκτικὸν Ἐπιγένην· εἰ καταφρονεῖ τῶν ἐπιτιμίων τῆς διὰ τὴν ἀμέλειαν τοῦ σώματος καχεξίας (ταῦτα δ' ἦσαν τὸ θνήσκειν ἐν τοῖς πολέμοις, τὸ αἰσχρῶς σώζεσθαι, τὸ ἁλίτκεσθαι καὶ δουλεύειν τὸν λοιπὸν βίον, τὸ ἀδοξεῖν), ἐπιλέγει, ὅτι ἃ δεῖ ὑπομένειν διὰ τὸ εὐεκτεῖν (γυμνάσια δηλονότι καὶ τὰ λοιπὰ ἀναγκαῖα διαιτήματα) πολλῷ ῥᾴω καὶ ἡδίω εἶναι τούτων· τουτέστι τῶν ἐπιτιμίων τῆς καχεξίας. — § 4. 2. καὶ διὰ ταῦτα τόν.] Ἀφορίζει καὶ ὧδε ὁ Σ. τὰς δύο μέσας λέξεις «(διὰ ταῦτα),» ὡς παλιλλογουμένας ἐκ τῶν μικρὸν ἀνωτέρω λεχθεισῶν, καὶ ὡς ἠγνοημένας τῷ B. Ἀλλ' ὁ μὲν B. ἱκανῶς ἐξέφρασεν αὐτὰς διὰ τοῦ quo fit ut· περὶ δὲ τῆς δοκούσης παλιλλογίας, ἀπόχρη φάναι, ὅτι αἱ ἐν τοῖς μονολόγοις δυσχεραινόμεναι παλιλλογίαι, τοσοῦτον ἀπέχουσι τοῦ πλεονάζειν ἐν τοῖς διαλόγοις, ὥστε καὶ χαριεστέρους αὐτοὺς καὶ πολλῷ πιθανωτέρους ἀπεργάζεσθαι. — 3. καλλίους ἀφορμὰς εἰς τὸν βίον.] Μεταφορικῶς ἐνθάδε τὸ «Ἀφορμάς.» Ἀφορμὴν (capital) κυρίως ἔλεγον οἱ Ἀττικοὶ ἅ τις κατετίθετο αὐτόθεν ἢ δανεισάμενος χρήματα, ἀφ' ὧν ὁρμώμενος, δι' ἐργασίας ἢ ἐμπορίας προσόδους ἑαυτῷ ἐποιεῖτο· ἐφ' ἧς σημασίας ἐχρήσατο ἀνωτέρω (σελ. 66) τῇ λέξει ὁ Ξενοφῶν «Ἐνθήκην» ἐκάλουν αὐτὴν οἱ λοιποὶ Ἕλληνες, (Ἁρποκρατ. λέξ. Ἀφορμή,) ἐπὶ ναυτικῆς μάλιστα ἐμπορίας, παρὰ τὸ ἐντιθέσθαι εἰς πλοῖον· καὶ «Προβολὴν» δὲ οἱ μεταγενέστεροι, ὥσφησιν ὁ σχολιαστὴς τοῦ Εὐριπίδου (Μηδ. 332), οἱονεὶ πρώτην καταβολήν. Ἔπιθι καὶ τὰ ἐν ἄλλοις Ἰσοκρ. τόμ. B, σελ. 108) σημειωθέντα περὶ τῆς Ἀφορμῆς.

§ 5. Οὔ τοι χρή, ὅτι ἡ πόλις οὐκ ἀσκεῖ δημοσίᾳ τὰ πρὸς τὸν πόλεμον,[2] διὰ τοῦτο καὶ ἰδίᾳ ἀμελεῖν, ἀλλὰ μηδὲν ἧττον ἐπιμελεῖσθαι. Εὖ γὰρ ἴσθι, ὅτι οὐδὲ ἐν ἄλλῳ οὐδενὶ ἀγῶνι, οὐδὲ ἐν πράξει οὐδεμιᾷ μεῖον ἕξεις, διὰ τὸ βέλτιον τὸ σῶμα παρεσκευάσθαι· πρὸς πάντα γὰρ, ὅσα πράττουσιν ἄνθρωποι, χρήσιμον τὸ σῶμά ἐστιν· ἐν πάσαις δὲ ταῖς τοῦ σώματος χρείαις πολὺ διαφέρει ὡς βέλτιστα τὸ σῶμα ἔχειν.

§ 6. Ἐπεὶ καὶ, ἐν ᾧ δοκεῖς[2] ἐλαχίστην σώματος χρείαν εἶναι, ἐν τῷ διανοεῖσθαι, τίς οὐκ οἶδεν ὅτι καὶ ἐν τούτῳ πολλοὶ μεγάλα σφάλλονται, διὰ τὸ μὴ ὑγιαίνειν τὸ σῶμα; Καὶ λήθη δὲ καὶ ἀθυμία καὶ δυσκολία καὶ μανία πολλάκις πολλοῖς διὰ τὴν τοῦ σώματος καχεξίαν εἰς τὴν διάνοιαν ἐμπίπτουσιν οὕτως, ὥστε καὶ τὰς ἐπιστήμας ἐκβάλλειν.[3]

§ 7. Τοῖς δὲ τὰ σώματα εὖ ἔχουσι πολλὴ ἀσφάλεια καὶ οὐδεὶς κίνδυνος διά γε τὴν τοῦ σώματος καχεξίαν τοιοῦτόν τι παθεῖν. Εἰκὸς δὲ μᾶλλον πρὸς τὰ ἐναντία τῶν διὰ τὴν καχεξίαν γιγνομένων καὶ τὴν εὐεξίαν χρήσιμον εἶναι. Καίτοι τῶν γε τοῖς εἰρημένοις ἐναντίων ἕνεκα τί οὐκ ἄν τις νοῦν ἔχων ὑπομείνειεν;

§ 8. Αἰσχρὸν δὲ καὶ τὸ διὰ τὴν ἀμέλειαν γηράσαι, πρὶν ἰδεῖν ἑαυτὸν, ποῖος ἂν κάλλιστος καὶ κράτιστος τῷ σώματι γένοιτο. Ταῦτα δὲ οὐκ ἔστιν ἰδεῖν ἀμελοῦντα· οὐ γὰρ ἐθέλει αὐτόματα γίγνεσθαι.

ΚΕΦΑΛΑΙΟΝ XIII.

§ 1. Ὀργιζομένου δὲ ποτέ τινος, ὅτι προσειπών τινα χαίρειν οὐκ ἀντιπροσερρήθη, Γελοῖον, ἔφη, τὸ, εἰ μὲν τὸ σῶμα κάκιον ἔχοντι ἀπήντησάς τῳ, μὴ ἂν ὀργίζεσθαι· ὅτι δὲ τὴν ψυχὴν ἀγροικοτέρως διακειμένῳ περιέτυχες, τοῦτό σε λυπεῖν.[2]

§ 2. Ἄλλου δὲ λέγοντος, ὅτι ἀηδῶς ἐσθίοι, Ἀκουμενός,[2] ἔ-

---

§ 5. 2. ἡ πόλις οὐκ ἀσκεῖ δημοσίᾳ τὰ πρὸς τὸν πόλεμον.] Σημειοῦ, ὅτι ἠγνόουν οἱ Ἕλληνες τὰ παρὰ τοῖς νεωτέροις καλούμενα troupes réglées, τουτέστιν ἀσκητὰ ἢ τακτὰ στρατεύματα· οὐδὲν γὰρ ἔχθιον ἐλευθερίᾳ τῶν μονίμων καὶ τακτῶν τούτων λεγομένων στρατευμάτων.

§ 6, 2. Ἐπεὶ καὶ, ἐν ᾧ δοκεῖς,] νομίζεις. «Δοκεῖ, οἴεται, νομίζει» φησὶν Ἡσύχιος. — 3. ἐπιστήμας ἐκβάλλειν,] ἐπιλανθάνεσθαι ὧν ἠπίσταντο, ἀγνοεῖν ἅπερ ἐμεμαθήκεσαν ἴσα καὶ τοῖς τὴν ἀρχὴν μὴ μαθοῦσι. Τῇ δ' ἀρίστῃ περὶ ἐπιμελείας ὑγείας ὑποθήκῃ Σωκράτους ταύτῃ ἄξιον παραθέσθαι τὴν τοῦ ἀρίστου ἰατροῦ Ἱπποκράτους (Περὶ διαίτ. ὑγιειν. § 14, σελ. 632) ὑποθήκην τήνδε. »Ἄνδρα δὲ χρὴ, ὅς ἐστι συνετὸς, »λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι »πλείστου ἄξιόν ἐστιν ἡ ὑγιείη, ἐπίστα»σθαι ἐκ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι »νούσῃσιν ὠφελέεσθαι.»

§ 1, 2. τοῦτό σε λυπεῖν] Ἐξ ΕΔ, ΑΤ . . . λυπεῖ.

§ 2, 2. Ἀκουμενὸς] ἰατρὸς οὕτω καλούμενος, οὐ τῶν ἀδόξων, Σωκράτει συναχμάτας, οὗ καὶ Πλάτων μέμνηται μνημονεύσας καὶ τοῦ υἱοῦ αὐτοῦ Ἐρυ-

φη, τούτου φάρμακον ἀγαθὸν διδάσκει. Ἑρομένου δὲ, ποῖον; Παύσασθαι ἐσθίοντα,[3] ἔφη, καὶ ἥδιόν τε καὶ εὐτελέστερον καὶ ὑγιεινότερον φησὶ διάξειν παυσάμενον.

§ 3. Ἄλλου δ' αὖ λέγοντος, ὅτι θερμὸν εἴη παρ' ἑαυτῷ τὸ ὕδωρ, ὃ πίνοι, Ὅταν ἄρ', ἔφη, βούλῃ θερμῷ λούσασθαι, ἕτοιμον ἔσται σοι. Ἀλλὰ ψυχρόν, ἔφη, ὥστε λούσασθαι, ἐστίν. Ἆρ' οὖν, ἔφη, καὶ οἱ οἰκέται σου ἄχθονται πίνοντές τε αὐτὸ, καὶ λουόμενοι αὐτῷ; Μὰ τὸν Δί', ἔφη· ἀλλὰ καὶ πολλάκις τεθαύμακα, ὡς ἡδέως αὐτῷ πρὸς ἀμφότερα ταῦτα χρῶνται. Πότερον δὲ, ἔφη, τὸ παρὰ σοὶ ὕδωρ θερμότερον πιεῖν ἐστιν, ἢ τὸ ἐν Ἀσκληπιοῦ;[2] Τὸ ἐν Ἀσκληπιοῦ, ἔφη. Ἐνθυμοῦ οὖν, ἔφη, ὅτι κινδυνεύεις δυσαρεστότερος εἶναι τῶν τε οἰκετῶν καὶ τῶν ἀῤῥωστούντων.[3]

§ 4. Κολάσαντος δέ τινος ἰσχυρῶς [τὸν] ἀκόλουθον,[2] ἤρετο, Τί χαλεπαίνοι τῷ θεράποντι. Ὅτι, ἔφη, ὀψοφαγίστατός τε ὢν, βλακώτατός ἐστι,[3] καὶ φυλαργυρώτατος ὢν, ἀργότατος. Ἤδη ποτὲ οὖν ἐπεσκέψω, ἔφη, πότερος πλειόνων πληγῶν δεῖται, σὺ, ἢ ὁ θεράπων;[4]

§ 5. Φοβουμένου δέ τινος τὴν εἰς Ὀλυμπίαν ὁδὸν, Τί, ἔφη, φοβῇ σὺ τὴν πορείαν; οὐ καὶ οἵκοι[2] σχεδὸν ἅλην τὴν ἡμέραν περιπατεῖς; καὶ ἐκεῖσε πορευόμενος, περιπατήσας ἀριστήσεις, περιπατήσας δειπνήσεις καὶ ἀναπαύσῃ. Οὐκ οἶσθα, ὅτι εἰ ἐκτείναις τοὺς περιπάτους, οὓς ἐν πέντε ἢ ἓξ ἡμέραις περιπατεῖς, ῥᾳδίως ἂν Ἀθήνηθεν εἰς Ὀλυμπίαν ἀφίκοιο; χαριέστερον δὲ καὶ προεξορμᾶν ἡμέρᾳ μιᾷ μᾶλλον[3] ἢ ὑστερίζειν. Τὸ μὲν γὰρ ἀναγκάζεσθαι, περαιτέρω τοῦ μετρίου μηκύνειν τὰς ὁδοὺς, χαλεπόν· τὸ δὲ μιᾷ

ξιμάχου, ἰατροῦ κἀκείνου. — 3. Παύσασθαι ἐσθίοντα] παύσασθαι τοῦ ἀηδῶς ἐσθίειν, μὴ ἐσθίειν τὰ μὴ ἡδέως ἐσθιόμενα. — § 3, 2. τὸ ἐν Ἀσκληπιοῦ.] Θερμοῦ ἄρα ὕδατος ἦν ἡ ἐν τῷ Ἀθήνησιν ἱερῷ τοῦ Ἀσκληπιοῦ κρήνη· ὁ δὲ Παυσανίας (Α, 21) μνημονεύων τῆς κρήνης, οὐδὲν διασαφεῖ περὶ τῆς τοῦ ὕδατος φύσεως. — 3. τῶν ἀῤῥωστούντων,] τῶν ἐν Ἀσκληπιοῦ κατακειμένων ἀῤῥώστων θεραπείας χάριν, ὅπου καὶ ὁ παρὰ τῷ Κωμικῷ (Πλούτ. 620) Χρεμύλος ἐγκατέκλινε τὸν τυφλὸν Πλοῦτον·

Ἐγὼ δὲ καὶ σύ γ' ὡς τάχιστα τὸν θεὸν
Ἐγκατακλινοῦντ' ἄγωμεν εἰς Ἀσκληπιοῦ.

§ 4, 2. τὸν ἀκόλουθον.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου, παραινέσαντος τοῦτο καὶ τοῦ Σ. ἐν ταῖς ἐπισημειώσεσι. — 3. βλακώτατός ἐστι.] Ὤφειλεν εἶναι «βλακίστατος ἡ (παρὰ τὸ Βλὰξ θετικὸν), ὡς καὶ φέρεται παρὰ τῷ Ἀθηναίῳ (σελ. 277) τοῦτο δὴ τὸ χωρίον Ξενοφῶντα παρατιθεμένῳ· οὕτω γὰρ Ξενοφῶν ὠνόμασεν ἐν Ἀπομνημονεύμασι, γράφων οὕτως, «Ὀψοφαγίστατός τε καὶ βλα»κίστατος ἐστίν». Ἀλλ' ἐπεὶ καὶ ἐν τοῖς ἑξῆς (Δ, II, 248 § 40, σελ. 248) τῷ αὐτῷ τύπῳ ἐπὶ τοῦ συγκριτικοῦ ἐχρήσατο, ὠκνησαν οἱ πρὸ ἐμοῦ μεταχινῆσαι τὴν γραφήν. Ἴσως ἀντὶ μὲν τοῦ ἐν τῷ προκειμένῳ χωρίῳ «Βλακώτατος» γραπτέον «Βλακωδέστατος,» ἀντὶ δὲ τοῦ ἐν ἑξῆς τέρῳ «Βλακωτέρους, Βλακωδεστέρους.» — 4. σὺ, ἢ ὁ θεράπων;] Εἰκὸς γάρ σε καὶ ἀργότερον καὶ ὀψοφαγίστερον τοῦ θεράποντος εἶναι, δεσπότην ὄντα.

§ 5, 2. οὐ καὶ οἵκοι] Ἀθήνησι. — 3. χαριέστερον δὲ καὶ προεξορμᾶν ἡμέρᾳ μιᾷ μᾶλλον κ. τ. λ.] τουτέστιν, ἧττον ἄκοπον τὸ τῆς ὁδοιπορίας, εἰ ἄρχοιο μιᾷ ἡμέρᾳ πρότερον ὅσων ἡμερῶν

ἡμέρᾳ[1] πλείονας πορευθῆναι, πολλὴν ῥᾳστώνην παρέχει. Κρεῖττον οὖν ἐν τῇ ὁρμῇ[5] σπεύδειν, ἢ ἐν τῇ ὁδῷ.

§ 6. Ἄλλου δὲ λέγοντος, ὡς παρετάθη[2] μακρὰν ὁδὸν πορευθείς, ἤρετο αὐτὸν, εἰ καὶ φορτίον ἔφερε. Μὰ Δί', οὐκ ἔγωγ', ἔφη, ἀλλ' ἢ τὸ ἱμάτιον.[3] Μόνος δ' ἐπορεύου, ἔφη, ἢ καὶ ἀκόλουθός σοι ἠκολούθει; Ἠκολούθει, ἔφη. Πότερον, ἔφη, κενὸς ἢ φέρων τι; Φέρων, νὴ Δί', ἔφη, τά τε στρώματα καὶ τἄλλα σκεύη. Καὶ πῶς δή, ἔφη, ἀπήλλαχεν ἐκ τῆς ὁδοῦ; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, βέλτιον ἐμοῦ. Τί οὖν; ἔφη, εἰ τὸ ἐκείνου φορτίον ἔδεις σε φέρειν, πῶς ἂν οἴει διατεθῆναι; Κακῶς, νὴ Δί', ἔφη· μᾶλλον δὲ οὐδ' ἂν ἠδυνήθην κομίσαι. Τὸ οὖν τοσούτῳ ἧττον τοῦ παιδὸς δύνασθαι πονεῖν, πῶς ἠσκημένου δοκεῖ σοι[4] ἀνδρὸς εἶναι;

ΚΕΦΑΛΑΙΟΝ XIV.

§ 1. Ὁπότε δὲ τῶν ξυνιόντων ἐπὶ τὸ δεῖπνον[2] οἱ μὲν μικρὸν ὄψον, οἱ δὲ πολὺ φέροιεν, ἐκέλευεν ὁ Σωκράτης τὸν παῖδα τὸ μικρὸν ἢ εἰς τὸ κοινὸν τιθέναι, ἢ διανέμειν ἑκάστῳ τὸ μέρος. Οἱ οὖν τὸ πολὺ φέροντες ᾐσχύνοντό τε μὴ κοινωνεῖν τοῦ εἰς τὸ κοινὸν τιθεμένου, καὶ μὴ ἀντιτιθέναι τὸ ἑαυτῶν. Ἐτίθεσαν οὖν καὶ τὸ ἑαυτῶν εἰς τὸ κοινόν· καὶ ἐπεὶ οὐδὲν πλέον εἶχον τῶν μικρὸν φερομένων, ἐπαύοντο πολλοῦ ὀψωνοῦντες.[3]

§ 2. Καταμαθών δέ τινα τῶν ξυνδειπνούντων, τοῦ μὲν σίτου πεπαυμένον,[2] τὸ δὲ ὄψον αὐτὸ καθ' αὑτὸ ἐσθίοντα,[3] λόγου ὄντος περὶ ὀνομάτων, ἐφ' οἵῳ ἔργῳ ἕκαστον εἴη, Ἔχοιμεν ἄν, ἔφη, ὦ ἄνδρες, εἰπεῖν, ἐπὶ ποίῳ ποτὲ ἔργῳ ἄνθρωπος ὀψοφάγος καλεῖται; ἐσθίουσι μὲν γὰρ δὴ πάντες ἐπὶ τῷ σίτῳ ὄψον, ὅταν παρῇ· ἀλλ'

ἔστιν ἡ Ἀθήνηθεν εἰς Ὀλυμπίαν ὁδός. — 4. τὸ δὲ μιᾷ ἡμέρᾳ κ. τ. λ.] ΔΓ, τὸ δὲ μιᾶς ἡμέρας· ἣν ἡρμήνευσε καὶ ὁ Β, At confert quidem lahorem diei uni us in plures diminuere, etc. Ὅ γε μὴν νοῦς ἐστι· Τὸ πορευθῆναι μιᾷ ἡμέρᾳ πλείονας ἡμέρας ὅσων ἐστὶν ἡμερῶν ἡ Ἀθήνηθεν Ὀλυμπίαζε ὁδὸς πολλὴν εὐχέρειαν καὶ ἀνάπαυσιν παρέχει, τουτέστιν, εἰ τὴν εἰς Ὀλυμπίαν πορείαν, ἐν ἓξ ἡμέραις τυχὸν ἀνυομένην, μιᾷ πλείους τῶν ἓξ, ὁπλουστέρᾳ ἐν ἑπτὰ ἡμέραις ἀνύσειέ τις, ἧττον αἰσθήσεται τοῦ κόπου. — 5. Κρεῖττον οὖν ἐν τῇ ὁρμῇ κ. τ. λ.] Συμφέρει μᾶλλον σπεύδειν ἐν τῇ ἀπ' Ἀθηνῶν ἐξορμήσει καὶ ἀποδημίᾳ, ἢ ἐν αὐτῇ τῇ ὁδῷ σπουδάζειν φθάσαι τὴν πανήγυριν. — § 6, 2. παρετάθη.] Παρατείνεσθαι ἐστὶ τὸ τῶν Γάλλων

être excédé ἢ harrassé de fatigue. — 3. Ἄλλ ἢ τὸ ἱμάτιον.] Ἐξ ΕΔ, ΑΤ, ἀλλὰ τὸ ἱμάτιον. — 4. πῶς ἠσκημένου δοκεῖ σοι;] Πῶς σοι δοκεῖ πρέπειν ἀνδρὶ ἠσκημένῳ (τουτέστιν ἐλευθέρῳ) τὸ τοσούτῳ ἧττον δύνασθαι πονεῖν τοῦ μὴ ἠσκημένου δούλου; ἀπείρητο γὰρ τοῖς δούλοις ἡ ἐν τοῖς γυμνασίοις ἄσκησις, ὡς ἐστι μαθεῖν παρ' Αἰσχίνου (Κατὰ Τιμάρχ. σελ. 147), »Δοῦλον, φησὶν ὁ νόμος, μὴ γυμνάζεσθαι, μηδὲ ἐγκαλινδεῖσθαι ἐν ταῖς παλαίστραις.»

§ 1. 2. ἐπὶ τὸ δεῖπνον] τὸ ἐπαινούμενον Συμφορητὸν (un pique-nique). — 3. πολλοῦ ὀψωνοῦντες] πολλῆς τιμῆς ὄψον ὠνούμενοι. — § 2, 2. τοῦ μὲν σίτου πεπαυμένον.] Ἐνταῦθα δὲ κυρίως τὸ σίτου, ἐπὶ τοῦ ἄρτου. — 3. τὸ δὲ ὄψον αὐτὸ καθ' αὑτὸ ἐσθίοντα,] ἄνευ ἄρ-

οἶμαι, οὔπω ἐπίγε τούτῳ ὀψοφάγοι καλοῦνται. Οὐ γάρ οὖν, ἔφη τις τῶν παρόντων.

§ 3. Τί γάρ; ἔφη, ἐάν τις ἄνευ τοῦ σίτου τὸ ὄψον αὐτὸ[2] ἐσθίῃ, μὴ ἀσκήσεως[3] ἀλλ' ἡδονῆς ἕνεκα, πότερον ὀψοφάγος εἶναι δοκεῖ, ἢ οὔ; Σχολῇ γ' ἄν, ἔφη, ἄλλος τις ὀψοφάγος εἴη. Καί τις ἄλλος τῶν παρόντων, Ὁ δὲ μικρῷ σίτῳ, ἔφη, πολὺ ὄψον ἐπεσθίων; Ἐμοί μέν, ἔφη ὁ Σωκράτης, καὶ οὗτος δοκεῖ δικαίως ἂν ὀψοφάγος καλεῖσθαι· καί, ὅταν γε οἱ ἄλλοι ἄνθρωποι τοῖς θεοῖς εὔχωνται πολυκαρπίαν, εἰκότως ἂν οὗτος πολυοψίαν εὔχοιτο.

§ 4. Ταῦτα δὲ τοῦ Σωκράτους εἰπόντος, νομίσας ὁ νεανίσκος εἰς αὐτὸν εἰρῆσθαι τὰ λεχθέντα, τὸ μὲν ὄψον οὐκ ἐπαύσατο ἐσθίων, ἄρτον δὲ προσέλαβε. Καὶ ὁ Σωκράτης καταμαθών, παρατηρεῖτ', ἔφη, τοῦτον οἱ πλησίον ὁπότερα τῷ σίτῳ ὄψῳ, ἢ τῷ ὄψῳ σίτῳ χρήσεται.

§ 5. Ἄλλον δέ ποτε τῶν συνδείπνων ἰδὼν ἐπὶ τῷ ἑνὶ ψωμῷ[3] πλειόνων ὄψων γευόμενον, Ἆρα γένοιτ' ἄν, ἔφη, πολυτελεστέρα ὀψοποιΐα ἢ μᾶλλον τὰ ὄψα λυμαινομένη, ἢ ἣν ὀψοποιεῖται ὁ ἅμα πολλὰ ἐσθίων καὶ ἅμα παντοδαπὰ ἡδύσματα εἰς τὸ στόμα λαμβάνων; πλείω μέν γε[3] τῶν ὀψοποιῶν συμμιγνύων πολυτελέστερα ποιεῖ· ἃ δὲ ἐκεῖνοι μὴ συμμιγνύουσιν, ὡς οὐχ ἁρμόττοντα, ὁ συμμιγνύων (εἴπερ ἐκεῖνοι ὀρθῶς ποιοῦσιν) ἁμαρτάνειτε καὶ καταλύει τὴν τέχνην αὐτῶν.

§ 6. Καί τοι πῶς οὐ γελοῖόν ἐστι, παρασκευάζεσθαι μὲν ὀψοποιοὺς τοὺς ἄριστα ἐπισταμένους, αὐτὸν δὲ μὴ ἀντιποιούμενον τῆς τέχνης ταύτης, τὰ ὑπ' ἐκείνων ποιούμενα μετατιθέναι; καὶ ἄλλο δέ τι προσγίγνεται τῷ ἅμα πολλὰ ἐσθίειν[2] ἐθισθέντι· μὴ παρόντων γὰρ πολλῶν, μειονεκτεῖν ἄν τι δοκοίη, ποθῶν τὸ σύνηθες· ὁ δὲ συνεθισθεὶς τὸν ἕνα ψωμὸν ἑνὶ ὄψῳ προπέμπειν,[3] ὅτε μὴ παρείη πολλά, δύναιτ' ἂν ἀλύπως τῷ ἑνὶ χρῆσθαι.

του. — § 3. 2. τὸ ὄψον αὐτὸ] τὸ ὄψον μόνον. — 3. μὴ ἀσκήσεως,] μὴ χάριν γυμνασίας, ὥσπερ οἱ ἀθληταί, κρεωφαγίστατοι πάντων ὄντες, ἵν' εὐεκτοῖεν εἰς τὸ γυμνάζεσθαι. — § 5, 2 ἐπὶ τῷ ἑνὶ ψωμῷ] ἐφ' ἑνὶ ἄρτου κλάσματι, ὅπερ ἡ συνήθεια Φελλίον καὶ Φέτταν καλεῖ, τὸ μὲν παρὰ τὸ τῶν Λατίνων offella, τὸ δὲ παρὰ τὸ Ἰταλικὸν fetta. Λύτὸν δὲ τὸν ἄρτον, Ψωμίον, ὑπυκοριστικῷ τύπῳ, φράζει. — 3 πλείω μέν γε κτλ] Ἴσον δύναται τὸ «Πλείω μὲν γάρ.» Ἔπιθι τὰ σημειωθέντα εἰς τὸν Ἰσοκράτην (σελ. 136.). — § 6, 2. ἐσθίειν] ΔΓ, ἐπεσθίειν. — 3. τὸν ἕνα ψωμὸν ἑνὶ ὄψῳ προπέμπειν κτλ.] Οὐκ οἶδα τί βούλεται ὧδε τὸ «προπέμπειν», εἰ μὴ μεταφορικῶς βούλοιτό τις ἐκλαμβάνειν κατὰ τὸ τῶν Γάλλων accompagner. Ὁ Β. ἡρμήνευσεν αὐτὸ διὰ τοῦ absumere. Ἀλλὰ τοῦτο ἐστὶν ἀναλίσκειν, οὐ κακῶς μὲν τῷ νῷ, ἀλλοτρίως γε μὴν τῆς σημασίας τοῦ Προπέμπειν. Μῶν ἦν προσπέττειν; τουτέστιν, ἑνὶ ὄψῳ ἕνα ψωμὸν προσπέττειν, ὅ ἐστι συνεψεῖν ἢ συνεσθίειν. Ἀμφότερα γὰρ σημαίνει τὸ πέττειν ἢ Πέσσειν, καὶ τὴν ἕψησιν, καὶ τοῦ στομάχου τὴν εἰς τὰ πεπεμμένα καὶ βεβρωμένα ἐνέργειαν, οἱονεί δευτέραν τινὰ ἕψησιν οὖσαν· ὅθεν καὶ ἡ Ἀπεψία καὶ ἡ Δυσπεψία, στομά-

§ 7. Ἔλεγε δὲ καὶ ὡς ΕΥΩΧΕΙΣΘΑΙ ἐν τῇ Ἀθηναίων γλώττῃ τὸ ἐσθίειν καλοῖτο·[2] τὸ δὲ ΕΥ˙ προσκεῖσθαι ἔφη, ἐπὶ τῷ ταῦτα ἐσθίειν, ἅτινα μήτε τὴν ψυχὴν μήτε τὸ σῶμα λυποίη, μήτε δυσεύρετα εἴη. Ὥστε καὶ τὸ εὐωχεῖσθαι τοῖς κοσμίως διαιτωμένοις ἀνετίθει.

ΒΙΒΛΙΟΝ Δ΄.

ΚΕΦΑΛΑΙΟΝ I.

§ 1. Οὕτω δὲ ὁ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τρόπον ὠφέλιμος,[2] ὥστε τῷ σκοπουμένῳ τοῦτο, ἢ καὶ μετρίως αἰσθανομένῳ,[3]

χου νόσοι ἢ ἀσθένειαι.— Οὐ μετακινητέον τὸ «Προπέμπειν», πλὴν εἰ μή τις τὴν πρόθεσιν αὐτοῦ μόνον μεταβάλλειν προαιροῖτο γράφων «Παραπέμπειν», ὡ καὶ Δικαίαρχος (παρ' Ἀθην. σελ. 141.) ἐχρήσατο, τὰ Λακωνικὰ ἱστορῶν συσσίτια, καίπερ ἐκεῖνος τοῖς ἐσθίουσιν, οὐ τοῖς ἐσθιομένοις συντάξας τὸ ῥῆμα· «Ὄψον τι μικρὸν, ἔχον σταθμὸν ὡς τέταρτον μνᾶς »μάλιστα· καὶ παρὰ τοῦτο ἕτερον οὐδὲν, »πλὴν ὅ γε ἀπὸ τούτου ζωμὸς, ἱκανὸς ὢν »παρ' ἅπαν τὸ δεῖπνον ἅπαντας αὐτοὺς »παραπέμπειν.» Ταῦτα ἐξηγούμενος ὁ Κασωβὼν, οὕτω παραφράζει, ὡς πρὸς τὸν ἄρτον μᾶλλον ἢ τοὺς ἐσθίοντας ἀναφέρεσθαι τὸ ἀπαρέμφατον. Mire usus est verbo παραπέμπειν. id significat, DEDUCERE ALIQUEM ET COMITARI . . . Sensus igitur est: TANTA COPIA IUS APPONI, UT SUFFICIAT VEL SOLUM AD LEVANDAM OMNIBUS SICCI PANIS MOLESTIAM: libentius enim ex iure panis estur, quam siccus et solus.

§ 7, 2. ὡς εὐωχεῖσθαι ἐν τῇ Ἀθηναίων γλώττῃ τὸ ἐσθίειν καλοῖτο] ΗΔ ἡ τοῦ ἄρθρου μετάθεσις· ἐγράφετο γάρ, «ὡς ΤΟ εὐωχεῖσθαι ἐν τῇ Ἀθηναίων γλώττῃ ἐσθίειν καλοῖτο.» Ὁ δὲ Σ ἐξ ΕΔ, ἐνήλλαξε καὶ τῶν ἀπαρεμφάτων τὴν τάξιν, γράψας, «ὡς τὸ ἐσθίειν ἐν τῇ Ἀ»θηναίων γλώττῃ εὐωχεῖσθαι καλοῖτο.» Ὁ δὲ νοῦς ἐστιν αὐτός. Ὀχὴν δὲ ἐκάλουν τὴν τροφήν, κατὰ μὲν τὸν Εὐστάθιον (Ἰλιάδ. β΄, σελ. 280) οἱ Ἀχαιοὶ, τοὺς ἐν Πελοποννήσῳ Ἀχαιοὺς, οἶμαι, λέγοντα· ἴσως δὲ καὶ τοῖς Ἀθηναίοις σύνηθες ἦν οὐ μόνον τὸ παρὰ τὴν ὀχὴν σύνθετον ῥῆμα, ἀλλὰ καὶ αὐτὴ ἡ ὀχὴ, ἐπὶ τῆς τροφῆς. Ὁ δὲ Ἀθήναιος (σελ. 363.) ἀλλως ἐτυμολογεῖ τὸ Εὐωχεῖσθαι. «Τὰς »δ' εὐωχίας ἐκάλουν οὐχ ἀπὸ τῆς ὀχῆς, »ἥ ἐστι τροφὴ, ἀλλ' ἀπὸ τοῦ κατὰ ταῦ»τα (γρ. ταύτας) εὖ ἔχειν.»

§ 1. 2. ἐν παντὶ πράγματι καὶ πάντα τρόπον ὠφέλιμος.] Σημειοῦ τὴν φράσιν, ὡς ἐν ὀλίγοις τὰς ἁπάσας ἀρετὰς Σωκράτους ἐμπεριλαμβάνουσαν. Ἐστι μὲν οὖν ὠφέλιμον εἶναι τῇ πολιτείᾳ καὶ πατρίδι ἐν πολλοῖς πράγμασι καὶ κατὰ πολλοὺς τρόπους· ὠφελεῖ γὰρ αὐτὴν οὐ μικρὰ, καὶ ὁ σκυτεὺς καὶ ὁ ὑφάντης καὶ ὁ τέκτων, καὶ ἁπλῶς ὁ ἐν ὁτιοῦν τῶν πρὸς τὸν βίον ἀναγκαίων ἐργαζόμενος ἑαυτῷ τε καὶ τοῖς πολίταις· καὶ τοῦτο ἀπέχοη τῷ φυγεῖν ἐθέλοντι τὸ τῆς ἀργίας, ἐπιβλαβέστατου ταῖς πόλεσι κακοῦ, ὄνειδος, ἀλλ' οὐ καὶ τῷ ὄντως ἀγαθῷ πολίτῃ εἶναί τε καὶ λέγεσθαι βουλομένῳ. Γενέσθαι δὲ τοιοῦτον οὐχ οἷόν τε, ἂν μὴ, πρὸς οἷς ἄλλοις ἐργάζεται, καὶ τὴν δικαιοσύνην ἀσκῇ πρὸς ἅπαντας ἐν παντὶ πράγματι καὶ κατὰ πάντα τρόπον, κατὰ τὸ εἰρημένον,

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή ἐστι,

καὶ ὥσπερ Σωκράτης ἔλεγεν (Ἀπομν. σελ. 115), ὅτι «Οὐχ οἷόν τέ γε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι.» — 3. τῷ σκοπουμένῳ τοῦτο, Ἢ ΚΑΙ μετρίως αἰσθανομένῳ] ΗΔ, ἀντὶ τοῦ ΕΙ ΚΑΙ. Ἡ γὰρ διὰ τοῦ συναπτικοῦ γραφὴ σημαίνει, τῷ σκοπουμένῳ, καίπερ μετρίως αἰσθανομένῳ, ἢ τῷ σκοπουμένῳ, εἰ καὶ μετρίως αἰσθάνοιτο· ὅπερ ἐστὶν ἀτυλλόγιστον· ὁ γὰρ σκοπούμενος, οὐ μετρίως αἰσθάνεσθαι λέγοιτ' ἂν εἰκότως, ὥσπερ οὐδ' ὁ μετρίως αἰσθανόμενος σκοπεῖσθαι. Ἡ δ' ἡμετέρα διόρθωσις λέγει,

φανερὸν εἶναι, διότι οὐδὲν[4] ὠφελιμώτερον ἦν τοῦ Σωκράτει συνεῖναι, καὶ μετ' ἐκείνου διατρίβειν ὁπουοῦν καὶ ἐν ὁτῳοῦν πράγματι (ἐπεὶ καὶ τὸ ἐκείνου μεμνῆσθαι μὴ παρόντος, οὐ μικρὰ ὠφέλει τοὺς εἰωθότας τε αὐτῷ συνεῖναι καὶ ἀποδεχομένους ἐκεῖνον[5].) Καὶ γὰρ παίζων οὐδὲν ἧττον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβουσι.

§ 2. Πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾶν, φανερὸς δ' ἦν, οὐ τῶν τὰ σώματα πρὸς ὥραν ἀλλὰ τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. Ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς προσέχοιεν, καὶ μνημονεύειν ἃ ἂν μάθοιεν, καὶ ἐπιθυμεῖν τῶν μαθημάτων πάντων, δι' ὧν ἐστιν οἰκίαν τε καλῶς οἰκεῖν καὶ πόλιν, καὶ τὸ ὅλον ἀνθρώποις τε καὶ ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι. Τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας εἶναι καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν.

§ 3. Οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάντας ἦει, ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς εἶναι, μαθήσεως δὲ καταφρονοῦντας, ἐδίδασκεν, ὅτι αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται· ἐπιδεικνύων τῶν τε ἵππων τοὺς εὐφυεστάτους, θυμοειδεῖς τε καὶ σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δαμασθείεν, εὐχρηστοτάτους καὶ ἀρίστους γενομένους, εἰ δὲ ἀδάμαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλοτάτους· καὶ τῶν κυνῶν τῶν εὐφυεστάτων, φιλοπόνων τε οὐσῶν καὶ ἐπιθετικῶν τοῖς θηρίοις, τὰς μὲν καλῶς ἀχθείσας ἀρίστας γίγνεσθαι πρὸς τὰς θήρας καὶ χρησιμωτάτας, ἀναγώγους δὲ γιγνομένας ματαίους τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας.

§ 4. Ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους ἐρρωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας καὶ ἐξεργαστικωτάτους, ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας μὲν καὶ μαθόντας, ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφελιμωτάτους γίγνεσθαι (πλεῖστα γὰρ καὶ μέγιστα ἀγαθὰ ἐργάζεσθαι), ἀπαιδεύτους δὲ καὶ ἀμαθεῖς γενομένους, κακίστους καὶ βλαβερωτάτους γίγνεσθαι· κρίνειν γὰρ οὐκ ἐπισταμένους ἃ δεῖ πράττειν, πολλάκις πονηροῖς ἐπιχειρεῖν πράγμασι,

---

ὅτι οὐ μόνον τῷ σκοπουμένῳ (τουτέστι τῷ μετὰ σκέψεως ἀναλογιζομένῳ) ἀλλὰ καὶ τῷ μετρίως αἰσθανομένῳ (τουτέστι τῷ ἐπιπολῆς θεωροῦντι) φανερὸν ἦν κτλ. — 4. φανερὸν εἶναι, ΔΙΟΤΙ οὐδὲν κτλ.] Διπλασιάσαντα τὴν ἀρχαίαν γραφὴν εἰς τὴν χώραν τοῦ ἐξ ΕΔ, γραφομένου τῷ Σ. ΟΤΙ· οὐ σπανιάκις γὰρ ἀντὶ τούτου τῷ Διότι χρῶνται οἱ δόκιμοι, ὥσπερ ἐδείξεν ἐν ταῖς σημειώσεσιν ὁ Λ. — 5. ἐπεὶ καὶ τὸ ἐκείνου . . . ἀποδεχομένους ἐκεῖνον.] Ὅλην ταύτην τὴν περίοδον ὀκτωκαίδεκα λέξεσι περικυκλουμένην, ἀφοριστέον εἶναι τοῦ κειμένου, ὡς τοῖς προηγουμένοις ἀνακόλουθον, ἔκρινεν ὅτε Σ. καὶ] ἕτεροί τινες τῶν κριτικῶν, οἷς οὐκ ἄγνωτα πεισθῆναι.

μεγαλείους[2] δὲ καὶ σφοδροὺς ὄντας, δυσκαθέκτους τε καὶ δυσαποτρέπτους εἶναι· διὸ πλεῖστα καὶ μέγιστα κακὰ ἐργάζεσθαι.

§ 5. Τοὺς δὲ ἐπὶ πλούτῳ μέγα φρονοῦντας καὶ νομίζοντας οὐδὲν προσδεῖσθαι παιδείας, ἐξαρκέσειν δέ σφισι τὸν πλοῦτον οἰομένους πρὸς τὸ διαπράττεσθαί τε ὅ,τι ἂν βούλωνται, καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφρένου λέγων, ὅτι μωρὸς μὲν εἴη, εἴ τις οἴεται, μὴ μαθὼν τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι· μωρὸς δ', εἴ τις, μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ δὲ τὸν πλοῦτον, ὅ,τι ἂν βούληται, πορίζόμενος, οἴεται δυνήσεσθαι καὶ τὰ συμφέροντα πράττειν· ἠλίθιος δ', εἴ τις, μὴ δυνάμενος τὰ συμφέροντα πράττειν, οὗ τε πράττειν οἴεται καὶ τὰ πρὸς τὸν βίον αὐτῷ ἢ καλῶς ἢ ἱκανῶς παρεσκευάσθαι· ἠλίθιος δὲ καὶ, εἴ τις οἴεται διὰ τὸν πλοῦτον, μηδὲν ἐπιστάμενος, δόξειν τἰ ἀγαθὸς εἶναι, ἢ μηδὲν ἀγαθὸς εἶναι δοκῶν, εὐδοκιμήσειν.

ΚΕΦΑΛΑΙΟΝ II.

§ 1. Τοῖς δὲ νομίζουσι παιδείας τε τῆς ἀρίστης τετυχηκέναι καὶ μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ ὁἳς προσεφέρετο, νῦν διηγήσομαι. Καταμαθὼν γὰρ Εὐθύδημον[2] τὸν Καλὸν γράμματα[3] πολλὰ συνειλεγμένον ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, καὶ ἐκ τούτων ἤδη τε νομίζοντα διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ, καὶ μεγάλας ἐλπίδας ἔχοντα, πάντων διοίσειν τῷ δύνασθαι λέγειν τε καὶ πράττειν, πρῶτον μέν, αἰσθανόμενος αὐτὸν διὰ νεότητα οὔπω εἰς τὴν ἀγορὰν[4] ἰσιόντα, εἰ δέ τι βούλοιτο διαπράξασθαι, καθίζοντα εἰς ἡνιοποιεῖόν τι τῶν ἐγγὺς τῆς ἀγορᾶς, εἰς τοῦτο καὶ αὐτὸς ἤει, τῶν μεθ' αὑτοῦ τινας ἔχων.

§ 2. Καὶ πρῶτον μὲν πυνθανομένου τινὸς, πότερον Θεμιστοκλῆς διὰ ξυνουσίαν τινὸς τῶν σοφῶν ἢ φύσει τοσοῦτον διήνεγκε τῶν πολιτῶν ὥστε πρὸς ἐκεῖνον ἀποβλέπειν τὴν πόλιν, ὁπότε σπουδαίου ἀνδρὸς δεήθείη; ὁ Σωκράτης, βουλόμενος κινεῖν τὸν Εὐθύδημον, Εὖηθες, ἔφη, εἶναι τὸ οἴεσθαι, τὰς μὲν ὀλίγου ἀξίας τέχνας μὴ γίγνεσθαι σπουδαίους[2] ἄνευ διδασκάλων ἱκανῶν, τὸ δὲ προεστάναι πόλεως, πάντων ἔργων μέγιστον ὂν, ἀπὸ ταὐτομάτου παραγίγνεσθαι τοῖς ἀνθρώποις.

---

§ 4. 2. Μεγαλείους,] μεγαλόφρονας.

§ 1, 2. Εὐθύδημον,] οὗ καὶ ἀνωτέρω (A, II, § 29) ἐμνημόνευτε. — 3. γράμματα] ἐπὶ τοῦ « βιβλία » ὧδε· καθὰ καὶ ἐν ἄλλοις (Πλουτ. χρ. τὰ πολιτικὰ σελ. 129) σεσημείωται. — 4. εἰς τὴν ἀγορὰν] εἰς τὴν ἐκκλησίαν. « Ἀγορᾶς, ἐκκλησίας, ἢ ῥητορείας » φησὶν Ἡσύχιος, διὰ μὲν τοῦ πρώτου σημαίνων τὸν τόπον ἢ τὴν συνέλευσιν, διὰ δὲ τοῦ « ῥητορείας » αὐτὰς τῶν συνερχομένων τὰς δημηγορίας — § 2, 2. τὰς μέν . . . τέχνας μὴ γίνεσθαι σπουδαίους] τοὺς

§ 3. Πάλιν δέ ποτε παρόντος τοῦ Εὐθυδήμου, ὁρῶν αὐτὸν ἀποχωροῦντα τῆς συνεδρίας,[2] καὶ φυλαττόμενον μὴ δόξῃ τὸν Σωκράτην θαυμάζειν ἐπὶ σοφίᾳ, Ὅτι μέν, ἔφη, ὦ ἄνδρες, Εὐθύδημος οὑτοσὶ ἐν ἡλικίᾳ γενόμενος, τῆς πόλεως λόγον περί τινος προτιθείσης,[3] οὐκ ἀφέξεται τοῦ συμβουλεύειν, εὔδηλόν ἐστιν ἐξ ὧν ἐπιτηδεύει. Δοκεῖ δέ μοι καλὸν προοίμιον τῶν δημηγοριῶν παρασκευάζεσθαι φυλαττόμενος μὴ δόξῃ μανθάνειν τι παρά του. Δῆλον γάρ ὅτι λέγειν ἀρχόμενος ὧδε προοιμιάσεται.

§ 4. « Παρ' οὐδενὸς μέν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέν ἔ-
» μαθον, οὐδ' ἀκούων, τινὰς εἶναι λέγειν τε καὶ πράττειν ἱκανούς,
» ἐζήτησα τούτοις ἐντυχεῖν, οὐδ' ἐπεμελήθην τοῦ διδάσκαλόν τινά
» μοι γενέσθαι τῶν ἐπισταμένων, ἀλλὰ καὶ τἀναντία· διατετέ-
» λεκα γάρ φεύγων[2] οὐ μόνον τὸ μανθάνειν τι παρά τινος, ἀλλὰ
» καὶ τὸ δόξαι. Ὅμως δέ, ὅτι ἂν ἀπὸ ταὐτομάτου ἐπίῃ μοι, συμ-
» βουλεύσω ὑμῖν. »

§ 5. Ἁρμόσειε δ' ἂν οὕτω προοιμιάζεσθαι καὶ τοῖς βουλομένοις παρὰ τῆς πόλεως ἰατρικὸν ἔργον λαβεῖν,[2] ἐπιτήδειον τ' ἂν[3] αὐτοῖς εἴη τοῦ λόγου ἄρχεσθαι ἐντεῦθεν· « Παρ' οὐδενὸς μέν πώποτε,
» ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμαθον, οὐδ' ἐζήτησα
» διδάσκαλον ἐμαυτῷ γενέσθαι τῶν ἰατρῶν οὐδένα· διατετέλεκα
» γάρ φυλαττόμενος οὐ μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν, ἀλ-
» λὰ καὶ τὸ δοξαι μεμαθηκέναι τὴν τέχνην ταύτην. Ὅμως δέ
» μοι τὸ ἰατρικὸν ἔργον δότε· πειράσομαι γάρ ἐν ὑμῖν ἀποκιν δυ-
» νεύειν μανθάνειν. » Πάντες οὖν οἱ παρόντες ἐγέλασαν ἐπὶ τῷ προοιμίῳ.

§ 6. Ἐπεὶ δὲ φανερὸς ἦν ὁ Εὐθύδημος ἤδη μέν, οἷς ὁ Σωκράτης

ἀνθρώπους μὴ εὐδοκιμεῖν κατὰ τὰς τέχνας. — § 3, 2. συνεδρίας] ΔΓ, συνέδρας. — 3. προτιθείσης] διὰ τοῦ κήρυκος ὃς ἀνεφώνει τὸ γνωστόν, « Τίς ἀγορεύειν βούλεται; » (Ἰδ. Δημοσθ. Περὶ Στεφ. σελ. 265, Αἰσχίν. Κατὰ Κτησιφ. σελ. 386, καὶ Ἀριστοφ. Ἀχαρν. 45). — § 4, 2. ἀλλὰ καὶ τἀναντία· διατετέλεκα γὰρ φεύγων κ. τ. λ.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν τε καὶ στίξιν, ΑΤ, « ἀλλὰ καὶ τἀναντία διατετέλεκα φεύγων » ὃ καί τις τῶν πρὸ ἐμοῦ ἐπιστώσατο ἑτέρῳ Ξενοφῶντος χωρίῳ, ἐκ τοῦδε τοῦ κεφαλαίου (§ 22) παρατεθειμένῳ. — § 5, 2. παρὰ τῆς πόλεως ἰατρικὸν ἔργον λαβεῖν.] Ἴσον τῷ ἀνωτέρῳ (σελ. 272) συνθέτῳ ἐργολαβεῖν. Ἔστιν οὖν τὸ, Ἰατρικὸν ἔργον λαβεῖν παρὰ τῆς πόλεως, δημοσίᾳ παρὰ τῆς πόλεως μισθὸν τῆς ἰατρικῆς λαμβάνειν· οἷοί εἰσι παρὰ τοῖς νεωτέροις οἱ τὴν τῶν νοσοκομείων ἐπιμέλειαν μισθοῦ παρὰ τῶν πόλεων ἐπιτρεπόμενοι ἰατροί. Ἰδίῳ δὲ ῥήματι καὶ « δημοσιεύειν » ἐλέγοντο παρὰ τοῖς ἀρχαίοις οἱ τοιοῦτοι ἰατροί· πρὸς γοῦν τὸν παρὰ τῷ Κωμικῷ (Ἀχαρν. 1030) φάρμακον ὀφθαλμίας αἰτοῦντα γεωργὸν ὁ ἰατρὸς ἀποκρίνεται.

Ἀλλ', ὦ πόνηρ', οὐ δημοσιεύων
τυγχάνω,

τουτέστιν οὐ δημόσιος ἰατρὸς ὑπὸ τῆς πόλεως ἀναδέδειγμαι, ἵνα σου ἀμισθὶ θεραπεύτω τοὺς ὀφθαλμούς· καθὰ καὶ ὁ σχολιαστὴς ἐξηγούμενος λέγει, « Οἱ δημοσίᾳ χειροτονούμενοι ἰατροὶ καὶ δημόσιοι (Ἴσ. γρ. δημοτίᾳ) προῖκα ἐθεράπευον. » — 3. ἐπιτήδειον τ' ἄν.] ΗΔ, ΑΤ, « ἐπιτήδειον γ' ἂν » ὅπερ ὁ Σ. ἔτρεψεν

λέγοι, προσέχων, ἔτι δὲ φυλαττόμενος αὐτός τι φθέγγεσθαι, καὶ νομίζων τῇ σιωπῇ σωφροσύνης δόξαν περιβάλλεσθαι, τότε ὁ Σωκράτης, βουλόμενος αὐτὸν παῦσαι τούτου, Θαυμαστὸν γάρ, ἔφη, τί ποτε οἱ βουλόμενοι κιθαρίζειν ἢ αὐλεῖν ἢ ἱππεύειν ἢ ἄλλο τι τῶν τοιούτων ἱκανοὶ γενέσθαι πειρῶνται ὡς συνεχέστατα ποιεῖν ὅ,τι ἂν βούλωνται δυνατοὶ γενέσθαι *καὶ* οὐ καθ' ἑαυτούς,[2] ἀλλὰ παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶναι, πάντα ποιοῦντες καὶ ὑπομένοντες, ἕνεκα τοῦ μηδὲν ἄνευ τῆς ἐκείνων γνώμης ποιεῖν, ὡς οὐκ ἂν ἄλλως ἀξιόλογοι γενόμενοι· τῶν δὲ βουλομένων δυνατῶν γενέσθαι λέγειν τε καὶ πράττειν τὰ πολιτικὰ νομίζουσί τινες ἄνευ παρασκευῆς καὶ ἐπιμελείας αὐτόματοι ἐξαίφνης δυνατοὶ ταῦτα ποιεῖν ἔσεσθαι.

§ 7. Καί τοι γε τοσούτῳ ταῦτα ἐκείνων δυσκατεργαστότερα φαίνεται, ὅσῳπερ, πλειόνων περὶ ταῦτα πραγματευομένων, ἐλάττους οἱ κατεργαζόμενοι[2] γίγνονται. Δῆλον οὖν, ὅτι καὶ ἐπιμελείας δέονται πλείονος καὶ ἰσχυρωτέρας οἱ τούτων ἐφιέμενοι, ἢ οἱ ἐκείνων.

§ 8. Κατ' ἀρχὰς μὲν οὖν, ἀκούοντος[2] Εὐθυδήμου, τοιούτους λόγους ἔλεγε Σωκράτης· ὡς δ' ἤσθετο αὐτὸν ἑτοιμότερον ὑπομένοντα, ὅτε διαλέγοιτο, καὶ προθυμώτερον ἀκούοντα, μόνος ἦλθεν εἰς τὸ ἡνιοποιεῖον· παρακαθεζομένου δ' αὐτῷ τοῦ Εὐθυδήμου, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, τῷ ὄντι, ὥσπερ ἐγὼ ἀκούω, πολλὰ γράμματα συνῆχας[3] τῶν λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι; Νὴ τὸν Δί', ἔφη, ὦ Σώκρατες· καὶ ἔτι γε συνάγω, ἕως ἂν κτήσομαι ὡς ἂν δύνωμαι πλεῖστα.

§ 9. Νὴ τὴν Ἥραν, ἔφη ὁ Σωκράτης, ἄγαμαί σου, διότι οὐκ ἀργυρίου καὶ χρυσίου προείλου θησαυροὺς κεκτῆσθαι μᾶλλον ἢ σοφίας· δῆλον γάρ, ὅτι νομίζεις ἀργύριον καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς δὲ τῶν σοφῶν ἀνδρῶν γνώμας ἀρετῇ πλουτίζειν τοὺς κεκτημένους. Καὶ ὁ Εὐθύδημος ἔχαιρεν ἀκούων ταῦτα, νομίζων δοκεῖν τῷ Σωκράτει, ὀρθῶς μετιέναι τὴν σοφίαν.

§ 10. Ὁ δὲ καταμαθὼν αὐτὸν ἡσθέντα τῷ ἐπαίνῳ τούτῳ, Τί δὲ δή βουλόμενος[2] ἀγαθὸς γενέσθαι, ἔφη, ὦ Εὐθύδημε, συλ-

---

εἰς τὸ, « ἐπιτήδειον γάρ. » — § 6, 2. καὶ οὐ καθ' ἑαυτούς.] Ὡς πλεονάζοντα τὸν σύνδεσμον ἀστερίσκοις διείληφα· λείπει δὲ καὶ παρὰ τῷ B. Ὁ νοῦς, Οὐκ ἄνευ διδασκάλου. — § 7, 2. οἱ κατεργαζόμενοι,] οἱ κατορθοῦντες, οἱ ἐπιτυχῶς ἐργαζόμενοι. — § 8, 2. Κατ' ἀρχὰς μὲν οὖν, « ἀκούοντος. »] Γραπτέον εἶναι μετ' ἀρνήτεως . . . Οὐκ ἀκούοντος, ὑπενόησάν τινες. — 3. γράμματα συνῆχας] συγγράμματα, βιβλία, ὥσπερ ἀνωτέρω. Ἀντὶ τοῦ « συνῆξας » οἱ πρὸ ἐμοῦ προείλοντο ἐκ Δ Γ τὸν παρακείμενον, « συνῆχας »· οὗπερ ἀττικώτερον ἂν ἦν τὸ « συναγήοχας. » — § 10, 2. Τί δὲ δὴ βουλόμενος κ. τ. λ.] Κατὰ τί θέλων ἀγαθὸς

λέγεις τὰ γράμματα; Ἐπεὶ δὲ διεσώπησεν ὁ Εὐθύδημος, σκοπῶν ὅ,τι ἀποκρίναιτο, πάλιν ὁ Σωκράτης, Ἆρα μὴ ἰατρός; ἔφη· πολλὰ γὰρ καὶ ἰατρῶν ἐστι συγγράμματα.[3] Καὶ ὁ Εὐθύδημος, Μὰ Δί', ἔφη, οὐκ ἔγωγε. Ἀλλὰ μὴ ἀρχιτέκτων βούλει γενέσθαι· γνωμονικοῦ γὰρ ἀνδρὸς καὶ τοῦτο δεῖ.[4] Οὐκοῦν ἔγωγ', ἔφη. Ἀλλὰ μὴ γεωμέτρης ἐπιθυμεῖς, ἔφη, γενέσθαι ἀγαθὸς, ὥσπερ ὁ Θεόδωρος;[5] Οὐδὲ γεωμέτρης, ἔφη. Ἀλλὰ μὴ ἀστρολόγος,[6] ἔφη, βούλει γενέσθαι; Ὡς δὲ καὶ τοῦτο ἠρνεῖτο, Ἀλλὰ μὴ ῥαψῳδός; ἔφη, καὶ γὰρ τὰ Ὁμήρου σέφασίν ἔπη πάντα κεκτῆσθαι.[7] Μὰ Δί' οὐκ ἔγωγ', ἔφη· τοὺς γάρ τοι ῥαψῳδοὺς οἶδα τὰ μὲν ἔπη ἀκριβοῦντας, αὐτοὺς δὲ πάνυ ἠλιθίους[8] ὄντας.

§ 11. Καὶ ὁ Σωκράτης ἔφη· Οὐ δήπου, ὦ Εὐθύδημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται καὶ οἰκονομικοὶ καὶ ἄρχειν ἱκανοὶ, καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; Καὶ ὁ Εὐθύδημος, Σφόδρα γ', ἔφη, ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι. Νὴ Δί', ἔφη ὁ Σωκράτης, τῆς καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι τέχνης· ἔστι γὰρ τῶν βασιλέων αὕτη, καὶ καλεῖται βασιλική. Ἆτάρ, ἔφη, κατανενόηκας, εἰ οἷόν τ' ἐστὶ, μὴ ὄντα δίκαιον, ἀγαθὸν ταῦτα γενέσθαι; Καὶ μάλα, ἔφη, καὶ οὐχ οἷόν τέ γε[2] ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι.

§ 12. Τί οὖν; ἔφη, σὺ δὴ τοῦτο κατείργασαι; Οἶμαί γε, ἔφη, ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. Ἆρ' οὖν, ἔφη, τῶν δικαίων ἐστὶν ἔργα, ὥσπερ τῶν τεκτόνων; Ἔστι μέντοι, ἔφη. Ἆρ' οὖν, ἔφη, ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα, ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν ἐξηγήσασθαι;[2] Μὴ οὖν, ἔφη ὁ Εὐθύθημος, οὐ δύνανται τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι;[3] καὶ, νὴ Δί', ἔγωγε [καὶ] τὰ τῆς ἀδι-

---

ἐπιστήμων ἢ τεχνίτης γενέσθαι, συνάγεις τὰ συγγράμματα; — 3. πολλὰ γὰρ καὶ ἰατρῶν ἐστι ΣΥΓΓΡΑΜΜΑΤΑ.] ἕως ἐγέγραπτο· «πολλὰ γὰρ καὶ ἰατρῶν ἐστί ΣΟΙ ΓΡΑΜΜΑΤΑ· παντοδαπῆς γὰρ εἰκὸς ὕλης εἶναι τὴν παρὰ τῷ Εὐθυδήμῳ τῶν βιβλίων συναγωγήν. — 4. γνωμονικοῦ γὰρ ἀνδρὸς καὶ ΤΟΥΤΟ δεῖ.] Ἐλλειπτικῶς ἐξηγήσαντο τὴν ἀντωνυμίαν (Κατὰ τοῦτο). Ἴσως ἐγέγραττο, ΤΟΥΤΩ, τουτέστι τῷ ἔργῳ ἢ ἐπιτηδεύματι τοῦ ἀρχιτέκτονος.] Γνωμονικοῦ δὲ, σαφέστερον, εἰδέναι δυναμένου. — 5. Θεόδωρος;] οὗ καὶ Πλάτων ἐμνημόνευσεν ἐν Θεαιτήτῳ. — 6. ἀστρολόγος.] Τοὺς ἀστρονόμους, ἀστρολόγους ἐκάλουν. — 7. ἔπη πάντα κεκτῆσθαι.] Ὡς νόθον ἀπέκλεισε τὴν μέσην λέξιν (πάντα) τοῦ κειμένου ὁ Σ. Ἡρμήνευσεν ὅμως αὐτὴν ὁ B. omnia habere Homeri carmina. — 8. ἠλιθίους] Καταφέρεται καὶ Πλάτων, ἢ μᾶλλον Σωκράτης παρὰ τῷ Πλάτωνι, ἐν τῷ ἐπιγραφομένῳ Ἴωνι, τῆς τῶν ῥαψῳδῶν ἠλιθιότητος — § 11, 2. οὐχ οἷόν τέ γε.] Περιττὸς ἔδοξε τῷ Σ. ὁ τελευταῖος σύνδεσμος. — § 12, 2. ἔχοιεν ἂν ἐξηγήσασθαι;] Ἓν ΔΓ, ΑΓ, «διεξηγήσασθαι» Ἕτερα ΔΓ, «διηγήσασθαι» — 3. Μὴ . . . οὐ ΔΥΝΑΝΤΑΙ τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσατθαι κ. τ. λ.;] Ηἀντὶ τοῦ ΔΥΝΩΜΑΙ (ἢ ὡς φέρεται παρὰ τῷ Στοβαίῳ ΔΥΝΑΜΑΙ).

κίας· [4] ἐπεὶ οὐκ ὀλίγα ἐστὶ καθ' ἑκάστην ἡμέραν ταῦτα ὁρᾶν τε καὶ ἀκούειν.

§ 13. Βούλει οὖν, ἔφη ὁ Σωκράτης, γράψωμεν ἐνταυθοῖ μὲν Δ, ἐνταυθοῖ δὲ Α; εἶτα ὅ,τι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ Δ τιθῶμεν, ὅ,τι δ' ἂν τῆς ἀδικίας, πρὸς τὸ Α; Εἴ τι σοι δοκεῖ, ἔφη, προσδεῖν τούτων, ποίει ταῦτα.

§ 14. Καὶ ὁ Σωκράτης γράψας ὥσπερ εἶπεν, Οὐκοῦν, ἔφη, ἔστιν ἐν ἀνθρώποις τὸ ψεύδεσθαι; Ἔστι μέν τοι, ἔφη. Ποτέρωσε οὖν, ἔφη, θῶμεν τοῦτο; Δῆλον, ἔφη, ὅτι πρὸς τὴν ἀδικίαν. Οὐκοῦν, ἔφη, καὶ τὸ ἐξαπατᾶν ἐστι; Καὶ μάλα, ἔφη. Τοῦτο οὖν ποτέρωσε θῶμεν; Καὶ τοῦτο δῆλον ὅτι, ἔφη, πρὸς τὴν ἀδικίαν. Τί δὲ τὸ κακουργεῖν; Καὶ τοῦτο, ἔφη. Τί δὲ τὸ ἀνδραποδίζεσθαι;[2] Καὶ τοῦτο. Πρὸς δὲ τῇ δικαιοσύνῃ οὐδὲν ἡμῖν τούτων κείσεται, ὦ Εὐθύδημε; Δεινὸν γάρ[3] ἂν εἴη, ἔφη.

§ 15. Τί δέ; ἐάν τις στρατηγὸς αἱρεθεὶς ἄδικόν τε καὶ ἐχθρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; Οὐ δῆτα, ἔφη. Δίκαια δὲ ποιεῖν οὐ φήσομεν; Καὶ μάλα. Τί δ'; ἂν ἐξαπατᾷ πολεμῶν αὐτοῖς; Δίκαιον, ἔφη, καὶ τοῦτο. Ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; Καὶ μάλα, ἔφη. Ἀλλ' ἐγώ σε τὸ πρῶτον ὑπελάμβανον[2] πρὸς τοὺς φίλους μόνον ταῦτ' ἐρωτᾶν. Οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, πάντα καὶ πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; Ἔοικεν, ἔφη.

§ 16. Βούλει οὖν, ἔφη, ταῦτα οὕτω θέντες διορισώμεθα πάλιν, πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι τὰ τοιαῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους, ἄδικον· ἀλλὰ δεῖν πρός γε τούτους, ὡς ἁπλούστατον εἶναι; Πάνυ μὲν οὖν, ἔφη ὁ Εὐθύδημος.

§ 17. Τί οὖν, ἔφη ὁ Σωκράτης, ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα, ψευσάμενος φήσῃ συμμάχους προσιέναι, καὶ τῷ ψεύδει τούτῳ παύσῃ τῆς ἀθυμίας τοὺς στρατιώτας, ποτέ-

---

Μαρτυρεῖ τῇ ἡμετέρα διορθώσει καὶ ὁ B. Tunc Enthydemus, An non facile possunt justitiæ opera exponere? Et ego per Jovem, inquit Socrates, injustitiæ, etc. τοῦτο μόνον οὐκ ὀρθῶς κρίνας, ὅτι, δέον Εὐθυδήμῳ καὶ τὰ ἑξῆς, « Καὶ νὴ Δί' ἔγωγε κ. τ. λ. » ἀναθεῖναι, ἐ δὲ Σωκράτην ὑπεῖληφεν εἶναι τὸν λέγοντα. — 4. καὶ τὰ τῆς ἀδικίας.] Ἐξ ΕΔ προσειλήφα τὸν σύνδεσμον. Ὁ νοῦς ὅλου τοῦ χωρίου ἐστὶν ὅδε· Ἐρωτήσαντι Σωκράτει, εἰ οἱ δίκαιοι ἔχοιεν ἐξηγῆσθαι τὰ ἑαυτῶν ἔργα, ἀπορῶν Εὐθύδημος ἀποκρίνεται, « Μὴ οὐ δύνανται οἱ ἐξ ἐπαγγελίας δίκαιοι ἐξηγήσασθαι τὰ τῆς δικαιοσύνης ἔργα, ὁπότε κἀγὼ, νὴ Δία, δύναμαι ἐξηγεῖσθαι ταῦτά τε καὶ τὰ τούτοις ἐναντία ἔργα τῆς ἀδικίας; » Παραπλήσιον τῷ παρὰ Πλάτωνι (Ἀλκιβ. II, σελ. 110) διαλογισμῷ τῷδε· « ΣΩ. Ὧ Ὄου ἄρα ἐπίστασθαι καὶ παῖς ὤν, ὡς ἔοικε, τὰ δίκαια καὶ τὰ ἄδικα. ΑΛΚ. Ἔγωγε, καὶ ἠπιστάμην γε. »

§ 14, 2. Τί δὲ τὸ ἀνδραποδίζεσθαι] Ἐξ ΕΔ (συναδούσης τῇ τοῦ B. μεταφράσει, quid vero redigere in servitutem?) ΑΤ, Τὸ δὲ ἀνδραποδίζεσθαι. — 3. Δεινὸν γάρ.] ΔΓ, Δεινόν γε. — § 15, 2. ὑπελάμβανον.] ΔΓ, ὑπέλαβον. — § 17,

ρωθι τὴν ἀπάτην ταύτην θήσομεν; Δοκεῖ μοι, ἔφη, πρὸς τὴν δικαιοσύνην. Ἐὰν δέ τις υἱὸν ἑαυτοῦ, δεόμενον φαρμακείας καὶ μὴ προσιέμενον φάρμακον, ἐξαπατήσας ὡς σιτίον[2] τὸ φάρμακον δῷ, καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιᾶ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; Δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ αὐτό. Τί δέ; ἄν τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτὸν, κλέψῃ ἢ ἁρπάσῃ ἢ ξίφος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θετέον; Καὶ τοῦτο νὴ Δί, ἔφη, πρὸς τὴν δικαιοσύνην.

§ 18. Λέγεις, ἔφη, σὺ οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἁπλοΐζεσθαι; Μὰ Δί, οὐ θῆτα, ἔφη· ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστι. Δεῖ γέ τοι, ἔφη ὁ Σωκράτης, ἐξεῖναι πολὺ μᾶλλον, ἢ μὴ ὀρθῶς τιθέναι.

§ 19. Τῶν δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ (ἵνα μηδὲ τοῦτο παραλίπωμεν[2] ἄσκεπτον) πότερος ἀδικώτερός ἐστιν, ὁ ἑκὼν ἢ ὁ ἄκων; Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔτι μέν ἔγωγε πιστεύω, οἷς ἀποκρίνομαι· καὶ γὰρ τὰ πρόσθεν πάντα νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ὤμην. Ὅμως δὲ εἰρήσθω μοι, ἀδικώτερον εἶναι τὸν ἑκόντα ψευδόμενον τοῦ ἄκοντος.

§ 20. Δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι, ὥσπερ τῶν γραμμάτων; Ἔμοιγε. Πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ, ἢ ὃς ἂν ἄκων; Ὃς ἂν ἑκών, ἔγωγε· δύναιτο γὰρ ἄν, ὁπότε βούλοιτο, καὶ ὀρθῶς αὐτὰ ποιεῖν. Οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων γραμματικὸς ἂν εἴη, ὁ δὲ ἄκων, ἀγράμματος; Πῶς γὰρ οὔ; Τὰ δίκαια δὲ πότερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν, ἢ ὁ ἄκων; Δῆλον ὅτι ὁ ἑκών. Οὐκοῦν γραμματικώτερον μὲν τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φῂς εἶναι; Ναί. Δικαιότερον δὲ τὸν ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; Φαίνομαι· δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν.

§ 21. Τί δὲ δή, ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν μηδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων[2] τὴν αὐτὴν, τοτὲ μὲν πρὸς ἕω τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν, τοτὲ μὲν πλείω τοτὲ δ' ἐλάττω ἀποφαίνηται, τί σοι δοκεῖ ὁ τοιοῦτος; Δῆλος, νὴ Δί, εἶναι, ὅτι, ἃ ᾤετο εἰδέναι, οὐκ οἶδεν.

§ 22. Οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; Ἔγωγε.

---

2. σιτίον] Ἐκ τοῦ Στοβαίου, ἀντὶ τοῦ «σῖτον.» — § 19, 2. παραλίπωμεν.] Ἐκ ΔΓ, ΑΤ, παραλείπωμεν. — § 21, 2. ὁδόν τε φράζων,] δεικνύων ὁδὸν τινὶ ἐρωτῶντι. »Φράζει, δείκνυει, σημαίνει κτλ.» φησὶν Ἡσύχιος. — § 23, 2. φεύγειν, ὅ-

Πότερον διὰ σοφίαν ἢ δι' ἀμαθίαν; Δῆλον ὅτι δι' ἀμαθίαν. Ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν; Οὐ δῆτα. Ἀλλ' ἆρα διὰ τὴν τοῦ τεκταίνεσθαι; Οὐδὲ διὰ ταύτην. Ἀλλὰ διὰ τὴν τοῦ σκυτεύειν; Οὐδὲ δι' ἓν τούτων, ἔφη, ἀλλὰ καὶ τοὐναντίον· οἱ γὰρ πλεῖστοι τῶν γε τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. Ἆρ' οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτ' ἐστίν; Ἔμοι γε δοκεῖ, ἔφη.

§ 23. Οὐκοῦν δεῖ παντὶ τρόπῳ διατειναμένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν.[2] Ἀλλά, νὴ τοὺς Θεούς, ἔφη, ὦ Σώκρατες, πάνυ ἤμην φιλοσοφεῖν φιλοσοφίαν, δι' ἧς ἂν μάλιστα ἐνόμιζον παιδευθῆναι τὰ προσήκοντα ἀνδρὶ καλοκἀγαθίας ὀρεγομένῳ· νῦν δὲ πῶς οἴει με ἀθύμως ἔχειν, ὁρῶντα ἐμαυτὸν διὰ μὲν τὰ προπεπονημένα[3] οὐδὲ τὸ ἐρωτώμενον ἀποκρίνασθαι δυνάμενον,[4] ὑπὲρ ὧν μάλιστα χρὴ εἰδέναι, ἄλλην δὲ ὁδὸν οὐδεμίαν ἔχοντα, ἣν ἂν πορευόμενος βελτίων γενοίμην;

§ 24. Καὶ ὁ Σωκράτης, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελφοὺς ἦλθη πώποτε ἀφίκου; Καὶ δὶς γε, νὴ Δία, ἔφη. Κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ; Ἔγωγε. Πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σαυτὸν ἐπισκοπεῖν, ὅστις εἶης; Μὰ Δί', οὐ δῆτα, ἔφη. Καὶ γὰρ δὴ πάνυ τοῦτό γε ἤμην εἰδέναι· σχολῇ γὰρ ἂν ἄλλο τι ἤδειν,[2] εἴγε μηδ' ἐμαυτὸν ἐγίγνωσκον.

§ 25. Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτόν, ὅστις τοὔνομα τὸ ἐμαυτοῦ μόνον οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι, οὐ πρότερον οἴονται γιγνώσκειν, ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται, πότερον εὐπειθής ἐστιν ἢ δυσπειθής, καὶ πότερον ἰσχυρός ἐστιν[2] ἢ ἀσθενής, καὶ πότερον ταχὺς ἢ βραδύς, καὶ τἆλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως ἑαυτὸν ἐπισκεψάμενος, ὁποῖός ἐστι πρὸς

πως μὴ ἀνδράποδα ὦμεν.] Ταὐτὸν καὶ ὥσπερ ἂν εἰ ἔλεγε, Φεύγειν τὸ ἀνδράποδα εἶναι, Φεύγειν τὴν τῶν ἀνδραπόδων διάθεσιν. — 3. διὰ τὰ προπεπονημένα,] καίπερ πολλὰ προπεπονηκώς. — 4. οὐδὲ τὸ ἐρωτώμενον ἀποκρίνασθαι δυνάμενον.] ΔΓ « ἀποκρίνεσθαι. » Τὰ δὲ πρὸ τούτου τινὲς τῶν κριτικῶν παρήνεσαν μεταποιῆσαι εἰς τὸ «Οὐδὲν τῶν ἐρωτωμένων» ὅπερ ἀρέσκει καὶ τῷ Σ. Οὐ μεταλλητέον τὴν γραφήν, πλὴν εἰ μή τις τὴν ἐμὴν μετοχὴν πληθυντικῶς ἐθέλοι γράφειν κατ' ὀνομαστικήν, τὰ λοιπὰ κατὰ χώραν ἐῶν· «Οὐδὲ τὰ ἐρωτώμενα ἀποκρίνασθαι δυνάμενον», ὃ καὶ τὸν Β. εἰκὸς ἀνεγνωκέναι,» de interrogatis ἐκφράσαντα

§ 24, 2. σχολῇ γὰρ ἂν ἄλλο τι ἤδειν.] Εἰς τὸ «εἰδείην» ἔτρεψε τὸ τελευταῖον τοῦτο ὁ Σ. — § 25, 2. καὶ πότερον ἰσχυρός ἐστιν.] Ἀφορίζει τοῦ κειμένου τὸ ὑπαρκτικὸν ῥῆμα ὁ Σ. ὡς παραλελειμμένον ὑπὸ τοῦ Στοβαίου, ἄλλως καὶ πλεονάζον. Αἱ γε μὴν τοιαῦται παλιλλογίαι ἢ πλεονασμοὶ συνήθεις εἰσίν, ὡς καὶ ἀνωτέρω ἐσημειωσάμεθα, ἐν τοῖς διαλόγοις. — 3 ΟΥΤΟΣ ἔμοι γε δο-

τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν αὑτοῦ δύναμιν; Οὗτος ἔμοί γε δοκεῖ,[3] ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν ἑαυτόν.

§ 26. Ἐκεῖνο δὲ οὐ φανερόν,[2] ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καὶ διαγιγνώσκουσιν ἃ τε δύνανται καὶ ἃ μή· καὶ ἃ μὲν ἐπίστανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καὶ εὖ πράττουσιν· ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται, καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τοῦτο δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους[3] δυνάμενοι δοκιμάζειν, καὶ διὰ τῆς τῶν ἄλλων χρείας[4] τά τε ἀγαθὰ πορίζονται, καὶ τὰ κακὰ φυλάττονται.

§ 27. Οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως πρός τε τοὺς ἄλλους ἀνθρώπους καὶ τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται· καὶ οὔτε ὧν δέονται ἴσασιν, οὔτε ὅ,τι πράττουσιν, οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι, καὶ τοῖς κακοῖς περιπίπτουσι.

§ 28. Καὶ οἱ μὲν εἰδότες ὅ,τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται· καὶ οἵ τε ὅμοιοι τούτοις[2] ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι τούτους ὑπὲρ αὐτῶν βουλεύεσθαι, καὶ προΐστασθαί τε ἑαυτῶν τούτους, καὶ τὰς ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι καὶ διὰ *πάντα* ταῦτα[3] πάντων μάλιστα τούτους ἀγαπῶσιν.

§ 29. Οἱ δὲ μὴ εἰδότες ὅ,τι ποιοῦσι, κακῶς τε αἱρούμενοι καὶ οἷς ἂν[2] ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα, καὶ καταγέλαστοι γίγνονται, καὶ καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν. Ὁρᾷς δὲ καὶ τῶν πόλεων ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ μὲν ἀνάστατοι γίγνονται, αἱ δὲ ἐξ ἐλευθέρων δοῦλαι.

κεί.] Ἐξ ὀψιαιτέρας τοῦ Σ. διορθώσεως ἀντὶ τοῦ ΟΥ΄ΤΩΣ.

§ 26, 2. Ἐκεῖνο δὲ οὐ φανερόν; κτλ.] Καταφατικῶς καὶ ἄνευ ἐρωτήσεως ὁ Β. « ἐκεῖνο δὲ φανερὸν » hoc quoque manifestum est. — 3. καὶ τοὺς ἄλλους ἀνθρώπους.] Ἀφορίζει αὖθις τοῦ κειμένου ὁ Σ. τὸ ἀνθρώπους, διὰ τὸν αὐτὸν λόγον, ἔμοιγε οὐκ ἀποχρῶντα. — 4. διὰ τῆς τῶν ἄλλων χρείας] τουτέστι, χρήσεως, χρώμενοι τοῖς ἄλλοις ἀνθρώποις, πορίζονται τὰ ἀγαθά — § 28, 2. καὶ οἵ τε ὅμοιοι τούτοις,] οἱ ὁμοίως τούτοις ἐπιτυγχάνοντες ὧν πράττουσιν.— 3. διὰ πάντα ταῦτα.] Ἀστερίσκοις διείληφα τὴν μέσην λέξιν, ἀφορίσαντος αὐτὴν καὶ τοῦ Σ. οὔ γε μὴν διότι λείπει παρὰ τῷ Στοβαίῳ, ἀλλὰ διότι καὶ τὸν νοῦν πως τῶν λεγομένων παράστσει. Καὶ ὁ Β. δὲ μόνον τὸ « Διὰ ταυτα » propterea ἡρμήνευσε. — § 29, 2. οἱ δὲ μὴ εἰδότες Ὅ,ΤΙ ποιοῦσι, κακῶς ΤΕ αἱρούμενοι, καὶ οἷς ἂν, κτλ.] τὸ μὲν ἐκ ΔΓ, ἀντὶ τοῦ « Α ΤΕ ποιοῦσι » τὸ δὲ ἐκ τοῦ Στοβαίου, ἀντὶ

§ 30. Καὶ ὁ Εὐθύδημος, Ὡς πάνυ μοι δοκοῦν, ὦ Σώκρατες, ἔφη, περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως ἴσθι.[2] ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτόν, τοῦτο πρὸς σὲ[3] ἀποβλέπω εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι.[4]

§ 31. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι, πάντως που γιγνώσκεις. Νὴ Δί', ἔφη· εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραποδῶν φαυλότερος ἂν εἴην. Ἴθι δή, ἔφη, καὶ ἐμοὶ ἐξήγησαι αὐτά· Ἀλλ' οὐ χαλεπόν, ἔφη· πρῶτον μὲν γὰρ αὐτὸ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν κακόν· ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν καὶ ποτὰ καὶ βρωτὰ καὶ ἐπιτηδεύματα, τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα ἀγαθά, τὰ δὲ πρὸς τὸ νοσεῖν κακά.

§ 32. Οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά. Πότε δ' ἄν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν, ἀγαθοῦ; Ὅταν, νὴ Δί', ἔφη, στρατείας τε αἰσχρᾶς[2] καὶ ναυτιλίας βλαβερᾶς[3] καὶ ἄλλων πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μετασχόντες ἀπόλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν.[4] Ἀληθῆ λέγεις· ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν ἀπολείπονται· Ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα ποτὲ δὲ βλάπτοντα οὐ μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν. Οὐδέν, μὰ Δία, φαίνεταί[5] κατά γε τοῦτον τὸν λόγον.

§ 33. Ἀλλ' ἥ γε τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν. Ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὤν, ἢ ἀμαθής; Τί δέ; τὸν Δαίδαλον, ἔφη, οὐκ ἀκήκοας, ὅτι ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν, ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς τε πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ τόν τε παῖδα ἀπώλεσε καὶ αὐτὸς οὐκ

τοῦ, « ΔΕ. » Συμφωνεῖ τούτοις καὶ ὁ B. Qui vero ignorant quid agant et male eligunt. Ὁ νοῦς, Οἳ δὲ ἀγνοοῦσιν ὅτι πράττουσιν, οὗτοι κακῶς τε ἐλλέγοντες τὰ πράγματα, τουτέστι μὴ διακρίνοντες τὰ πρακτέα ἀπὸ τῶν μὴ πρακτέων, καὶ ἀποτυγχάνοντες διὰ τοῦτο ὧν ἂν ἐπιχειρήτωσι κτλ. — § 30, 2. Ὡς πάνυ μοι ΔΟΚΟΥΝ . . . οὕτως ἴσθι.] Ἐκ ΔΓ (ἐπισημειωθείσης τῷ Σ.) ἀντὶ τοῦ ΔΟΚΕΙ. — 3. πρὸς σέ.] Ὠρθοτόνησα, ἐκ τοῦ Στοβαίου, τὸ παρὰ τοῖς ἄλλοις ἐγκεκλιμένον, πρός σε. — 4. εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι.] Ἴσως προσπτέον τὸν σύνδεσμον εἰς τὸ ἐπίρρημα ΑΥ, τουτέστιν ἐκ δευτέρου ἐξηγήσασθαι. — § 32, 2. στρατείας τε αἰσχρᾶς,] οἷαί εἰσιν ὅπασαι, πλὴν τῶν γινομένων ὑπὲρ τοῦ κτᾶσθαι ἢ σώζειν τῇ πατρίδι τὴν ἐλευθερίαν. — 3. ναυτιλίας βλαβερᾶς.] οἷαί εἰσιν αἱ τῶν πειρατῶν, τῶν ἀνδραποδοκαπήλων, τῶν τὰ ἐπιτήδεια τοῖς πολιορκουμένοις τυράννοις εἰσαγόντων. — 4. σωθῶσιν.] Ἀμείνων ἡ κατ' ἐνεστῶτα τοῦ Στοβαίου γραφὴ «σώζωνται» ἀλλὰ καὶ τὸ πρὸ τούτου «ἀπόλωνται» τρεπτέον εἰς τὸ «ἀπολλύονται». — 5. οὐδὲν . . . φαίνεται,] οὐδὲν μᾶλλον ἀγαθὰ ἢ

ἠδυνήθη σωθῆναι, ἀλλ' ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους[2] πάλιν ἐκεῖ ἐβούλευε; Λέγεται νὴ Δί', ἔφη, ταῦτα. Τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως[3] ἀπώλετο. Λέγεται καὶ ταῦτα, ἔφη. Ἄλλους δὲ πόσους οἶει διὰ σοφίαν ἀναρπάστους πρὸς βατιλέα γεγονέναι,[4] καὶ ἐκεῖ δουλεύειν;

§ 34. Κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. Εἴ γε μή τις αὐτό, ἔφη, ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντεισθείη. Τί δ' ἄν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; Οὐδέν, ἔφη, εἴ γε μὴ προσθήσομεν αὐτῷ κάλλος ἢ ἰσχὺν ἢ πλοῦτον ἢ δόξαν ἢ καί τι ἄλλο τῶν τοιούτων. Ἀλλά, νὴ Δία, προσθήσομεν, ἔφη· πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαιμονοίη;[2]

§ 35. Νὴ Δί', ἔφη, προσθήσομεν ἄρα, ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις· πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων[2] διαφθείρονται· πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες οὐ μικροῖς κακοῖς περιπίπτουσι· πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι ἀπόλλυνται· πολλοὶ δὲ διὰ τὴν δόξαν καὶ πολιτικὴν δύναμιν[3] μεγάλα κακὰ πεπόνθασιν.

§ 36. Ἀλλὰ μήν, ἔφη, εἴγε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδὲ, ὅ,τι πρὸς τοὺς Θεοὺς εὔχεσθαι χρή, εἰδέναι. Ἀλλὰ ταῦτα μέν, ἔφη ὁ Σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι οὐδ' ἔσκεψαι·[2] ἐπεὶ δὲ πόλεως δημοκρατουμένης παρασκευάζῃ προεστάναι, δῆλον ὅτι δημοκρατίαν γε οἶσθα τί ἐστι. Πάνυ γε, ἔφη.

§ 37. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι, δημοκρατίαν εἰδέναι, μὴ εἰδότα δῆμον; Μὰ Δί', οὐκ ἔμοιγε. Καὶ τί νομίζεις δῆμον εἶναι;

κακὰ φαίνεται. — § 33, 2. ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους] εἰς τὸν ἐν Σικελίᾳ συναστεύοντα Κώκαλον, περὶ οὗ ἔπιθι τὸν Σικελιώτην Διόδωρον (IV, 79) καὶ τὸν Παυσανίαν (VII, 4). — 3. διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως.] Ἔπιτω τὸν Φιλόστρατον (Ἡρωϊκ. Κεφ. 10, σελ. 708—715) ὁ βουλόμενος εἰδέναι τὰ περὶ Παλαμήδους καὶ Ὀδυσσέως. — 4. διὰ σοφίαν «ἀναρπάστους» πρὸς βασιλέα γεγονέναι.] ΔΓ (παρὰ τῷ Στοβαίῳ) «ἀνασπάστους». Ἡροδότειος ἡ λέξις, οὕτως ὀνομάζοντος τοὺς παρὰ τὸν Περσῶν βασιλέα οἴκοθεν ἀναγομένους βίᾳ. Ἴδε τὸν ὑπὸ τοῦ τελευταίου ἐκδότου συναχθέντα τοῦ Ἡροδότου Πίνακα (λέξ. Ἀνασπαστος.) Τῶν δὲ διὰ σοφίαν ἀναστάστων ἢ ἀναρπάστων γενομένων εἰς ἄν λέγοιτο, καὶ ὁ παρὰ Δαρεῖον ἀναχθεὶς Δημοκήδης, Κροτωνιάτης ἰατρός (Ἡροδότ. γ'. 129). — § 34, 2. εὐδαιμονοίη;] Παρὰ τῷ Στοβαίῳ, «εὐδαίμων εἴη». § 35, 2. ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων.] Ἔπιθι τὰ σημειωθέντα, περὶ τοῦ «Παρακινεῖν» ῥήματος, εἴς τε τὸν Ἡλιόδωρον (σελ. 93) καὶ εἰς τὸ Ἱπποκράτους, «Περὶ ἀέρων, ὑδάτων, τόπων (σελ. 366). — 3. διὰ τὴν δόξαν καὶ πολιτικὴν δύναμιν.] Ἐξ ΕΔ παρειλήφασι τὸ ἄρθρον ὅτε Σ. καὶ ἕτεροι, μηδὲν δέον, ἔμοιγε δοκεῖν. — § 36, 2. οὐδ' ἔσκεψαι.] Παρὰ τῷ Στοβαίῳ, «οὐ διέσκεψαιν. — 38, 2.

Τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. Καὶ τοὺς πένητας ἆρα οἶσθα; Πῶς γὰρ οὔ; Ἆρ' οὖν καὶ τοὺς πλουσίους οἶσθα; Οὐδέν γε ἧττον ἢ καὶ τοὺς πένητας. Ποίους δὲ πένητας καὶ ποίους πλουσίους καλεῖς; Τοὺς μέν, οἶμαι, μὴ ἱκανὰ ἔχοντας εἰς ἃ δεῖ τελεῖν, πένητας, τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους.

§ 38. Καταμεμάθηκας οὖν, ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; Καί, νὴ Δί', ἔφη ὁ Εὐθύδημος (ὀρθῶς γάρ με ἀναμιμνήσκεις), οἶδα γάρ[2] καὶ τυράννους τινάς, οἳ δι' ἔνδειαν, ὥσπερ οἱ ἀπορώτατοι, ἀναγκάζονται ἀδικεῖν.

§ 39. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴ γε ταῦτα οὕτως ἔχει, τοὺς μὲν τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα κεκτημένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους. Καὶ ὁ Εὐθύδημος ἔφη, ἀναγκάζει με καὶ ταῦτα ὁμολογεῖν ὀλιγοστὴ ἡ ἐμὴ φαυλότης· καὶ φροντίζω, μὴ κράτιστον ᾖ μοι σιγᾶν· κινδυνεύω γάρ· ἁπλῶς οὐδὲν εἰδέναι. Καὶ πάνυ ἀθύμως ἔχων ἀπῆλθε, καὶ καταφρονήσας ἑαυτοῦ, καὶ νομίσας τῷ ὄντι ἀνδράποδον εἶναι.

§ 40. Πολλοὶ μὲν οὖν τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους οὐκ ἔτι αὐτῷ προσῄεσαν, οὓς καὶ βλακωτέρους[2] ἐνόμιζεν· ὁ δὲ Εὐθύδημος ὑπέλαβεν οὐκ ἂν ἄλλως ἀνὴρ ἀξιόλογος γενέσθαι, εἰ μὴ ὅτι μάλιστα Σωκράτει συνείη· καὶ οὐκ ἀπελείπετο ἔτι αὐτοῦ, εἰ μή τοι ἀναγκαῖον εἴη· ἔνια δὲ καὶ ἐμιμεῖτο, ὧν ἐκεῖνος ἐπετήδευεν. Ὁ δὲ, ὡς ἔγνω αὐτὸν οὕτως ἔχοντα, ἥκιστα μὲν διετάραττεν, ἁπλούστατα δὲ καὶ σαφέστατα ἐξηγεῖτο, ἃ τε ἐνόμιζεν εἰδέναι δεῖν, καὶ ἐπιτηδεύειν κράτιστα εἶναι.

ΚΕΦΑΛΑΙΟΝ III.

§ 1. Τὸ μὲν οὖν λεκτικοὺς[2] καὶ πρακτικοὺς[3] καὶ μηχανικοὺς[4] γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν, ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι. Τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν[5] ταῦτα δυναμένους, ἀδικωτέρους τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι.

οἶδα γάρ.] Ἀφορίζει τοῦ κειμένου τὸν σύνδεσμον ὁ Σ. λείπειν αὐτὸν λέγων καὶ παρὰ τῷ Στοβαίῳ. Ἀμφοτέρους τοὺς συνδέσμους ἡρμήνευσεν ὁ Β. — § 40, 2. Βλακωτέρους.] Ἐπιθι τὰ ἀνωτέρω (Γ, 13, § 4) σημειωθέντα περὶ τοῦ ὀνόματος.

§ 1, 2. λεκτικοὺς τοῦ λέγειν ἐμπείρους. — 3. πρακτικοὺς,] πράττειν δυνατοὺς, πράξεων ἐμπείρους. Ἐπὶ τῆς αὐτῆς σχεδὸν σημασίας καὶ ὁ ἐν τῇ συνηθείᾳ «Πρακτικὸς» λεγόμενος. — 4. μηχανικοὺς,] εὑρετικοὺς, ἐπινοητικοὺς, μηχάνους. — 5. τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν κτλ.] Ἀληθὲς ὃ λέγει καὶ πεπιστωμένον τῇ πείρᾳ· ἄνευ γὰρ τῆς σώφρονος ἀγωγῆς ὁ μὲν λεκτικὸς εἰς τὸν σοφιστὴν ἐκπίπτει, ὁ δὲ πρακτικὸς εἰς τὸν πολυπράγμονα, ἢ ὡς ὁ Κωμικὸς αὐτὸν ὀνομάζει (Ὄρν. 1424) «πραγματοδίφην» ὁ δὲ μηχανικὸς, εἰς τὸν πανοῦργον καὶ μηχανώμενον μηχανὰς τὰς Σισύφου (Ἀχαρν. 391.)

§ 2. Πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας. Ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο·[2] ἐγὼ δέ, ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο, παραγενόμην.

§ 3. Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοὶ, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασι; Καὶ ὃς, Μὰ τὸν Δί', ἔφη, οὐκ ἔμοιγε. Ἀλλ' οἶσθά γ', ἔφη, ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; Νὴ Δί', ἔφη, ὅ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν, ἐνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν.[2] Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι, κάλλιστον ἀναπαυτήριον. Πάνυ γ', ἔφη, καὶ τοῦτο χάριτος ἄξιον.

§ 4. Οὐκοῦν καὶ ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας τῆς ἡμέρας ἡμῖν καὶ τἆλλα πάντα σαφηνίζει, ἡ δὲ νὺξ διὰ τὸ σκοτεινὴ εἶναι ἀσαφεστέρα ἐστὶν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τάς ὥρας τῆς νυκτὸς ἐμφανίζει; καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν. Ἔστι, ταῦτα, ἔφη. Ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον τῆς νυκτὸς, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. Πάνυ μὲν οὖν, ἔφη.

§ 5. Τὸ δ', ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι,[2] καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, αἱ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα; Πάνυ, ἔφη, καὶ ταῦτα φιλάνθρωπα.

§ 6. Τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε καὶ φύειν τε καὶ συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς, καὶ μιγνύμενον πᾶσι τοῖς τρέφουσιν ἡμᾶς, εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά· καὶ, ἐπειδὴ πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν; Καὶ τοῦτο, ἔφη, προνοητικόν.

§ 7. Τὸ δὲ καὶ *τὸ* πῦρ[2] πορίσαι ἡμῖν, ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται; ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατασκευάζονται. Ὑπερβάλλει, ἔφη, καὶ τοῦτο φιλανθρωπίᾳ.

---

§ 2, 2. Ἄλλοι μὲν . . . διηγοῦντο.] Ο' νοῦς, Ἄλλοι μὲν οὖν αὐτῷ παραγενόμενοι τῷ Σωκράτει, οὕτω πρὸς ἄλλους ὁμιλοῦντι, διηγοῦντο, ἃ ἤκουσαν. Ἡ σύνταξις ὁμοία τῇ ἐν τοῖς ἑξῆς (Δ, IV, § 5). — § 3, 2. ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν.] Τὸ νοούμενον, Καί περ ὀφθαλμοὺς ἔχοντες, εἰ μὴ φῶς εἴχομεν οὐδὲν ἂν μᾶλλον ἢ οἱ τυφλοὶ ἐβλέπομεν.

§ 5, 2. Τὸ δ', ἐπεί . . . ἀναδιδόναι κ. τ. λ.] Προσυπακουστέον ἔξωθεν, Τί σοι δοκεῖ; ἢ ἐκ τῶν ἀνωτέρω, Οὕ σοι δοκοῦσιν ἐπιμελῶς κατεσκευακέναι οἱ θεοί;

§ 7, 2. Τὸ δὲ καὶ τὸ πῦρ.] Κακῶς,

§ 8. Τὸ δὲ καὶ ἀέρα ἡμῖν ἀφθόνως οὕτω πανταχοῦ διαχῦσαι, οὐ μόνον πρόμαχον καὶ σύντροφον ζωῆς, ἀλλὰ καὶ [πνέοντος] πελάγη περᾶν δι' αὐτοῦ καὶ τὰ ἐπιτήδεια ἄλλον ἀλλαχόθι καὶ ἐν ἀλλοδαπῇ στελλάμενον πορίζεσθαι, πῶς οὐχ ὑπὲρ λόγον; *Ἀνέκφραστον*.[2] Τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται, προσιέναι τὰ μὲν ἀδρύνοντα, τὰ δὲ ξηραίνοντα, ὧν καιρὸς διελήλυθε· καὶ ταῦτα διαπραξάμενον μηκέτι ἐγγυτέρω προσιέναι, ἀλλ' ἀποτρέπεσθαι φυλαττόμενον μή τι ἡμᾶς μᾶλλον τοῦ δέοντος θερμαίνων βλάψῃ· καὶ ὅταν αὖ πάλιν ἀπιὼν, γένηται ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν, ὅτι εἰ προσωτέρω ἄπεισιν, ἀποπαγησόμεθα ὑπὸ τοῦ ψύχους, πάλιν αὖ τρέπεσθαι[3] καὶ προσχωρεῖν, καὶ ἐνταῦθα τοῦ οὐρανοῦ ἀναστρέφεσθαι, ἔνθα ὢν μάλιστα ἡμᾶς ὠφελοίη; Νὴ τὸν Δί', ἔφη, καὶ ταῦτα παντάπασιν ἔοικεν ἀνθρώπων ἕνεκα γιγνομένοις.[4]

§ 9. Τὸ δ' αὖ, ἐπειδὴ καὶ τοῦτο φανερὸν ὅτι οὐκ ἂν ὑπενέγκαιμεν οὔτε τὸ καῦμα οὔτε τὸ ψύχος, εἰ ἐξαπίνης γίγνοιτο, οὕτω μὲν κατὰ μικρὸν προσιέναι τὸν ἥλιον, οὕτω δὲ κατὰ μικρὸν ἀπιέναι, ὥστε λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ ἰσχυρότατα καθισταμένους; Ἐγὼ μέν, ἔφη ὁ Εὐθύδημος, ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα τι

οἶμαι, ἐπλεόνασε τὸ δεύτερον ἄρθρον.

§ 8, 2. Τὸ δὲ καὶ ἀέρα ἡμῖν ἀφθόνως οὕτω πανταχοῦ διαχῦται, οὐ μόνον πρόμαχον καὶ σύντροφον ζωῆς, ἀλλὰ καὶ [πνέοντος] πελάγη περᾶν δι' αὐτοῦ, καὶ τὰ ἐπιτήδεια ἄλλον ἀλλαχόθι καὶ ἐν ἀλλοδαπῇ ΣΤΕΛΛΟΜΕΝΟΝ πορίζεσθαι, πῶς οὐχ ὑπὲρ λόγον; *Ἀνέκφραστον*.] Ὅλον τουτὶ τὸ κομμάτιον, ἄγνωστον τῷ Β. ἐξ ἑνὸς μόνου ἀντιγράφου λαβόντες κατεχώρισαν οἱ πρὸ ἐμοῦ, τὸν ἑξῆς τρόπον. «Τὸ δὲ καὶ ἀέρα ἡμῖν ἀφθόνως οὕτω πανταχοῦ διαχῦται, οὐ μόνον πρόμαχον καὶ σύντροφον ζωῆς, ἀλλὰ καὶ » *** πελάγη περᾶν δι' αὐτοῦ, καὶ τὰ ἐπιτήδεια ἄλλον ἀλλαχόθι καὶ ἐν ἀλλοδαπῇ ΣΤΕΛΛΟΜΕΝΟΝ πορίζεσθαι, πῶς οὐχ ὑπὲρ λόγον; *Ἀνέκφραστον*.» Οὗ τὸ μεταξὺ τοῦ Καὶ συνδέσμου καὶ τοῦ ὀνόματος Πελάγη χάσμα τὸ ἐν τῷ ἀντιγράφῳ πληρῶσαι, καὶ τὰ λοιπὰ διορθώσασθαι, ἄλλοι ἄλλως ἐπεβάλλοντο. Οἱ μὲν γὰρ παρήνεσαν γράφειν . . . «οὐ »μόνον πρόμαχον ἀλλὰ καὶ σύντροφον »ζωῆς, ὥστε καὶ πελάγη περᾶν δι' αὐ»τοῦ, καὶ τὰ ἐπιτήδεια ἄλλους ἄλλοις »ἀλλαχόθεν καὶ εἰς ἀλλοδαπὴν στελλο»μένοις πορίζεσθαι κ. τ. λ.]» ἑτέροις δ' ἤρεσκε μᾶλλον οὕτω διασκευάζειν . . . «ἄλλον ἄλλοσί πῃ στελλόμενον ἐν ἀλλο»δαπῇ πορίζεσθαι·» ὁ δὲ Σ. ὑπενόει γραπτέον εἶναι . . . «περᾶν δι' αὐτοῦ στελ»λόμενον, καὶ τὰ ἐπιτήδεια ἄλλον ἀλ»λαχόθι ἐν ἀλλοδαπῇ πορίζεσθαι.» Τούτων ἁπασῶν τῶν εἰκασιῶν οὐδεμίαν εἰσενεγκεῖν εἰς τὸ κείμενον ἐτόλμησα, πλὴν τῆς γραφῆς »Στελλόμενον« ἀντὶ τοῦ σολοίκου Στελλόμενος. Τὸ δὲ χάσμα πιθανωτέρως ἔδοξέ μοι πληροῦν διὰ τῆς μετοχῆς, Πνέοντος, ἢ ὡς, ἐπλήρουν ἕτεροι, ἠναγκασμένοι καὶ τοὺς συνδέσμους (ἀλλὰ καὶ) μετατοπίζειν. Ἡ δὲ τελευταία λέξις, *Ἀνέκφραστον*, οὔτε τι πλέον λέγει τοῦ Ὑπὲρ λόγον, οὔτ' ἀπόκρισις ἔοικεν εἶναι τοῦ Εὐθυδήμου. — 3. ὅταν αὖ πάλιν ἀπιὼν, γένηται ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν, ὅτι . . . ὑπὸ τοῦ ψύχους, πάλιν αὖ τρέπεσθαι] Ἐξ ὀψιαιτέρας τοῦ Σ. διορθώσεως, ἀντὶ τοῦ πρότερον κακῶς ἐστιγμένου· «ὅταν αὖ πάλιν ἀπιὼν »γένηται (ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν, ὅ»τι . . . ὑπὸ τοῦ ψύχους) πάλιν αὖ τρέπεσθαι.» Ὁ νοῦς, Ὅταν ὀπίσω τραπείς, παραγένηται ἐκεῖ, ἔνθα καὶ ἡμῖν φανερὸν γίγνεται, ὅτι εἰ προσωτέρω ἀπελεύσεται, ἀποπαγησόμεθα ὑπὸ τοῦ ψύχους, πάλιν ἑτέραν τροπὴν τρέπεσθαι, καὶ εἰς τοῦ ὁ τοῦ οὐρανοῦ τὸ μέρος ἐπανιέναι, ὅπου μάλιστα ἂν ἡμᾶς ὠφελοίη. — 4. γιγνομένοις.] ΔΓ, γιγνόμενα.

ἐστί τοῖς θεοῖς ἔργον[2] ἢ ἀνθρώπους θεραπεύειν· ἐκεῖνο δὲ μόνον ἐμποδίζει με, ὅτι καὶ τἄλλα ζῶα τούτων μετέχει.

§ 10. Οὐ γὰρ καὶ τοῦτ', ἔφη ὁ Σωκράτης, φανερὸν, ὅτι καὶ ταῦτα ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῶον αἰγῶν τε καὶ ὑῶν καὶ ἵππων καὶ βοῶν καὶ ὄνων καὶ τῶν ἄλλων ζώων τοσαῦτα ἀγαθὰ ἀπολαύει,[2] ὅσα ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ πλείω τῶν φυτῶν·[3] τρέφονται γοῦν καὶ χρηματίζονται οὐδὲν ἧττον ἀπὸ τούτων ἢ ἀπ' ἐκείνων· πολὺ δὲ γένος ἀνθρώπων[4] τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι ζῶσι· πάντες δὲ τιθασσεύοντες καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζώων, εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. Ὁμογνωμονῶ σοι καὶ τοῦτ', ἔφη· ὁρῶ γὰρ αὐτῶν καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν οὕτως ὑποχείρια γιγνόμενα τοῖς ἀνθρώποις, ὥστε χρῆσθαι αὐτοῖς ὅ,τι ἂν βούλωνται.

§ 11. Τὸ δ', ἐπειδὴ πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα δὲ ἀλλήλων ἐστί, προσθεῖναι τοῖς ἀνθρώποις αἰσθήσεις ἁρμοττούσας πρὸς ἕκαστα, δι' ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν; Τὸ δὲ καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, ᾧ, περὶ ὧν αἰσθανόμεθα, λογιζόμενοί τε καὶ μνημονεύοντες[2] καταμανθάνομεν, ὅπη ἕκαστα συμφέρει, καὶ πολλὰ μηχανώμεθα, δι' ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν καὶ τὰ κακὰ ἀλεξόμεθα;

§ 12. Τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι' ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες καὶ κοινωνοῦμεν, καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα; Παντάπασιν εἰκάσαι, ὦ Σώκρατες, οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. Τὸ δὲ καὶ, εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταῦτα αὐτοὺς ἡμῖν συνεργεῖν,[2] διὰ μαντικῆς τοῖς πυνθα-

---

§ 9, 2. εἰ ἄρα τι ... ἔργον.] Ἐλλειπτικῶς τοῦ Ἄλλο. — § 10, 2. τί γὰρ ἄλλο ζῶον ... ἀγαθὰ ἀπολαύει κ. τ. λ.] Ἡ συνάρτησις, Τί γὰρ ἄλλο ζῶον ἀπολαύει τοσαῦτα ἀγαθὰ ἀπὸ αἰγῶν, ὑῶν, ἵππων, βοῶν, ὄνων καὶ τῶν ἄλλων ζώων, ὅσα ἀπολαύουσιν ἄνθρωποι. — 3. ἄνθρωποι; ... πλείω τῶν φυτῶν.] Ἀποκατέστησα τὴν γραφὴν, ἀνθ' ἧς ὁ Σ. ἔγραψεν «ἄνθρωποι; ... πλείω »ἢ τῶν φυτῶν», διορθούμενος διά τε τὴν σύγκρισιν, καὶ διὰ τὸ ἑπόμενον ἐνικῶς Δοκεῖ. Οὐδετέρου χρεία· ὁ γὰρ νοῦς, Ὅσα ἀπολαύουσιν ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ τοὺς ἀνθρώπους ἀπολαύειν ἀπὸ τῶν ζώων ἀγαθὰ πλείονα, ὧν ἀπολαύουσιν ἀπὸ τῶν φυτῶν. — 4. πολὺ δὲ γένος ἀνθρώπων,] οἷον οἱ ἀμαξόβιοι Σκύθαι. — § 11, 2 λογιζόμενοί τε καὶ μνημονεύοντες] Ὤφειλε, φησὶν ὁ Σ. ἀνάπαλιν εἰπεῖν, «μνημονεύοντες τε καὶ λογιζόμενοι»· ἀπὸ γὰρ τῆς μνήμης ἀναλαμβάνουσα τὴν ὕλην λογίζεται ἡ διάνοια. Καὶ τοῦτο μὲν ἀκριβές· τοιαύτην γε μὴν ἀκρίβειαν οὐκ ἀπαιτητέον ἐν διαλόγῳ. — § 12, 2. Τὸ δὲ καὶ εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα . . . ΤΑΥΤΑ αὐτοὺς ἡμῖν συνεργεῖν.] Ἐκ ΔΓ, ἀντὶ τοῦ ΤΑΥΤΗΙ· ἀναφέρεται δὲ εἰς τὸ Συνεργεῖν· ὃ καὶ ἀνωτέρω (Γ, V, § 16) αἰτιατικῇ πράγματος συνέταξεν· «Ἀντὶ μὲν »τοῦ συνεργεῖν ἑαυτοῖς τὰ συμφέροντα, »ἐπηρεάζουσιν ἀλλήλοις.» Εἰ δὲ πάντως βούλει τὸ «Ταύτῃ» κατὰ χώραν ἐᾶν, τὴν

νομένοις φράζοντας τὰ ἀποβησόμενα, καὶ διδάσκοντας ἢ ἂν ἄριστα γίγνοιτο; [Πάνυ τοῦτο φιλικόν ἐστι·] σοὶ δ', ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον[3] ἢ τοῖς ἄλλοις χρῆσθαι, εἴ γε μηδὲ ἐπερωτώμενοι ὑπὸ σοῦ προσημαίνουσί σοι, ἅ τε χρὴ ποιεῖν καὶ ἃ μή.

§ 13. Ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σύ, ὦ Εὐθύδημε, γνώσῃ,[2] ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι, τὰ ἔργα αὐτῶν ὁρῶντι σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. Ἐννόει δὲ, ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι[3] ἡμῖν τὰ ἀγαθὰ διδόντες, οὐδὲν τούτων εἰς τοὐμφανὲς ἰόντες διδόασιν, καὶ ὁ τὸν ὅλον[4] κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα τὰ καλὰ καὶ ἀγαθά[5] ἐστι, καὶ ἀεὶ μὲν γηρωμένοις ἀτριβῆ τε καὶ ὑγιᾶ καὶ ἀγήρατον παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα,[6] οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τοσάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν.[7]

νικαῦτα τὸν προηγούμενον συναπτικὸν (εἰ ἀδυνατοῦμεν) εἰς ἐπίρρημα τρεπτέον (ἢ ἀδυνατοῦμεν), ὡς ἔδοξε τῷ Ῥεϊτζίῳ. — 3. πάνυ τοῦτο φιλικόν ἐστιν· σοὶ δ' ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον κ. τ. λ.] Αἱ ὑπ' ἐμοῦ προστεθειμέναι τέτταρες πρῶται λέξεις, οὔτ' ἐν ταῖς ἐκδόσεσιν οὔτε ἐν τοῖς ἀντιγράφοις φέρονται· μόνος ὁ Β. ἔοικεν αὐτὰς ἐκ τοῦ ἰδίου ἀντιγράφου ἀρύσασθαι, ἑρμηνεύων, magni, ait, amoris hoc est, ἃς γνησίας κεκρίκασιν εἶναι καὶ οἱ πρὸ ἡμῶν, ἄλλως τε καὶ πιστουμένας ὑπὸ τοῦ ἐχομένου συγκριτικοῦ «Φιλικώτερον».

§ 13. 2. Ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σύ, ὦ Εὐθύδημε, γνώσῃ.] Καὶ ἐνθάδε πλέονί τι τῶν λεγομένων ἑρμηνεύεσθαι ὑπὸ τοῦ Β. ᾠήθησαν· λέγει γὰρ ἐκεῖνος μεταφράζων, Quod igitur dii sint, hominumque habeant curam, tu quoque o Euthydeme, ὃ τοιοῦτόν τι ὑπερφαίνει κατὰ λέξιν. Ὅτι δ' οὖν εἰσί τε θεοὶ καὶ τῶν ἀνθρώπων ἐπιμέλονται, καὶ σὺ, ὦ Εὐθύδημε. Οἶμαι μέντοι παραφράζειν μᾶλλον ἐνθάδε τὸν Β. τὸ ἡμέτερον κείμενον, ἢ μεταφράζειν. Σημεῖον δὲ· παρέλιπε γὰρ ὅλως καὶ τὰς λέξεις, «Ἀληθῆ λέγω», ὡς ἀποχρώντως νοουμένας ἐκ τῶν λοιπῶν. Οὐδὲν οὖν ἐξηρτῆσθαι τοῦ χωρίου, ἀλλ', εἰπερ, ὀλίγον λέξεις ἴσως, «Ὅτι δέ γε ἀληθῆ λέγω [περὶ θεῶν], »καὶ σύ, ὦ Εὐθύδημε,.» — 3. οἵ τε γὰρ ἄλλοι] θεοί. — 4. καὶ ὁ τὸν ὅλον κ.τ.λ.] ὁ πατὴρ ἀνδρῶν τε θεῶν τε Ζεύς. — 5. ἐν ᾧ πάντα τα καλὰ καὶ ἀγαθά] Ἐξ, ΕΛ παρείληφα τὸ ἄρθρον. — 6. καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ΥΓΙΑ καὶ ΑΓΗΡΑΤΟΝ παρέχων... ἀναμαρτήτως ὑπηρετοῦντα κ.τ.λ.] Τὸ μὲν ἐκ ΔΓ προσειλήφασιν ὅ τε Σ. καὶ ἕτεροι ἀντὶ τοῦ ΥΓΙΗ, τὸ δὲ ἐκ διορθώσεως τοῦ Στεφάνου ἀντὶ τοῦ οὐδετέρου πληθυντικοῦ ᾽ΑΓΗΡΑΤΑ, ἵνα ἐπιθετικῶς ἔχοιεν συντάττεσθαι πρὸς τὸ ἑνικὸν ἀρτενικὸν, Κόσμον· καὶ ἔοικεν ἡ τοιαύτη διασκευὴ συμφωνεῖν ἑτέρῳ Ξενοφῶντος χωρίῳ (Κύρ. παιδ. Η, 7 § 22) τῷ ὑπὸ τοῦ Σ. παρατεθέντι τῷδε· «Θεούς γε τοὺς ἀεὶ ὄντας »καὶ πάντ' ἐφορῶντας καὶ πάντα δυ»ναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων »τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον »καὶ ἀναμάρτητον» Ἔστι μέντοι καὶ κατὰ γένος οὐδέτερον ἐνφέροντα τὰ ἐπίθετα «ἀτριβῆ καὶ ὑγιᾶ καὶ ἀγήρατα,» συντάσσειν τῷ »καλὰ καὶ ἀγαθὰ», πρὸς ὃ ἀναφέρεται καὶ ἡ μετοχὴ «χρωμένοις» οὐδὲν γὰρ διαφέρει φάναι, ὁ παρέχων πάντα τὰ ἐν τῷ κόσμῳ καλὰ καὶ ἀγαθὰ τοῖς ἀεὶ χρωμένοις ἀτριβῆ καὶ ὑγιᾶ καὶ ἀγήρατα, καὶ ἀναμαρτήτως ὑπηρετοῦντα (οἷα τὰ προκατειλεγμένα, σελήνη, ἥλιος, ὕδωρ, ἀήρ κ.τ.λ.), ἢ ὁ παρέχων τον κόσμον τοῖς ἀεὶ χρωμένοις ἀτριβῆ καὶ ὑγιᾶ καὶ ἀγήρατον, καὶ ἀναμαρτήτως ὑπηρετοῦντα. Τὸ πρῶτον ἡρμήνευεν ὁ Β. συνάπτων τῷ «καλὰ καὶ ἀγαθὰ» τὰ ἑπόμενα ἐπίθετα κατ' οὐδέτερον γένος, πλὴν τοῦ «Ὑπηρετοῦντα», ἀνθ' οὗ οὐκ ὀρθῶς ἀνέγνω, ἢ ἀναγνωστέον εἶναι ὑπείληφε, κατ' ὀνομαστικὴν ἑνικὴν, Ὑπηρετῶν administrat, ἀναφέρων αὐτὸ εἰς ὃν ἀναφέρεται καὶ τὸ «Παρέχων.» — 7. τὰ μέγιστα μὲν πράττων ὁρᾶται, ΤΟΣΑΔΕ δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν.] ΗΔ,

§ 14. Ἐννοει δὲ, ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν, ἀλλ', ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται. Καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὐρήσεις ἀφανεῖς ὄντας· κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ, ὁρᾶται δ' οὔτ' ἐπιὼν οὔτε καταστήψας οὔτε ἀπιών· καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. Ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχή, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων, τοῦ θείου μετέχει· ὅτι μὲν γὰρ βασιλεύει ἐν ἡμῖν, φανερὸν, ὁρᾶται δὲ οὐδ' αὐτή. Ἃ χρὴ καταννοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γιγνομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾶν τὸ δαιμόνιον.

§ 15. Ἐγὼ μέν, ὦ Σώκρατες, ἔφη ὁ Εὐθύδημος, ὅτι μὲν οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου, σαφῶς οἶδα· ἐκεῖνο δὲ ἀθυμῶ, ὅτι μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας οὐδ' ἂν εἷς ποτε ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι.

§ 16. Ἀλλὰ μὴ τοῦτο ἀθύμει, ἔφη, ὦ Εὐθύδημε· ὁρᾷς γὰρ, ὅτι ὁ ἐν Δελφοῖς θεὸς, ὅταν τις αὐτὸν ἐπερωτᾷ, πῶς ἂν τοῖς θεοῖς χαρίζοιτο, ἀποκρίνεται, Νόμῳ πόλεως. Νόμος δὲ δήπου πανταχοῦ

ἀντὶ τοῦ ΓΑΔΕ (ἢ τῆς διαφόρου γραφῆς, ΤΟΔΕ). Ἴσως δὲ καὶ τὸ πολλὰ πράγματα παρασχὸν τοῖς κριτικοῖς «Ὁρᾶται» περιαιρετέον τοῦ κειμένου, πλὴν εἰ μή τις κρίνοι τρεπτέον εἶναι εἰς τὸ »φανεροῦται», ἢ ὡς ἐδόκει τῷ Σ. «φανερός ἐστι» Ἔστι καὶ εἰς τὸ σύνθετον »καθοράται» τρέπειν τὸ ἁπλοῦν «ὁράται·» κατὰ τὸ Ἀποστολικὸν (Ῥωμ. ά, 10), «Τὰ »γὰρ ἀόρατα αὐτοῦ . . . τοῖς ποιήμασι »νοούμενα καθορᾶται.» Λέγει δὲ καὶ Ἱπποκράτης (Περὶ φυσ. § 5, σελ. 402) περὶ τοῦ ἀέρος «Ἀλλὰ μὴν ἔστί γε τῇ μὲν ὄψει »ἀφανὴς, τῷ δὲ λογισμῷ φανερός.» Ἡ δ' οὖν δοκοῦσα ἀντίφασις τοῦ «ὁρᾶται» πρὸς τὸ ἑξῆς «ἀόρατος» λύοιτ' ἄν, εἰ τὸ «Μέγιστα πράττων» οὕτως ἐκδέχοιο, ὥσπερ ἂν εἰ ἔλεγεν, Αἱ δὲ πράξεις αὐτοῦ, μέγισταί οὖσαι, ὁρῶνται, αὐτὸς δ' ὁ τοσάδε πράστων καὶ οἰκονομῶν ἀόρατός ἐστι. — § 14, 2. ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος κ.τ.λ.] Ἐντεῦθεν, ὡς ἀπὸ πηγῆς μετωχετεύσατο καὶ Δίων ὁ Χρυσόστομος (Λόγ. III, σελ. 136-127), ἃ διὰ μακροτέρων ῥητορεύει περὶ ἡλίου, »Μίαν καὶ τὴν αὐτὴν ΑΠΙΩΝ ὁδὸν . . . »εἴτε προσιὼν ὀλίγον ἐγγυτέρω γένοιτο, »πάντα ἂν συμφλέξειεν, εἴτε ἀπιὼν σμικρὸν ὑπερβάλοι, πάντα ἂν κ.τ.λ. ἔνθα μεταποιητέον τὴν πρώτην μετοχὴν εἰς τὴν ΕΠΙΩΝ. Καὶ τούτου μὲν ἡ διόρθωσις εὐχερεστέρα ἢ ὧν αὐτόθι (ἀνωτέρω.) λέγει περὶ τῆς ψυχῆς ὁ αὐτὸς Δίων· «Ἡ ψυχὴ δὲ ὑπὲρ ἐκείνου »[τοῦ σώματος] πάσας μὲν φροντίδας »φροντίζει, πάσας δὲ ἐπινοίας ΣΚΥΛ»ΛΕΙ, καὶ πολλὰ μὲν ἀνιᾶται λυπου»μένη κ.τ.λ.» Ἡ γραφικῶς ἡμαρτημένη φράσις αὕτη (ἐπινοίας σκύλλει) οὕτως ἤρεσε τῷ Ῥεϊσκίῳ, ὥστε καὶ θαυμασίως κομψοτάτην οὐκ ὤκνησεν αὐτὴν ἀποφήνασθαι: **Mirifice dictum, eleganter et apposite; mens vexat et sollicitat omnia consilia, etc** Ἐκπέφρασται μὲν οὖν πάνυ ἀκόμψως ὑπ' ἀκόμψων ἀντιγραφέων· λέγοιτο μὲν γὰρ ἂν κυριωτέρως, εἴγε μὴ κομψῶς, «ἡ ψυχὴ σκύλλεσθαι (τουτέστιν ἐνοχλεῖσθαι καὶ ταράττεσθαι) ὑπὸ τῶν ἐπινοιῶν»· οὔ γε μὴν ὅτι καὶ «ἡ ψυχὴ σκύλλει τὰς ἐπινοίας». Οὐκ ἂν οὖν ὀκνήσαιμι καταχωρίσαι εἰς τὸ Δίωνος χωρίον ὀρθοτέραν, ἐμοὶ δοκεῖν, γραφὴν τήνδε, «Πάσας δὲ ἐπινοίας ΚΥΚΛΕΙ» παραπλησίᾳ μεταφορᾷ καὶ Πλούταρχος (Βρούτ. § 13) ἐχρήσατο φήσας, «Κυκλεῖ τι παρ' ἑαυτῷ δύσφορον βού»λευμα,» καὶ οἱ Γάλλοι χρῆσθαι φιλοῦσι, λέγοντες, **rouler des desseins dans sa tête ἢ dans son esprit.**

ἐστι, κατὰ δύναμιν ἱεροῖς Θεοὺς ἀρέσκεσθαι. Πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη Θεούς, ἢ ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν;

§ 17. Ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως μηδὲν ὑφίεσθαι· ὅταν γάρ τις τοῦτο ποιῇ, φανερὸς δήπου ἐστὶ τότε οὐ τιμῶν Θεούς. Χρὴ οὖν, μηδὲν ἐλλείποντα, κατὰ δύναμιν τιμᾶν τοὺς Θεούς, Θαρρεῖν τε[2] καὶ ἐλπίζειν τὰ μέγιστα ἀγαθά· οὐ γὰρ παρ' ἄλλων γ' ἄν τις μείζω ἐλπίζων σωφρονοίη, ἢ παρὰ τῶν τὰ μέγιστα ὠφελεῖν δυναμένων, οὐδ' ἂν ἄλλως μᾶλλον, ἢ εἰ τούτοις ἀρέσκοι. Ἀρέσκοι δὲ πῶς ἂν μᾶλλον, ἢ εἰ ὡς μάλιστα πείθοιτο αὐτοῖς;

§ 18. Τοιαῦτα μὲν δὴ λέγων τε καὶ αὐτὸς ποιῶν εὐσεβεστέρους τε καὶ σωφρονεστέρους τοὺς συνόντας παρεσκεύαζεν.

ΚΕΦΑΛΑΙΟΝ IV.

§ 1. Ἀλλὰ μὴν καὶ περὶ τοῦ δικαίου γε οὐκ ἀπεκρύπτετο ἣν εἶχε γνώμην, ἀλλὰ καὶ ἔργῳ ἐπεδείκνυτο, ἰδίᾳ τε πᾶσι νομίμως τε καὶ ὠφελίμως[2] χρώμενος, καὶ κοινῇ ἄρχουσί τε ἃ οἱ νόμοι προστάττοιεν πειθόμενος[3] καὶ κατὰ πόλιν καὶ ἐν ταῖς στρατείαις οὕτως, ὥστε διάδηλος εἶναι παρὰ τοὺς ἄλλους εὐτακτῶν[4].

§ 2. Καί ποτε ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος[2] οὐκ ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίσασθαι, ἀλλὰ σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου, ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἄνθρωπον ὑπομεῖναι.

§ 3. Καί ὅτε οἱ Τριάκοντα προσέταττον αὐτῷ παρὰ τοὺς νόμους τι, οὐκ ἐπείθετο. Τοῖς τε γὰρ νέοις ἀπαγορευόντων αὐτῶν μὴ διαλέγεσθαι,[2] καὶ προστάξάντων ἐκείνῳ τε καὶ ἄλλοις τισὶ τῶν πολιτῶν ἀγαγεῖν τινα ἐπὶ θανάτῳ,[3] μόνος οὐκ ἐπείσθη, διὰ τὸ παρὰ τοὺς νόμους αὐτῷ προστάττεσθαι.

---

§ 17, 2. Ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως. . . ΧΡΗ ΟΥΝ, ΜΗΔΕΝ ἐλλείποντα, κατὰ δύναμιν τιμᾶν τοὺς Θεοὺς Θαρρεῖν τε κτλ.] Ὁ Σ. γραπτέον εἶναι ὑπενόει «Ἀλλὰ χρὴ τῆς δυνάμεως . . . ΜΗΔΕΝ Δ' ἐλλείποντα κτλ.» περιαιρῶν τὸ ΧΡΗ ΟΥΝ, ὡς παλίλογον, καὶ προστιθεὶς τὸν σύνδεσμον ΔΕ διὰ τὸν προηγησάμενον ΜΕΝ. Ἴσως τὸν «ΜΕΝ» (ὃν οὐδ' ὁ Β. οἶδε) περιαιρετέον, ἢ τοῦτον τηροῦντας τὸν ἑξῆς ΤΕ («Θαρρεῖν τε») εἰς τὸν ΔΕ τρεπτέον.

§ 1, 2. Νομίμως τε καὶ ὠφελίμως] Οὐ γὰρ ἔστι δικαίως καὶ νομίμως τοῖς ἄλλοις χρῆσθαι μὴ εὐνοοῦντα αὐτοῖς· καὶ γὰρ « εὔνοια δοκεῖ τὸ δίκαιον εἶναι» ἔφησιν Ἀριστοτέλης (Πολιτ. Α, II, 17, σελ. 11). Εὐνοεῖν δὲ οὐκ ἔστιν, ἄνευ τοῦ καὶ ὠφελεῖν βούλεσθαι οἷς ἂν εὐνοῶμεν. — 3. ἄρχουσίτε ἃ . . . πειθόμενος,] πειθόμενος τοῖς ἄρχουσι καθ' ἃ οἱ νόμοι προστάττοιεν. — 4. διάδηλος εἶναι παρὰ ΤΟΥΣ ΑΛΛΟΥΣ εὐτακτῶν.] Συγκριτικώς ἐξεδέξαντο τοῦθ' ἅπαντες, οἷον «Μᾶλλον τῶν ἄλλων εὐτακτῶν» Μῶν ἐγέγραπτο, ΤΟΙΣ ΑΛΛΟΙΣ. — § 2, 2. ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος.] Ὅπερ ἀνωτέρω (Α, I, § 18) ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος» ἔλεγε. Περὶ δὲ τοῦ Ἐπιστάτου, ἴδε τὸν Ἁρποκρατίωνα καὶ τὸν Σουίδαν. — § 3, 2. ἀπαγορευόντων ΑΥΤΩΝ μὴ διαλέγεσθαι.] Ἴσως ἐγέγραπτο ΑΥΤΩ, τῷ Σωκράτει δηλονότι. — 3. ἀγαγεῖν τινα ἐπὶ θανάτῳ] Λέοντα τὸν Σαλαμίνιον, ὃν Σωκράτει καὶ τέτταρσιν ἄλλοις προσέταξαν οἱ Τριά-

§ 4. Καὶ ὅτε τὴν ὑπὸ Μελίτου[2] γραφὴν ἔφευγε, τῶν ἄλλων εἰωθότων ἐν τοῖς δικαστηρίοις πρὸς χάριν τε τοῖς δικασταῖς διαλέγεσθαι καὶ κολακεύειν καὶ δεῖσθαι παρὰ τοὺς νόμους, καὶ διὰ τὰ τοιαῦτα πολλῶν πολλάκις ὑπὸ τῶν δικαστῶν ἀφιεμένων, ἐκεῖνος οὐδὲν ἠθέλησε τῶν εἰωθότων ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους ποιῆσαι, ἀλλὰ ῥᾳδίως ἂν ἀφεθεὶς ὑπὸ τῶν δικαστῶν, εἰ καί μετρίως τι τούτων ἐποίησε, προείλετο μᾶλλον τοῖς νόμοις ἐμμένων ἀποθανεῖν, ἢ παρανομῶν ζῆν.

§ 5. Καὶ ἔλεγε δὲ οὕτω καὶ πρὸς ἄλλους μὲν πολλάκις, οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Ἱππίαν[2] τὸν Ἠλεῖον περὶ τοῦ δικαίου τοιάδε διαλεχθέντα. Διὰ χρόνου γὰρ ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε, παρεγένετο τῷ Σωκράτει λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη, τὸ, εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα ἢ τέκτονα ἢ χαλκέα ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι· *φασὶ δέ τινες, καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι πάντα μεστὰ εἶναι τῶν διδαξόντων·[3*] ἐὰν δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον ἢ υἱὸν ἢ οἰκέτην διδάξασθαι, μὴ εἰδέναι[4] ὅποι ἂν ἐλθὼν[5] τύχοι τούτου.

§ 6. Καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα, ὥσπερ ἐπισκώπτων αὐτὸν, Ἔτι γάρ σὺ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; Καὶ ὁ Σωκράτης, Ὁ δέ γε τούτου δεινότερον, ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. Σὺ δ' ἴσως, διὰ τὸ πολυμαθὴς εἶναι, περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. Ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί.

χοντα ἀγαγεῖν ἀποθανούμενον, ὥσπερ αὐτὸν Σωκράτην παράγει τοῦτο λέγοντα ὁ Πλάτων (Ἀπολ. Σωκρ. σελ. 32) «Οἱ μὲν τέτταρες ᾤχοντο εἰς Σαλα»μῖνα, καὶ ἤγαγον Λέοντα, ἐγὼ δὲ ὠ»όμην ἀπιὼν οἴκαδε κ. τ. λ.» Τῶν δὲ τεττάρων τούτων εἷς ἦν ὁ μιαρὸς Μέλιτος (ἴδ. Ἀνδοκίδ. Περὶ τῶν μυστηρ. σελ. 46), ὁ καὶ τῷ Σωκράτει θανάτου γενόμενος αἴτιος.

§ 4, 2. Μελίτου.] Τοῦ θεοῖς ἐχθροῦ τούτου τοὔνομα, διὰ τοῦ ῑ τέως ὑφ' ἁπάντων γραφόμενον (Μέλιτος), διὰ τοῦ η γραπτέον εἶναι (Μέλητος) ἀπέδειξεν ἔναγχος (1822) ὁ Βύτμανος ἐκ πολλῶν ἀρχαίων ἀντιγράφων, ἐν ταῖς εἰς τὸν Μένωνα τοῦ Πλάτωνος σημειώσεσι, σελ. 48). Πιστῷτο δ' ἂν ἡ γραφὴ καὶ ἐξ ἑτέρων ὀνομάτων ἐπιθέτων, ἃ μετατιθέμενα εἰς κυριωνυμικὰ μετατίθησι καὶ τὸν τόνον· αὐτίκα ὁ συναίτιος τῆς πονηρίας Μελήτου, παρὰ τὸ ὀξυτονούμενον ῥηματικὸν Ἀνυτὸς (ἐκ τοῦ Ἀνύω) ἐκλήθη Ἄνυτος· ὡσαύτως οὖν καὶ τὸ ῥηματικὸν Μελητὸς (ἐκ τοῦ Μέλω), τῇ τοῦ τόνου μεταθέσει, μετέβη εἰς τὸ κύριον Μέλητος.

§ 5, 2. Ἱππίαν,] τὸν περίφημον σοφιστήν. — 3. * φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ ΔΙΚΑΙΟΥΣ ΠΟΙΕΙΣΘΑΙ πάντα μεστὰ εἶναι τῶν διδαξόντων *] Μετὰ διαφόρου γραφῆς, ΔΙΚΑΙΩΣ ΠΡΙΑΣΘΑΙ. Ὅλην τὴν περίοδον ὁ Σ. μεθ' ἑτέρων τινῶν οὐ κατεχώρισεν ὅλως εἰς τὸ κείμενον, νοθείαν αὐτῆς καταγνούς· ἄλλοι δὲ καταχωρίσαντες ἐσημειώσαντο ὡς ὕποπτον. Ἔσωσε μέντοι αὐτὴν καὶ ὁ Στοβαῖος (σελ. 110) καὶ ἡρμήνευσεν ὁ Β. — 4. μὴ εἰδέναι.] ΔΓ, μὴ εἶναι. — 5. ὅποι ἂν ἐλθὼν] Ὁ Στοβαῖος, ποίαν ἐλθών. Ἕτερα ΔΓ, ὁποίαν ἐλθών.

§ 7. Πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι; οἷον περὶ γραμμάτων, ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκράτους ἐστίν, ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε δέκα ἐστίν, οὐ τὰ αὐτὰ νῦν, ἃ καὶ πρότερον, ἀποκρίνῃ; Περὶ μὲν τούτων, ἔφη, ὦ Σώκρατες, ὥσπερ σύ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω· περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σὺ οὔτ' ἄν ἄλλος οὐδεὶς δύναιτ' ἀντειπεῖν.

§ 8. Νὴ τὴν Ἥραν, ἔφη, μέγα λέγεις ἀγαθὸν εἱρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίκα ψηφιζόμενοι, παύσονται δὲ οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε καὶ ἀντιδικοῦντες καὶ στασιάζοντες, παύσονται δὲ αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. Καὶ ἐγὼ μὲν οὐκ οἶδ', ὅπως ἄν ἀπολειφθείην σου, πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος.

§ 9. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἀκούσῃ, πρίν γ' ἄν αὐτὸς ἀποφήνῃ, ὅ,τι νομίζεις τὸ δίκαιον εἶναι. Ἀρκεῖ γάρ, ὅτι τῶν ἄλλων καταγελᾷς, ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δὲ οὐδενὶ θέλων ὑπέχειν λόγον οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός.

§ 10. Τί δέ; ὦ Ἱππία, ἔφη, οὐκ ἤσθησαι, ὅτι ἐγώ, ἃ δοκεῖ μοι δίκαια εἶναι, οὐδὲν παύομαι ἀποδεικνύμενος; Καὶ ποῖος δή σοι, ἔφη, οὗτος ὁ λόγος ἐστίν; Εἰ δὲ μὴ λόγῳ, ἔφη, ἀλλ' ἔργῳ ἀποδείκνυμαι. Ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; Πολύ γε, νὴ Δί', ἔφη· δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα ποιοῦσι, δίκαια δὲ πράττων οὐδ' ἄν εἷς ἄδικος εἴη.

§ 11. Ἤσθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυροῦντος, ἢ συκοφαντοῦντος, ἢ φίλους ἢ πόλιν ἢ στάσιν ἐμβάλλοντος, ἢ ἄλλο τι ἄδικον πράττοντος; Οὐκ ἔγωγε, ἔφη. Τὸ δὲ τῶν ἀδίκων ἀπέχεσθαι οὐ δίκαιον ἡγῇ; Δῆλος εἶ, ἔφη, ὦ Σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀποδείκνυσθαι γνώμην, ὅ,τι νομίζεις τὸ δίκαιον· οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ' ἃ μὴ πράττουσι, ταῦτα λέγεις.

§ 12. Ἀλλ' ὅμην ἔγωγε, ἔφη ὁ Σωκράτης, τὸ μὴ θέλειν ἀδικεῖν, ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. Εἰ δέ σοι μὴ δοκεῖ, σκέψαι, ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ· φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. Ἆρα τὸ αὐτὸ λέγεις, ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; Ἔγωγε, ἔφη.

§ 13. Οὐ γάρ αἰσθάνομαί σου,[2] ὁποῖον νόμιμον ἢ ποῖον δίκαιον λέγεις. Νόμους δὲ πόλεως, ἔφη, γιγνώσκεις; Ἔγωγε, ἔφη. Καὶ τίνας τούτους νομίζεις; Ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι, ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι, ἐγράψαντο. Οὐκοῦν, ἔφη, νόμιμος μὲν ἄν εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα παραβαίνων; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ δίκαια μὲν ἂν πράττοι ὁ τούτοις

§ 13, 2. Οὐ γάρ αἰσθάνομαί σου.] Ὁ Στοβαῖος, Οὐκ ἄρα κ.τ.λ.

πειθόμενος, ἄδικα δ' ὁ τούτοις ἀπειθῶν; Πάνυ μὲν οὖν. Οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων, δίκαιος· ὁ δὲ τὰ ἄδικα, ἄδικος; Πῶς γὰρ οὔ; Ὁ μὲν ἄρα νόμιμος, δίκαιός ἐστιν, ὁ δὲ ἄνομος, ἄδικος.

§ 14. Καὶ ὁ Ἱππίας, νόμους δ', ἔφη, ὦ Σώκρατες, πῶς ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι ἢ τὸ πείθεσθαι αὐτοῖς, οὓς γε πολλάκις αὐτοὶ οἱ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται; Καὶ γὰρ πόλεμον, ἔφη ὁ Σωκράτης, πολλάκις ἀράμεναι αἱ πόλεις, πάλιν εἰρήνην ποιοῦνται. Καὶ μάλα, ἔφη. Διάφορον οὖν τι οἴει ποιεῖν, ἔφη, τοὺς τοῖς νόμοις πειθομένους φυλίζων, ὅτι καταλυθεῖεν ἂν οἱ νόμοι, ἢ εἰ τοὺς ἐν τοῖς πολέμοις εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ' ἂν εἰρήνη; ἢ καὶ τοὺς ἐν τοῖς πολεμίοις ταῖς πατρίσι προθύμως βοηθοῦντας μέμφῃ; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη.

§ 15. Λυκοῦργον δὲ τὸν Λακεδαιμόνιον, ἔφη ὁ Σωκράτης, καταμεμάθηκας, ὅτι οὐδὲν ἂν διάφορον[2] τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνεργάσατο αὐτῇ; τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν οὐκ οἶσθα, ὅτι, οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι; καὶ πόλις, ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν.

§ 16. Ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγαθὸν δοκεῖ ταῖς πόλεσιν εἶναι, καὶ πλειστάκις ἐν αὐταῖς αἵ τε γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πολίταις ὁμονοεῖν, καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται, τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. Οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι, οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται, οὐδ' ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδ' ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδ' ἵνα τοῖς αὐτοῖς ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. Τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται γίγνονται· ἄνευ δὲ ὁμονοίας οὔτ' ἂν πόλις εὖ πολιτευθείη, οὔτ' οἶκος καλῶς οἰκηθείη.

§ 17. Ἰδίᾳ δὲ πῶς μέν τις ἂν ἧττον ὑπὸ πόλεως ζημιοῖτο; πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο; πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις ἡττῷτο; ἢ πῶς ἂν μᾶλλον νικῴη; Τίνι δ' ἄν τις μᾶλλον πιστεύσειε παρακαταθέσθαι ἢ χρήματα ἢ υἱοὺς ἢ θυγατέρας; τίνα δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου; παρά τίνος δ' ἂν μᾶλλον τῶν δικαίων τύχοιεν ἢ γονεῖς ἢ οἰκεῖοι ἢ οἰκέται ἢ φίλοι ἢ πολῖται ἢ ξένοι; τίνι δ' ἂν μᾶλλον πολέμιοι πιστεύσειαν ἢ ἀνοχὰς ἢ σπονδὰς ἢ συνθήκας περὶ εἰρήνης; τίνι δ' ἂν μᾶλλον ἢ τῷ νομίμῳ σύμμαχοι ἐθέλοιεν

---

§ 15, 2. οὐδὲν ἂν διάφορον κ.τ.λ.] οὐδὲν κρεῖττονα τῶν ἄλλων πόλεων.

γίγνεσθαι; τῷ δ' ἂν μᾶλλον οἱ σύμμαχοι πιστεύσειαν ἢ ἡγεμονίαν ἢ φρουραρχίαν ἢ πόλεις; τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι χάριν κομιεῖσθαι μᾶλλον ἢ τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις εὐεργετήσειεν, ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζει; τῷ δ' ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι ἢ τῷ ἧττον ἐχθρός, ἢ τῷ τοιούτῳ; τῷ δ' ἄν τις ἧττον πολεμήσειεν, ἢ ᾧ ἄν μάλιστα μὲν φίλος εἶναι βούλοιτο, ἥκιστα δὲ ἐχθρός, καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ πολέμιοι;

§ 18. Ἐγὼ μὲν οὖν, ὦ Ἱππία, τὸ αὐτὸ ἀποδείκνυμαι νόμιμόν τε καὶ δίκαιον εἶναι· σὺ δ', εἰ τἀναντία γιγνώσκεις, δίδασκε. Καὶ ὁ Ἱππίας, Ἀλλά, μὰ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκῶ τἀναντία γιγνώσκειν οἷς εἴρηκας περὶ τοῦ δικαίου.

§ 19. Ἀγράφους δέ τινας οἶσθα, ἔφη, ὦ Ἱππία, νόμους; Τοὺς γ' ἐν πάσῃ, ἔφη, χώρᾳ κατὰ ταὐτὰ νομιζομένους. Ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; Καὶ πῶς ἄν; ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαντες ἂν ᾐσθοντο, οὔτε ὁμόφωνοί εἰσι. Τίνας οὖν, ἔφη, νομίζεις τεθεικέναι τοὺς νόμους τούτους; Ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι. Καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται τοὺς θεοὺς σέβειν.

§ 20. Οὐκοῦν καὶ γονέας τιμᾶν πανταχοῦ νομίζεται; Καὶ τοῦτο, ἔφη. Οὐκοῦν καὶ μήτε γονέας παισὶ μίγνυσθαι μήτε παῖδας γονεῦσιν; Οὐκ ἔτι μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, οὗτος θεοῦ νόμος εἶναι. Τί δή; ἔφη. Ὅτι αἰσθάνομαί τινας, ἔφη, παραβαίνοντας αὐτόν.

§ 21. Καὶ γὰρ ἄλλα πολλά, ἔφη, παρανομοῦσιν· ἀλλ' οὖν δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν, ὥσπερ τοὺς ὑπ' ἀνθρώπων κειμένους νόμους ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δίκην διδόναι, οἱ μὲν λανθάνοντες, οἱ δὲ βιαζόμενοι.

§ 22. Καὶ ποίαν, ἔφη, δίκην, ὦ Σώκρατες, οὐ δύνανται διαφεύγειν γονεῖς τε παισὶ καὶ παῖδες γονεῦσι μιγνύμενοι; Τὴν μεγίστην, νὴ Δί', ἔφη. Τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι τεκνοποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι;

§ 23. Πῶς οὖν, ἔφη, κακῶς οὗτοι τεκνοποιοῦνται, οὓς γε οὐδὲν κωλύει ἀγαθοὺς αὐτοὺς ὄντας ἐξ ἀγαθῶν παιδοποιεῖθαι; Ὅτι νὴ Δί', ἔφη, οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἁρμάζοντας τοῖς σώμασιν. Ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ τῶν ἁρμαζόντων τοῖς τῶν μήπω ἁρμαζόντων ἢ τῶν παρηκμακότων; Ἀλλὰ, μὰ Δί', ἔφη, οὐκ εἰκὸς ὅμοια εἶναι. Πότερα οὖν, ἔφη, βελτίω; Δῆλον ὅτι, ἔφη, τὰ

τῶν ἀκμαζόντων. Τὰ τῶν μὴ ἀκμαζόντων ἄρα οὐ σπουδαῖα; Οὐκ εἰκός, μὰ Δί', ἔφη. Οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι; Οὐ γάρ οὖν, ἔφη. Οὐκοῦν οἵ γε οὕτω παιδοποιούμενοι, ὡς οὐ δεῖ, παιδοποιοῦνται; Ἔμοιγε δοκεῖ, ἔφη. Τίνες οὖν ἄλλοι, ἔφη, κακῶς ἂν παιδοποιοῖντο, εἰ γε μὴ οὗτοι; Ὁμογνωμονῶ σοι, ἔφη, καὶ τοῦτο.

§ 24. Τί δέ; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν ἐστι; Νόμιμον, ἔφη· παραβαίνεται δὲ καὶ τοῦτο.[2] Οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν; Ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς, ἀγαθοὶ φίλοι εἰσίν, οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν, διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι; Νὴ τὸν Δία, ὦ Σώκρατες, ἔφη, θεῖοις ταῦτα πάντα ἔοικε· τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν, βελτίονος ἢ κατ' ἄνθρωπον νομοθέτου δοκεῖ μοι εἶναι.

§ 25. Πότερον οὖν, ὦ Ἱππία, τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; Οὐκ ἄλλα, μὰ Δί', ἔφη. Σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν εἰμὴ θεός. Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. Τοιαῦτα λέγων τε καὶ πράττων δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας.

ΚΕΦΑΛΑΙΟΝ V.

§ 1. Ὡς δὲ καὶ πρακτικωτέρους ἐποίει τοὺς συνόντας ἑαυτῷ, νῦν αὖ τοῦτο λέξω. Νομίζω γὰρ ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν εἶναι[2] τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἡσυχῇ[3] αὐτὸν μάλιστα πάντων ἀνθρώπων· ἔπειτα διαλεγόμενος προετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν.

§ 2. Ἀεὶ μὲν οὖν τῶν πρὸς ἀρετὴν χρησίμων αὐτός τε διετέλει μεμνημένος καὶ τοὺς συνόντας πάντας ὑπομιμνήσκων, οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Εὐθύδημον περὶ ἐγκρατείας τοιάδε διαλεχθέντα. Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν; Ὡς οἷόν τέ γε[2] μάλιστα, ἔφη.

---

§ 24, 2. παραβαίνεται δὲ καὶ τοῦτο.] Ἱππίας ἐστὶν ὁ λέγων καὶ ταῦτα· ὁ δὲ Σωκράτης ἄρχεται ἀπὸ τῶν ἑξῆς· «Οὐκοῦν καὶ οἱ τοῦτο» ἅπερ ἐρωτηματίζειν χρή.

§ 1, 2. ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν εἶναι] Ὑποκειμένου τόπον πληροῖ τὸ πρῶτον ἀπαρέμφατον, ὡς ἐξηγήσαντο οἱ πρὸ ἡμῶν. Ἔστι γὰρ ὥσπερ ἂν εἰ ἔλεγε, τὸ ὑπάρχειν, ἢ τὸ προηγεῖσθαι τὴν ἐγκράτειαν, ἀγαθὸν εἶναι. — 3. ἡσυχῇ αὐτὸν] Ἀποκατέστησα τὴν γραφὴν εἰς τὴν χώραν τοῦ Αὐτὴν, ὅπερ ἔγραψεν ἐξ ΕΔ, ὁ Σ. τὸ γὰρ ἐπὶ τέλει τῆς προτάσεως, «Πρὸς ἐγκράτειαν», κοινόν ἐστι πρός τε τὸ «Ἡσυχῇ αὐτὸν» (ὁ Σωκράτης) καὶ πρὸς τὸ «Προετρέπετο τοὺς

§ 3. Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν, καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι; Ἥκιστα, ἔφη. Ἴσως γὰρ ἐλεύθερον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα· εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὸ ταῦτα ποιεῖν,[2] ἀνελεύθερον νομίζεις; Παντάπασί γε, ἔφη.

§ 4. Παντάπασιν ἄρα σοι δοκοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι. Νὴ τὸν Δί', ἔφη, εἰκότως. Πότερον δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; Οὐδὲν ἧττον ἔμοιγ', ἔφη, δοκοῦσι ταῦτα ἀναγκάζεσθαι, ἢ ἐκεῖνα κωλύεσθαι.

§ 5. Ποίους δέ τινας δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; Ὡς δυνατόν, νὴ Δί', ἔφη, κακίστους. Δουλείαν δὲ ποίαν κακίστην νομίζεις εἶναι; Ἐγὼ μέν, ἔφη, τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. Τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν. Ἔμοιγε δοκεῖ, ἔφη.

§ 6. Σοφίαν δὲ τὸ μέγιστον ἀγαθὸν οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ κωλύειν, ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλήξασα[2] ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; Γίγνεται τοῦτο, ἔφη.

§ 7. Σωφροσύνης δέ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. Ὁμολογῶ καὶ τοῦτο, ἔφη. Τοῦ δ' ἐπιμελεῖσθαι, ὧν προσήκει, οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; Οὔκουν ἔγωγε, ἔφη. Τοῦ δὲ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; Οὐδέν, ἔφη.

§ 8. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων[2] ἢ τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ

συνόντας». — § 2, 2. Ὡς οἷόν τέ γε.] Περιττὸς ἔδοξε τῷ Σ. ὁ τελευταῖος σύνδεσμος, καίμοι συνδοκεῖ. — § 3, 2. τοὺς κωλύσοντας ΤΟ ΤΑΥΤΑ ποιεῖν.] Προειλόμην τὴν ἐκ τοῦ Στοβαίου γραφὴν (προαιρετέαν εἶναι κρίναντος καὶ τοῦ Σ.) τῆς κοινῇ φερομένης, ΤΑ ΤΟΙΑΥΤΑ.

§ 6, 2. Ἐκπλήξασα,] ἐκστήσασα, ἀποσπάσασα. Ἡ συνάρτησις ὅλου τοῦ χωρίου· Ἡ οὐ δοκεῖ σοι ἡ ἀκρασία κωλύειν [τοὺς ἀνθρώπους] προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ, ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις ποιεῖν [αὐτοὺς καίπερ] αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν, ἐκπλήξασα [ἀπὸ τῶν ἀγαθῶν] αἱρεῖσθαι τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος; — § 8, 2. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων κτλ.] Οὐκ εἰκὸς οὖν ἐστι τὴν ἐγκράτειαν ἀπεργάζεσθαι ἐν τοῖς ἀνθρώποις ἐναντία οἷς ἀπερ-

τὸ τῶν ἐναντίων αἴτιον εἰκὸς ἄριστον εἶναι; Εἰκὸς γάρ, ἔφη. Ἔοικεν ἄρα, ἔφη, ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἡ ἐγκράτεια εἶναι. Εἰκότως γάρ, ἔφη, ὦ Σώκρατες.

§ 9. Ἐκεῖνο δέ, ὦ Εὐθύδημε, ἤδη πώποτε ἐνεθυμήθης; Ποῖον; ἔφη. Ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν, ἡ δ' ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ. Πῶς; ἔφη. Ὥσπερ ἡ μὲν ἀκρασία, οὐκ ἐῶσα καρτερεῖν οὔτε λιμὸν οὔτε δίψος οὔτε ἀφροδισίων ἐπιθυμίαν οὔτε ἀγρυπνίαν (δι' ὧν μόνων ἐστὶν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν καὶ ἀφροδισιάσαι, ἡδέως δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, περιμείναντας[2] καὶ ἀναστχομένους ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται[3]), κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις[4] ἀξιολόγως ἥδεσθαι· ἡ δ' ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις.

§ 10. Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις. Ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν, καὶ τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινὸς, δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο, καὶ ἐχθρῶν κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται, οἱ μὲν ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτά,[2] οἱ δὲ ἀκρατεῖς οὐδενὸς μετέχουσι. Τῷ γὰρ ἂν ἧττον

γάζεται ἡ ἀκρασία;—§ 9, 2. κοιμηθῆναι περιμείναντας.] Ἐξ ΕΔ, ΑΤ, «κοιμηθῆναι, καὶ περιμείναντας.» Καὶ ὁ Β. δὲ ἠγνόηκε τὸν σύνδεσμον.—3. ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται.] Ἥδιστα δὲ γίνεται, ἐὰν πεινῶντες ἐσθίωμεν, διψῶντες πίνωμεν, καὶ κοπιῶντες κοιμώμεθα. —4. συνεχεστάτοις] τοῖς καθ' ἡμέραν συμβαίνουσιν, οἷον τὸ ἐσθίειν, τὸ πίνειν, τὸ κοιμᾶσθαι. — § 10, 2. Ἀλλὰ μὴν ΤΟΥ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν, καὶ τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινὸς οἱ' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο, καὶ ἐχθρῶν κρατήσειεν, Α'Φ' ΩΝ οὐ μόνον ὠφέλειαι ἀλλὰ καὶ ἡδοναὶ μέγισται ΓΙΓΝΟΝΤΑΙ. ΟΙ ΜΕΝ ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτὰ κτλ.] Οὕτως ἔγραψα (συμφώνως τῷ Λ.) ἀπὸ τῆς δευτέρας ἐκδόσεως τοῦ Στεφάνου, πλὴν οὐ Στέφανος γράφει μὲν καὶ στίζει ΓΙΓΝΟΝΤΑΙ. ΟΙ ΜΕ ΝΓΑΡ, διορθοῖ δὲ ἐν ταῖς σημειώσεσι, φάσκων καὶ τὸν ΓΑΡ σύνδεσμον διαγραπτέον, καὶ μέσῃ, οὐ τελείᾳ στιγμῇ στιτκέον εἶναι, ἵνα τὸ «ἀπολαύουσι» ῥῆμα ἔχῃ συντάσσεσθαι τοῖς ἐν ἀρχῇ «τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθόν». Συμφωνεῖ τούτοις καὶ ὁ Β. οὐχ ἑρμηνεύσας τὸν «γὰρ» οὐδὲ τελείᾳ στίξας μετὰ τὸ «γίγνονται.» Ἕτεροι δ' ἑτέρως διώρθουν· ἔσχατος δὲ ὁ Σ. οὐκ ὤκνησε γράφειν, «Ἀλλὰ μὴν ΑΠΟ ΤΟΥ μαθεῖν . . . κρατήσειεν ΟΥ μόνον ὠφέλειαι ἀλλὰ καὶ ἡδοναὶ μέγισται ΓΙΓΝΟΝΤΑΙ, ΩΝ ΟΙ ΜΕΝ ἐγκρατεῖς κτλ.» Ἔνθα σημειωτέον, ὅτι ἅπαντες οἱ διορθωταὶ καὶ τὸν «Γὰρ» ἀπέβαλον, καὶ τὴν στίξιν μετέβαλον, ὡς ὁ Στέφανος παρήνει. Ἀλλ' ἔστιν ἴσως, μηδὲν τούτων ποιήσαντας, συντομώτερον διορθοῦν, μόνων τῶν δύω πρώτων ἄρθρων τὴν πτῶσιν μεταβάλλοντας, τὴν δὲ στίξιν, καὶ τὸν αἰτιολογικὸν σύνδεσμον κατὰ χώραν ἐῶντας· «Ἀλλὰ μὴν τὸ μαθεῖν, τι καλὸν καὶ ἀγαθὸν, καὶ τὸ ἐπιμεληθῆναι . . . κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται. Οἱ μὲν ἐγκρατεῖς κτλ.» Καὶ εἰ μὲν, τὰ εἰς αἰτιατικὴν πτῶσιν μεταποιηθέντα δύο ἄρθρα πρὸς τὸ μικρὸν ἀνωτέρω ῥῆμα «Ποιεῖ» συντάττοις, καλῶς ἔξει

φήσαιμεν τῶν τοιούτων[3] προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν, κατεχομένῳ ἐπὶ τοῦ σπουδάζειν[4] περὶ τὰς ἐγγυτάτω ἡδονάς;[5]

§ 11. Καὶ ὁ Εὐθύδημος, Δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν, ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. Τί γὰρ διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ, λόγῳ καὶ ἔργῳ διαλέγοντας κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι.

§ 12. Καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους.[2] Ἔφη δὲ καὶ τὸ ΔΙΑΛΕΓΕΣΘΑΙ ἀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι, ΔΙΑΛΕΓΟΝΤΑΣ κατὰ γένη τὰ πράγματα. Δεῖν οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν, καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι· ἐκ τούτου γὰρ γίγνεσθαι ἄνδρας ἀρίστους τε καὶ ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτους.

ΚΕΦΑΛΑΙΟΝ VI.

§ 1. Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, πειράσομαι καὶ τοῦτο λέγειν. Σωκράτης γὰρ τοὺς μὲν εἰδότας, τί ἕκαστον εἴη τῶν ὄντων, ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας, οὐδὲν ἔφη θαυμαστὸν εἶναι, αὐτούς τε σφάλλεσθαι καὶ ἄλλους σφάλλειν. Ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι, τί ἕκαστον εἴη τῶν ὄντων, οὐδέποτ'[2] ἔλιπε. Πάντα μὲν οὖν, ἢ διωρίζετο, πολὺ ἔργον ἂν εἴη διεξελθεῖν· ἐν ὅσοις δέ γε τὸν τρόπον τῆς[3] ἐπισκέψεως δηλώσειν οἶμαι, τοσαῦτα λέξω.

§ 2. Πρῶτον δὲ περὶ εὐσεβείας ὧδέ πως ἐσκόπει· Εἰπέ μοι, ἔφη,

---

ἢ μετὰ τὸ «Γίγνονται» ἀποφαντικὴ στίξις· εἰ δὲ προαιροῖο συναρτᾶν αὐτὰ τὰ ἀνωτέρω «Ἐνεθυμήθης» ἐρωτηματιστέον τὴν τελείαν στιγμήν. — 3. τῶν τοιούτων] ὠφελειῶν καὶ ἡδονῶν. — 4. κατεχομένῳ, ΕΠΙ ΤΩ σπουδάζειν.] Ἴσως ἄντις προέλοιτο γράφειν, ΥΠΟ ΤΟΥ, ἵν' ᾖ κεκρατημένῳ ὑπὸ τῆς περὶ τὰς ἡδονὰς σπουδῆς· ἔστι γε μὴν ἐκδέχεσθαι τὴν μετοχὴν καὶ ἐπὶ τοῦ ἀσχολουμένου. — 5. περὶ τὰς ἐγγυτάτω ἡδονάς;] ἃς ἀνωτέρω (B, I, § 20) ἐκ τοῦ «παραχρῆμα ἡδονὰς εἶρηκε» τουτέστι τὰς διὰ τοῦ σώματος, ὡς αὐτὰς αὐτίκα ὀνομάσει· οὐδὲν γὰρ ἡμῖν τοῦ ἡμετέρου σώματος ἐγγύτερον, οὐδὲ τῶν δι' αὐτοῦ ἡδονῶν οὐδεμία ἄλλη ἡδονὴ θᾶττον ἡμῖν παραγίνεται. — § 12, 2. Καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ δυνατωτάτους.] Ἀφορίζει τοῦ κειμένου ὅλην ταύτην τὴν περίοδον ὁ Σ. οὐκ ὀρθῶς ἐμοὶ δοκεῖν, ὥσπερ καὶ ἑτέροις ἔδοξε.

§ 1, 2. Οὐδεπώποτ'.] ΔΓ, οὐδέποτε. — 3. ἐν ὅσοις ΔΕ ΓΕ τὸν τρόπον τῆς κτλ.] ΗΔ, ἀντὶ τοῦ ΔΕ ΚΑΙ. Τὸν καὶ ὁ Σ. διέκρινε τοῦ χωρίου, ὡς κακῶς πλεονάσαντα· ἕτεροι δὲ καὶ ἀπέκλεισαν ὅλως.

ὦ Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι; Καὶ ὃς, Κάλλιστον, νὴ Δί', ἔφη. Ἔχεις οὖν εἰπεῖν, ὁποῖός τις ὁ εὐσεβής ἐστιν; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, ὁ τοὺς θεοὺς τιμῶν. Ἔξεστι δὲ, ὃν ἄν τις βούληται τρόπον, τοὺς θεοὺς τιμᾶν; Οὔκ· ἀλλὰ νόμοι εἰσί, καθ' οὓς δεῖ τοῦτο ποιεῖν.

§ 3. Οὐκοῦν ὁ τοὺς νόμους τούτους εἰδώς, εἰδείη ἄν, ὡς δεῖ τοὺς θεοὺς τιμᾶν; Οἶμαι ἔγωγ', ἔφη. Ἆρ' οὖν ὁ εἰδὼς τοὺς θεοὺς τιμᾷ, οὐκ ἄλλως οἴεται δεῖν τοῦτο ποιεῖν, ἢ ὡς οἶδεν; Οὐ γὰρ οὖν, ἔφη. Ἄλλως δέ τις θεοὺς τιμᾷ, ἢ ὡς οἴεται δεῖν; Οὐκ οἶμαι, ἔφη.

§ 4. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδὼς, νομίμως ἂν τοὺς θεοὺς τιμῴη. Πάνυ μὲν οὖν. Οὐκοῦν ὅ γε νομίμως τιμῶν, ὡς δεῖ τιμᾷ; Πῶς γὰρ οὔ; Ὁ δέ γε ὡς δεῖ τιμῶν, εὐσεβής ἐστι; Πάνυ μὲν οὖν, ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδὼς, ὀρθῶς ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη. Ἐμοὶ γοῦν, ἔφη, δοκεῖ.

§ 5. Ἀνθρώποις δὲ ἆρα ἔξεστιν, ὃν ἄν τις τρόπον βούληται, χρῆσθαι; Οὔκ· ἀλλὰ καὶ περὶ τούτους ὁ εἰδὼς ἃ ἔστι νόμιμα καθ' ἃ δεῖ πρὸς ἀλλήλους χρῆσθαι,[2] νόμιμος ἂν εἴη. Οὐκοῦν οἱ κατὰ ταῦτα χρώμενοι ἀλλήλοις, ὡς δεῖ, χρῶνται; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε, ὡς δεῖ, χρώμενοι, καλῶς χρῶνται; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τοῖς ἀνθρώποις καλῶς χρώμενοι, καλῶς πράττουσι τἀνθρώπεια πράγματα; Εἰκός γ', ἔφη. Οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι, δίκαια οὗτοι ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη.

§ 6. Δίκαια δὲ οἶσθα, ἔφη, ὁποῖα καλεῖται; Ἃ οἱ νόμοι κελεύουσιν, ἔφη. Οἱ ἄρα ποιοῦντες, ἃ οἱ νόμοι κελεύουσι, δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες δίκαιοί εἰσιν; Οἶμαι ἔγωγ' ἔφη. Οἴει οὖν τινας πείθεσθαι τοῖς νόμοις, μὴ εἰδότας ἃ οἱ νόμοι κελεύουσιν; Οὐκ ἔγωγ', ἔφη. Εἰδότας δὲ ἃ δεῖ ποιεῖν, οἴει τινὰς οἴεσθαι, δεῖν μὴ ποιεῖν ταῦτα; Οὐκ οἶομαι ἔφη. Οἶδας δέ τινας ἄλλα ποιοῦντας, ἢ ἃ οἴονται δεῖν;[2] Οὐκ ἔγωγ', ἔφη. Οἱ ἄρα τὰ περὶ τοὺς ἀνθρώπους νόμιμα εἰδότες τὰ δίκαια οὗτοι ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τὰ δίκαια, δίκαιοί εἰσι; Τίνες γὰρ ἄλλοι; ἔφη. Ὀρθῶς ἄν ποτε ἄρα ὁριζοίμεθα,[3] ὁριζόμενοι δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ τοὺς ἀνθρώπους νόμιμα; Ἔμοιγε δοκεῖ, ἔφη.

---

§ 5, 2. καθ' ἃ δεῖ πρὸς ἀλλήλους χρῆσθαι.] Ὁ δὲ Σ. καὶ ἕτεροι, ἐκ ΔΓ, εἰληφότες, «καθὰ δεῖ πῶς ἀλλήλοις χρῆσθαι» Ο' Β. quibus oporteat mutuo versari.

§ 6, 2. ἄλλα ποιοῦντας, ἢ ἃ οἴονται φεῖν] παρὰ τῷ Στοβαίῳ (τελ. 303) Ἄλλα ποιεῖν εἰ οἴονται ποιεῖν ἐθέλοντας δεῖν. ὑφ' ἧ κακῇ γραφῇ ἑτέραν ὑπονοεῖ ὁ Σ. κρύπτεσθαι ταύτην· «Ἄλλα ποιεῖν ἐθέλοντας ἢ ἃ οἴονται δεῖν·»—3. ὀρθῶς ἄν ΠΟΤΕ ὁριζοίμεθα.] Εὐλόγως ἀπήρεστε τῷ Σ. τὸ χρονικὸν ἐνθάδε ἐπίρρημα, ὃ οὐδ' ἐν τῇ μεταφράσει τοῦ Β. φαίνεται. Ἴσως γραπτέον, «Ὀρθῶς ἄν ΠΟΥ ΓΕ ὁ-

§ 7. Σοφίαν δὲ τί ἂν φήσαιμεν εἶναι; εἰπέ μοι, πότερά σοι δοκοῦσιν οἱ σοφοί, ἃ ἐπίστανται, ταῦτα σοφοὶ εἶναι, ἢ εἰσί τινες ἃ μὴ ἐπίστανται, σοφοί; Ἃ ἐπίστανται δῆλον ὅτι, ἔφη. Πῶς γὰρ ἄν τις, ἅ γε μὴ ἐπίσταιτο, ταῦτα σοφὸς εἴη; Ἆρ' οὖν οἱ σοφοὶ ἐπιστήμῃ σοφοί εἰσι; Τίνι γὰρ, ἔφη, ἄλλῳ τις ἂν εἴη σοφὸς, εἴγε μὴ ἐπιστήμῃ; Ἄλλο δέ τι σοφίαν οἴει εἶναι, ἢ ᾧ σοφοί εἰσιν; Οὐκ ἔγωγε. Ἐπιστήμη ἄρα σοφία ἐστίν. Ἔμοιγε δοκεῖ. Ἆρ' οὖν δοκεῖ σοι ἀνθρώπῳ δυνατὸν εἶναι τὰ ὄντα πάντα ἐπίστασθαι; Οὐδὲ, μὰ Δί', ἔμοιγε πολλοστὸν μέρος αὐτῶν. Πάντα μὲν ἄρα σοφὸν οὐχ οἷόν τε ἄνθρωπον εἶναι; Μὰ Δί', οὐ δῆτα, ἔφη. Ὃ ἄρα ἐπίσταται ἕκαστος, τοῦτο καὶ σοφός ἐστιν; Ἔμοιγε δοκεῖ.

§ 8. Ἆρ' οὖν, ὦ Εὐθύδημε, καὶ τἀγαθὸν οὕτω ζητητέον ἐστί; Πῶς; ἔφη. Δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶναι; Οὐκ ἔμοιγε. Τί δέ; τὸ ἄλλῳ ὠφέλιμον οὐ δοκεῖ σοι ἐνίοτε ἄλλῳ βλαβερὸν εἶναι; Καὶ μάλα, ἔφη. Ἄλλο δ' ἄν τι φαίης ἀγαθὸν εἶναι, ἢ τὸ ὠφέλιμον; Οὐκ ἔγωγ', ἔφη. Τὸ ἄρα ὠφέλιμον ἀγαθόν ἐστιν, ὅτῳ ἂν ὠφέλιμον ᾖ; Δοκεῖ μοι, ἔφη.

§ 9. Τὸ δὲ καλὸν ἔχοιμεν ἄν πως ἄλλως εἰπεῖν, ἢ ἔστιν ὃ ὀνομάζεις καλὸν ἢ σῶμα ἢ σκεῦος ἢ ἄλλ' ὁτιοῦν, ὃ οἶσθα[2] πρὸς πάντα καλὸν ὄν; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Ἆρ' οὖν, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; Πάνυ μὲν οὖν, ἔφη. Καλὸν δὲ πρὸς ἄλλο τι ἐστὶν ἕκαστον ἢ πρὸς ὃ ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; Οὐδὲ πρὸς ἓν ἄλλο, ἔφη. Τὸ χρήσιμον ἄρα καλόν ἐστι, πρὸς ὃ ἂν ᾖ χρήσιμον. Ἔμοιγε δοκεῖ, ἔφη.

§ 10. Ἀνδρίαν δὲ, ὦ Εὐθύδημε, ἆρα τῶν καλῶν νομίζεις εἶναι; Κάλλιστον μὲν οὖν ἔγωγ', ἔφη. Χρήσιμον ἄρα οὐ πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρίαν; Μὰ Δί', ἔφη, πρὸς τὰ μέγιστα μὲν οὖν. Ἆρ' οὖν δοκεῖ σοι πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐτά; Ἥκιστά γ', ἔφη. Οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα, διὰ τὸ μὴ εἰδέναι τί ἐστιν, οὐκ ἀνδρεῖοί εἰσι; Νὴ Δί', ἔφη· πολλοὶ γὰρ[2] ἂν οὕτω γε τῶν τε μαινομένων καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. Τί δέ; οἱ καὶ τὰ μὴ δεινὰ δεδοικότες; Ἔτι γε, νὴ Δία, ἧττον, ἔφη. Ἆρ' οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα ὄντας, ἀνδρείους ἡγῇ εἶναι, τοὺς δὲ κακοὺς, δειλούς; Πάνυ μὲν οὖν, ἔφη.

§ 11. Ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς, ἢ

ριζόμεθα.»—§ 9, 2. ἢ ἔστιν ὃ ὀνομάζεις καλόν . . . ὁτιοῦν, ὃ οἶσθα κτλ.] Ex ΕΔ, ΔΓ, «ἢ εἰ ἔστιν, ὀνομάζεις καλόν . . . ὁτιοῦν, ὃ οἶσθα» ὅπερ ἄλλοι ἄλλως διορθοῦν ἐπεχείρησαν.—§ 10, 2, Νὴ Δί' ἔφη· πολλοὶ γάρ] Ἴσως γραπτέον, Μὰ Δί', ἔφη· π ο λ λ ο ί γ ὰ ρ, ὡς ἐοίκει καὶ τῷ Σ.—§ 13, 2. σοφώτερον φά-

τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι; Οὔκ, ἀλλὰ τούτους, ἔφη. Κακοὺς δὲ ἄρα τοὺς οἵους τούτοις κακῶς χρῆσθαι; Τίνας γὰρ ἄλλους; ἔφη. Ἆρ' οὖν ἕκαστοι χρῶνται, ὡς οἴονται δεῖν; Πῶς γὰρ ἄλλως; ἔφη. Ἆρα οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι, ἴσασιν, ὡς δεῖ, χρῆσθαι; Οὐ δήπου γε, ἔφη. Οἱ ἄρα εἰδότες, ὡς δεῖ, χρῆσθαι, οὗτοι καὶ δύνανται; Μόνοι γε, ἔφη. Τί δέ; οἱ μὴ διημαρτηκότες ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις; Οὐκ οἶμαι, ἔφη. Οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν; Εἰκός γε, ἔφη. Οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι, ἀνδρεῖοί εἰσιν, οἱ δὲ διαμαρτάνοντες τούτου δειλοί; Ἔμοιγε δοκοῦσιν, ἔφη.

§ 12. Βασιλείαν δὲ καὶ τυραννίδα ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. Τὴν μὲν γὰρ, ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ νόμους, τῶν πόλεων ἀρχήν, βασιλείαν ἡγεῖτο. Τὴν δὲ ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. Καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι· ὅπου δ' ἐκ τιμημάτων, πλουτοκρατίαν· ὅπου δ' ἐκ πάντων, δημοκρατίαν.

§ 13. Εἰ δέ τις αὐτῷ περὶ του ἀντιλέγοι, μηδὲν ἔχων σαφὲς λέγειν, ἀλλ' ἄνευ ἀποδείξεως ἤτοι σοφώτερον φάσκων εἶναι, οὗ αὐτὸς λέγοι,[2] ἢ πολιτικώτερον ἢ ἀνδρειότερον ἢ ἄλλο τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν[3] ἐπανῆγεν ἂν πάντα τὸν λόγον ὧδέ πως.

§ 14. Φῂς σὺ ἀμείνω πολίτην εἶναι, ὃν σὺ ἐπαινεῖς, ἢ ὃν ἐγώ; Φημί γὰρ οὖν. Τί οὖν οὐκ ἐκεῖνο πρῶτον ἐπεσκεψάμεθα, τί ἐστὶν ἔργον ἀγαθοῦ πολίτου; Ποιῶμεν τοῦτο. Οὐκοῦν ἐν μὲν χρημάτων διοικήσει[2] κρατοίη ἂν ὁ χρήμασιν εὐπορωτέραν τὴν πόλιν ποιῶν; Πάνυ μὲν οὖν, ἔφη. Ἐν δέ γε πολέμῳ, ὁ καθυπερτέραν τῶν ἀντιπάλων; Πῶς γὰρ οὔ; Ἐν δὲ πρεσβείᾳ, ἆρα ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευάζῃ; Εἰκότως γε. Οὐκοῦν καὶ ἐν δημηγορίᾳ, ὁ στάσεις τε παύων καὶ ὁμόνοιαν ἐμποιῶν; Ἔμοιγε δοκεῖ.

Οὕτω δὲ τῶν λόγων ἐπαναγομένων,[3] καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές.

σκων εἶναι, Ὃ Υ αὐτὸς λέγοι, κτλ.] Ἐξ ΕΔ, ἀντὶ τοῦ ΟΝ. ΔΓ. ὧν. Ὁ νοῦς, Φάσκων ὁ ἀντιλέγων τῷ Σωκράτει περί τινος, ὅτι σοφώτερος εἴη ἐκείνου οὗ αὐτὸς [ὁ Σωκράτης] λέγοι.—3. ἐπὶ τὴν ὑπόθεσιν] ἐπὶ τὴν ἀρχὴν τοῦ περὶ οὗ ὁ λόγος, ἧς μὴ ὑποτεθείσης, οὐκ ὀρθῶς συμπεραίνεται τὸ λεγόμενον.—§ 14, 2. ἐν μὲν χρημάτων διοικήσει,] ἐν λήψει καὶ δόσει ἢ ἐν πορισμῷ καὶ δαπάνῃ χρημάτων· ἰδίως γὰρ ἐπὶ χρημάτων ἐλέγετο ἡ διοίκησις. Διὸ καὶ ὁ ἐπὶ τῶν δημοσίων χρημάτων ταμίας. «Ὁ ἐπὶ τῆς Διοικήσεως» Ἀθήνησιν ἐκαλεῖτο. Τοῦτο δὲ ἀπὸ μέρους ἐμφαίνει ὁ Ἡσύχιος λέγων· «Διοίκητις, ἡ ἀνάλωσις τῶν χρημάτων.» Ἔσωσεν ἡ παρ' ἡμῖν συνήθεια τὴν «Διοίκησιν» οὐ μόνον ἐπὶ χρημάτων, ἀλλὰ καὶ ἐπὶ παντὸς ἄλλου ἐπιστασίας τε καὶ οἰκονομίας χρήζοντος πράγματος. — 3. ἐπαναγομένων] ἐπὶ τὴν ὑπόθεσιν.

§ 15. Ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην *τὴν* ἀσφάλειαν εἶναι λόγου.[2] Τοιγαροῦν πολὺ μάλιστα ὧν ἐγὼ οἶδα, ὅτε λέγοι, τοὺς ἀκούοντας ὁμολογοῦντας παρεῖχε. Ἔφη δὲ καὶ Ὁμήρου τῷ Ὀδυσσεῖ ἀναθεῖναι τὸ ἀσφαλῆ ῥήτορα εἶναι, ὡς ἱκανὸν αὐτὸν ὄντα διὰ τῶν δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους.

ΚΕΦΑΛΑΙΟΝ VII.

§ 1. Ὅτι μὲν οὖν ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο Σωκράτης πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ, δοκεῖ μοι δῆλον ἐκ τῶν εἰρημένων εἶναι· ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τοῦτο λέξω. Πάντων μὲν γάρ, ὧν ἐγὼ οἶδα, μάλιστα ἔμελεν αὐτῷ εἰδέναι, ὅτου τις ἐπιστήμων εἴη τῶν συνόντων αὐτῷ. Ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι, ὅ,τι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν· ὅτου δὲ αὐτὸς ἀπειρότερος[2] εἴη, πρὸς τοὺς ἐπισταμένους ἦγεν αὐτούς.

§ 2. Ἐδίδασκε δὲ καὶ μέχρι ὅτου δέοι ἔμπειρον εἶναι ἑκάστου πραγματος τὸν ὀρθῶς πεπαιδευμένον. Αὐτίκα γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν, ἕως ἱκανός τις γένοιτο, εἴ ποτε δεήσειε, γῆν μέτρῃ ὀρθῶς ἢ παραλαβεῖν ἢ παραδοῦναι ἢ διανεῖμαι, ἢ ἔργον ἀποδείξασθαι.[2] Οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι μαθεῖν, ὥστε τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει, ἅμα τήν τε γῆν ὁπόση ἐστὶν εἰδέναι, καὶ ὡς μετρεῖται ἐπιστάμενον ἀπιέναι.

§ 3. Τὸ δὲ μέχρι τῶν δυστξυνέτων διαγραμμάτων γεωμετρίαν μανθάνειν ἀπεδοκίμαζεν. Ὅ,τι μὲν γὰρ ὠφελοίη ταῦτα, οὐκ ἔφη ὁρᾶν, καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν. Ἔφη δὲ ταῦτα ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν, καὶ ἄλλων πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν.

---

§ 15, 2. νομίζων ταύτην *τὴν* ἀσφάλειαν εἶναι λόγου.] Ἀστερίσκοις διείληφα τὸ ἄρθον, ὡς καλῶς πλεονάζον. § 1, 2. ἀπειρότερος] ΔΓ, ἀπειρατος. — § 2, 2. γῆν . . . ἢ ἔργον ἀποδείξασθαι.] Διαφόρως ἐξηγησαμένων τῶν κριτικῶν τὸ «ἔργον ἀποδείξασθαι,» ἔμοι γε οὐδὲν πλέον σημαίνειν δοκεῖ ἢ «ἀγρὸν ἑαυτῷ ποιῆσαι σπείραντα,» συντομώτερον «ἐργάσασθαι» (Γαλλ. la labourer). ἔργον γὰρ κατ' ἐξοχὴν λέγεται ἡ γεωργία, καὶ αὐτὴ προσέτι ἡ γεγεωργημένη γῆ· καὶ πολλὴ τούτου χρῆσις παρὰ τῷ Ποιητῇ, οἷον (Ἰλιάδ. β', 751).

Οἵ τ' ἀμφ' ἰμερτὸν Τιταρήσιον ἔργ' ἐνέμοντο,

τουτέστιν, ἀγρούς· καὶ πάλιν (μ', 283),

Καὶ πεδία λωτεῦντα, καὶ ἀνδρῶν
ΠΙΟΝΑ ΕΡΓΑ,

αὐτὰ ταῦτα λέγων, ἃ Τυρταῖος (Α, 3) ΠΙΟΝΑΣ ΑΓΡΟΥΣ καλεῖ. Λέγει δὲ καὶ Ἀπολλώνιος (Λεξικ. σελ. 356) «Ἔργον· ὃτ' ἂν ψιλῶς Ὅμηρος ἔργον λέγῃ, »μηδενὸς ἑτέρου συμφραζομένου, μηδ' ἐκ τῶν παρακειμένων δηλούμενον, τὴν »γεωργίαν δηλοῖ.» Μαρτυρεῖ τούτοις καὶ ἡ παρ' ἡμῖν συνήθεια Ἐργάτην καλοῦσα τὸν παρὰ τοῖς Γάλλοις laboureur,

§ 4. Ἐκέλευε δὲ καὶ ἀστρολογίας ἐμπείρους γίγνεσθαι, καὶ ταύτης μέντοι μέχρι τοῦ νυκτός τε ὥραν καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν, ἕνεκα πορείας τε καὶ πλοῦ καὶ φυλακῆς· καὶ ὅσα ἄλλα ἢ νυκτὸς ἢ μηνὸς ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ' ἔχειν τεκμηρίοις χρῆσθαι, τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντας. Καὶ ταῦτα δὲ ῥᾴδια εἶναι μαθεῖν παρά τε τῶν νυκτοτηρῶν[2] καὶ κυβερνητῶν καὶ ἄλλων πολλῶν, οἷς ἐπιμελὲς ταῦτα εἰδέναι.

§ 5. Τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα,[2] καὶ τοὺς πλάνητάς τε καὶ ἀσταθμήτους ἀστέρας[3] γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς γῆς καὶ τὰς περιόδους καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς ἀπέτρεπεν. Ὠφέλειαν μὲν γὰρ οὐδεμίαν οὐδ' ἐν τούτοις ἔφη ὁρᾶν (καίτοι οὐδὲ τούτων γε ἀνήκοος ἦν)· ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν ἀνθρώπου βίου, καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν.

§ 6. Ὅλως δὲ τῶν οὐρανίων, ἢ ἕκαστα ὁ Θεὸς μηχανᾶται φροντιστὴν γίγνεσθαι ἀπέτρεπεν· οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶναι, οὔτε χαρίζεσθαι Θεοῖς ἂν ἡγεῖτο τὸν ζητοῦντα, ἃ, ἐκεῖνοι σαφηνίσαι οὐκ ἐβουλήθησαν. Κινδυνεύσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι τὸν ταῦτα μεριμνῶντα, οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν, ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν Θεῶν μηχανὰς ἐξηγεῖσθαι.

§ 7. Ἐκεῖνος γὰρ λέγων μὲν τὸ αὐτὸ εἶναι πῦρ τε καὶ ἥλιον, ἠγνόει ὡς τὸ μὲν πῦρ αἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν· καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμπόμενοι τὰ χρώματα μελάντερα ἔχουσιν, ὑπὸ δὲ τοῦ πυρὸς οὔ. Ἠγνόει δὲ καὶ ὅτι τῶν ἐκ τῆς γῆς φυομένων ἄνευ μὲν ἡλίου αὐγῆς οὐδὲν δύναται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα πάντα ἀπόλλυται. Φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον εἶναι, καὶ τοῦτο ἠγνόει ὅτι λίθος μὲν ἐν πυρὶ ὢν οὔτε λάμπει, οὔτε πολὺν χρόνον ἀντέχει· ὁ δὲ ἥλιος τὸν πάντα χρόνον πάντων λαμπρότατος ὢν διαμένει.

§ 8. Ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν· καὶ τούτων δὲ ὁ-

καὶ Ἐργατεύω τὸ παρ' ἐκείνοις labourer.

§ 4, 2. νυκτοτηρῶν,] τουτέστι, νυκτοφυλάκων. Ταύτην προείλετο ὁ Σ. τὴν γραφὴν τῆς ἑτέρας, νυκτοθηρῶν, ὅ ἐστι, τῶν νυκτὸς θηρωμένων.

§ 5, 2. τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα,] τὰ κατ' ἰδίας κινούμενα κινήσεις, ὡς ἐξηγήσαντο οἱ πρὸ ἡμῶν, ἐκ τῶν Στωϊκῶν δογμάτων τῶν παρὰ Διογένει τῷ Λαερτίῳ (VII, 144). — 3. ἀσταθμήτους ἀστέρας,] τοὺς κομήτας φασὶ νοεῖν διὰ τῶν ἀσταθμήτων ἀστέ-

μοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν. Μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεπεσκόπει καὶ συνδιεξήει τοῖς συνοῦσι.

§ 9. Προέτρεπε δὲ σφόδρα καὶ ὑγιείας ἐπιμελεῖσθαι τοὺς συνόντας, παρά τε τῶν εἰδότων μανθάνοντας ὅσα ἐνδέχοιτο, καὶ ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς τοῦ βίου, τί βρῶμα ἢ τί πόμα ἢ ποῖος πόνος συμφέροι αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινότατ' ἂν διάγοι. Τὸν γὰρ οὕτω προσέχοντα ἑαυτῷ ἔργον ἔφη εἶναι εὑρεῖν ἰατρὸν[2] τὰ πρὸς ὑγίειαν συμφέροντα αὐτῷ μᾶλλον διαγιγνώσκοντα ἑαυτοῦ.

§ 10. Εἰ δέ τις μᾶλλον ἢ κατὰ τὴν ἀνθρωπίνην σοφίαν ὠφελεῖσθαι βούλοιτο, συνεβούλευε μαντικῆς ἐπιμελεῖσθαι. Τὸν γὰρ εἰδότα, δι' ὧν οἱ θεοὶ τοῖς ἀνθρώποις περὶ τῶν πραγμάτων σημαίνουσιν, οὐδέποτ' ἔρημον ἔφη γίγνεσθαι συμβουλῆς θεῶν.

ΚΕΦΑΛΑΙΟΝ VIII.

§ 1. Εἰ δέ τις, ὅτι, φάσκοντος αὐτοῦ τὸ δαιμόνιον ἑαυτῷ προσημαίνειν ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θάνατος, οἴεται αὐτὸν ἐλέγχεσθαι περὶ τοῦ δαιμονίου ψευδόμενον, ἐννοησάτω πρῶτον μέν, ὅτι οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας ἦν, ὥστ', εἰ καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι τὸν βίον· εἶτα, ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ βίου, καὶ ἐν ᾧ πάντες τὴν διάνοιαν μειοῦνται, ἀπέλιπεν·[2] ἀντὶ δὲ τούτου τῆς ψυχῆς τὴν ῥώμην ἐπιδεικνύμενος εὔκλειαν προσεκτήσατο, τήν τε δίκην πάντων ἀνθρώπων ἀληθέστατα καὶ ἐλευθεριώτατα καὶ δικαιότατα εἰπών, καὶ τὴν κατάγνωσιν τοῦ θανάτου πραότατα καὶ ἀνδρωδέστατα ἐνεγκών.

§ 2. Ὁμολογεῖται γάρ, οὐδένα πω τῶν μνημονευομένων ἀνθρώπων κάλλιον θάνατον ἐνεγκεῖν. Ἀνάγκη μὲν γὰρ ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρας βιῶναι διὰ τὸ Δήλια[2] μὲν ἐκείνου τοῦ μηνὸς εἶναι, τὸν δὲ νόμον μηδένα ἐᾶν δημοσίᾳ ἀποθνήσκειν, ἕως ἂν ἡ θεωρὶς ἐκ Δήλου ἐπανέλθῃ.[3] Καὶ τὸν χρό-

---

ρων. — § 9, 2. ἔργον... εὑρεῖν ἰατρὸν καὶ κ. τ. λ.] Τῷ διὰ τῆς ἰδίας προσοχῆς φυλαττομένῳ τὰ βλάπτοντα τὸ σῶμα, καὶ προσφερομένῳ τὰ ὠφελοῦντα, χαλεπόν ἐστιν εὑρεῖν ἰατρὸν ἑαυτοῦ ἱκανώτερον διαγνῶναι ταῦτα.

§ 1, 2. ἀπέλιπεν] Οὕτω παρήνει γράφειν ὁ Σ. ἐκ τῆς παρὰ τῷ Ξενοφῶντι ἀπολογίας Σωκράτους, ἀντὶ τοῦ, «ἀπέλειπεν.» — § 2, 2. Δήλια,] ἑορτὴ οὕτω καλουμένη, περὶ ἧς ἐπιθι Πλάτωνα (Φαίδ. σελ. 58). — 3. ἕως ἂν ἡ ΘΕΩΡΙΣ ἐκ Δήλου ἐπανέλθῃ.] Ἐξ ΕΔ, ἀντὶ τοῦ ΘΕΩΡΙΑ. Θεωρία μὲν γὰρ περιεκτικῶς λέγεται ἡ τῶν στελλομένων θεωρῶν πληθύς· Θεωρὶς δὲ, ἡ ναῦς, ἐφ' ἧς ἐστέλλοντο. Συνᾴδει δὲ τῇ διορθώσει καὶ ἡ τοῦ Β. μετάφρασις, ni

νον τοῦτον ἅπασι τοῖς συνήθεσι φανερὸς ἐγένετο οὐδὲν ἀλλοιότερον διαβιοὺς ἢ τὸν ἔμπροσθεν χρόνον· καίτοι τὸν ἔμπροσθέν γε πάντων ἀνθρώπων μάλιστα ἐθαυμάζετο ἐπὶ τῷ εὐθύμως τε καὶ εὐκόλως ζῆν.

§ 3. Καὶ πῶς ἄν τις κάλλιον ἢ οὕτως[2] ἀποθάνοι; ἢ ποῖος ἂν εἴη θάνατος καλλίων ἢ ὃν ἂν κάλλιστά τις ἀποθάνοι; ποῖος δ' ἂν γένοιτο θάνατος εὐδαιμονέστερος τοῦ καλλίστου; ἢ ποῖος θεοφιλέστερος τοῦ εὐδαιμονεστάτου;

§ 4. Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονίκου ἤκουσα[2] περὶ αὐτοῦ. Ἔφη γάρ, ἤδη Μελίτου γεγραμμένου αὐτὸν τὴν γραφήν, αὐτὸς ἀκούων αὐτοῦ πάντα μᾶλλον ἢ περὶ τῆς δίκης διαλεγομένου, λέγειν αὐτῷ, ὡς χρὴ σκοπεῖν ὅ,τι ἀπολογήσεται. Τὸν δὲ τὸ μὲν πρῶτον εἰπεῖν· Οὐ γάρ δοκῶ σοι τοῦτο μελετῶν διαβεβιωκέναι; Ἐπεὶ δὲ αὐτὸν ἤρετο, ὅπως; εἰπεῖν αὐτόν, ὅτι οὐδὲν ἄλλο ποιῶν διαγεγένηται, ἢ διασκοπῶν μὲν τά τε δίκαια καὶ τὰ ἄδικα, πράττων δὲ τὰ δίκαια καὶ τῶν ἀδίκων ἀπεχόμενος· ἥνπερ νομίζοι καλλίστην μελέτην ἀπολογίας εἶναι.

§ 5. Αὐτὸς δὲ πάλιν εἰπεῖν, Οὐχ ὁρᾷς, ὦ Σώκρατες, ὅτι οἱ Ἀθήνησι δικασταὶ πολλοὺς μὲν ἤδη μηδὲν ἀδικοῦντας, λόγῳ ἀχθέντες[2] ἀπέκτειναν, πολλοὺς δὲ ἀδικοῦντας ἀπέλυσαν; Ἀλλὰ νὴ τὸν Δία, φάναι αὐτὸν, ὦ Ἑρμόγενες, ἤδη μοῦ ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας, ἠναντιώθη τὸ δαιμόνιον.

§ 6. Καὶ αὐτὸς εἰπεῖν, Θαυμαστὰ λέγεις· τὸν δὲ, Θαυμάζεις, φάναι, εἰ τῷ θεῷ δοκεῖ βέλτιον εἶναι, ἐμὲ τελευτᾶν τὸν βίον ἤδη; οὐκ οἶσθ' ὅτι μέχρι μὲν τοῦδε τοῦ χρόνου ἐγὼ οὐδενὶ ἀνθρώπων ὑφείμην ἂν οὔτε βέλτιον οὔθ' ἥδιον ἐμοῦ βεβιωκέναι; ἄριστα μὲν γὰρ οἶμαι ζῆν τοὺς μάλιστα ἐπιμελομένους[2] τοῦ ὡς βελτίστους γίγνεσθαι, ἥδιστα δὲ τοὺς μάλιστα αἰσθανομένους ὅτι βελτίους γίγνονται.

§ 7. Ἃ ἐγὼ μέχρι τοῦδε τοῦ χρόνου ἠσθανόμην ἐμαυτῷ συμβαίνοντα, καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων, καὶ πρὸς τοὺς ἄλλους παραθεωρῶν ἐμαυτὸν οὕτω διατετέλεκα περὶ ἐμαυτοῦ γιγνώσκων. Καὶ οὐ μόνον ἐγὼ, ἀλλὰ καὶ οἱ ἐμοὶ φίλοι οὕτως ἔχον-

---

prius a Delo navis sacra redisset.

§ 3, 2. ἢ οὕτως,] εὐθύμως καὶ εὐκόλως. — § 4, 2. ἤκουσα] Ἀπῆν γάρ τηνικαῦτα ὁ Ξενοφῶν τῶν Ἀθηνῶν, μετὰ τῶν σὺν Κύρῳ ἀναβάντων στρατευόμενος. — § 5, 2. ἀχθέντες] ΗΔ (συνάδουσα τῇ B, adducti) AT, «ἀχθεσθέντες.» Ἐν δὲ τῇ Ἀπολογίᾳ (§ 4), Ξενοφῶν φησι, «λόγῳ ΤΑΡΑΧΘΕΝΤΕΣ» ὅπερ ὑπεναντιοῦσθαί μου τῇ διορθώσει ἔοικεν· ἀλλὰ κἀκεῖ γραπτέον ἐστὶ ΠΑΡΑΧΘΕΝΤΕΣ, ὃ ἐστιν ἀπατηθέντες, ὥσπερ τὸ ΛΟΓΩ ΑΧΘΕΝΤΕΣ συνωνυμεῖ τῷ Πεισθέντες. Μαρτυρεῖ τῇ διορθώσει καὶ Δημοσθένης (Περὶ Στεφάν. σελ. 228), τοῖς αὐτοῖς ὀνόμασι χρησάμενος· «ἵνα μηδεὶς ἡμῶν τοῖς ἔξωθεν ΛΟΓΟΙΣ ΗΓΜΕΝΟΣ, ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου.» — § 6, 2. ἄριστα μὲν γὰρ οἶμαι ζῆν τοὺς ΜΑΛΙΣΤΑ ἐπιμελομένους.] ΗΔ (συνάδουσα τῷ B. maxime), ἀντὶ τοῦ ΑΡΙΣΤΑ. ὅπερ ἀπήρεσκε καὶ τῷ Σ. διπλούμενον

τες γνώμης περὶ ἐμοῦ διατελοῦσιν· οὐ διὰ τὸ φιλεῖν ἐμὲ (καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους), ἀλλὰ δι' ὅπερ καὶ αὐτοὶ ἂν οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνεσθαι.

§ 8. Εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον ἔσται τὰ τοῦ γήρως ἀποτελεῖσθαι, καὶ ὁρᾶν τε καὶ ἀκούειν ἧττον, καὶ διανοεῖσθαι χεῖρον, καὶ δυσμαθέστερον καὶ ἐπιλησμονέστερον ἀποβαίνειν, καὶ ὧν πρότερον βελτίων ἦν, τούτων χείρω γίγνεσθαι. Ἀλλὰ μὴν ταῦτά γε μὴ αἰσθανομένῳ μὲν ἀβίωτος ἂν εἴη ὁ βίος, αἰσθανόμενον δὲ πῶς οὐκ ἀνάγκη χειρόν τε καὶ ἀηδέστερον ζῆν;

§ 9. Ἀλλὰ μὴν εἴ γε ἀδίκως ἀποθανοῦμαι, τοῖς μὲν ἀδίκως ἐμὲ ἀποκτείνασιν αἰσχρὸν ἂν εἴη τοῦτο. Εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι, πῶς οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως ὁτιοῦν ποιεῖν;[2] ἐμοὶ δὲ τί αἰσχρόν, τὸ ἑτέρους μὴ δύνασθαι περὶ ἐμοῦ τὰ δίκαια μήτε γνῶναι μήτε ποιῆσαι;

§ 10. Ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων ἀνθρώπων ἐν τοῖς ἐπιγιγνομένοις οὐχ ὁμοίαν καταλειπομένην τῶν τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων. Οἶδα δὲ ὅτι καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων, καὶ ἐὰν νῦν ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν. Οἶδα γὰρ ἀεὶ μαρτυρήσεσθαί μοι, ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα πώποτε ἀνθρώπων οὐδὲ χείρω ἐποίησα, βελτίους δὲ ποιεῖν ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας. Τοιαῦτα μὲν πρὸς Ἑρμογένην τε διελέχθη καὶ πρὸς τοὺς ἄλλους.

§ 11. Τῶν δὲ Σωκράτην γιγνωσκόντων, οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. Ἐμοὶ μὲν δή, τοιοῦτος ὢν, οἷον ἐγὼ διήγημαι (εὐσεβὴς μὲν οὕτως, ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν, δίκαιος δὲ, ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ, ἐγκρατὴς δὲ, ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος, φρόνιμος δὲ, ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλου προστεῖσθαι, ἀλλ' αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν,[2] ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἀμαρτάνοντας ἐξελέγξαι καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλο-

---

§ 9, 2. Εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι ... ὁτιοῦν ποιεῖν;] Ἀφορίζει τοῦ κειμένου ὅλην ταύτην τὴν περίοδον ὁ Ξ. ὡς περιττὴν, ἥκιστα συναινούντων τῶν λοιπῶν. — § 11, 2. αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν] πρὸς τὸ γινώσκειν καὶ διακρίνειν τὰ βελτίω ἀπὸ

κἀγαθίαν), ἐδόκει τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός τε[3] ἀνὴρ καὶ εὐδαιμονέστατος. Εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ [τῶν] ἄλλων ἦθος[4] πρὸς ταῦτα, οὕτω κρινέτω.

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ

ΠΡΟΣ ΤΟΥΣ ΔΙΚΑΣΤΑΣ.

§ 1. Σωκράτους δὲ ἄξιόν μοι δοκεῖ εἶναι μεμνῆσθαι καὶ ὡς, ἐπειδὴ ἐκλήθη εἰς τὴν δίκην, ἐβουλεύσατο περί τε τῆς ἀπολογίας καὶ τῆς τελευτῆς τοῦ βίου. Γεγράφασι μὲν περὶ τούτου καὶ ἄλλοι,[2] καὶ πάντες ἔτυχον τῆς μεγαληγορίας[3] αὐτοῦ· ᾧ καὶ δῆλον, ὅτι τῷ ὄντι οὕτως ἐρρήθη[4] ὑπὸ Σωκράτους. Ἀλλ' ὅτι ἤδη ἑαυτῷ ἡγεῖτο αἱρετώτερον εἶναι τοῦ βίου τὸν θάνατον, τοῦτο οὐ διεσαφήνισαν·[5] ὥστε ἀφρονεστέρα[6] αὐτοῦ φαίνεται εἶναι ἡ μεγαληγορία.

§ 2. Ἑρμογένης μέντοι ὁ Ἱππονίκου ἑταῖρός τε ἦν αὐτῷ, καὶ ἐξήγγειλε περὶ αὐτοῦ τοιαῦτα, ὥστε πρέπουσαν φαίνεσθαι τὴν μεγαληγορίαν αὐτοῦ τῇ διανοίᾳ. Ἐκεῖνος γὰρ ἔφη, ὁρῶν αὐτὸν περὶ πάντων μᾶλλον διαλεγόμενον ἢ περὶ τῆς δίκης εἰπεῖν.[2]

§ 3. Οὐκ ἐχρῆν μέντοι σκοπεῖν, ὦ Σώκρατες, καὶ ὅ,τι ἀπολογήσῃ; Τὸν δὲ τὸ πρῶτον ἀποκρίνασθαι,[2] Οὐ δοκῶ σοι[3] ἀπολογεῖσθαι μελετῶν διαβεβιωκέναι; Ἔπειτα δ' αὐτὸν ἔρεσθαι, Πῶς; Ὅτι οὐδὲν ἄδικον διαγεγένημαι ποιῶν· ἥνπερ νομίζω μελέτην εἶναι καλλίστην ἀπολογίας.

§ 4. Ἐπεί δὲ[2] αὐτὸν πάλιν λέγειν, Οὐχ ὁρᾷς τὰ Ἀθηναίων

τῶν χειρόνων. — 3. ἄριστός τε.] Ἐξ ΕΔ, ΛΤ, ἄριστός γε. — 4. τὸ [ΤΩΝ] Α᾽ΛΛΩΝ ἦθος] Ἐκ ΔΓ ἀντὶ τοῦ, ΤΟ Α᾽ΛΛΟΥ. Πληθυντικῶς δὲ ἡρμήνευτε καὶ ὁ Β. ὑποδηλώσας καὶ ὃ προσέθηκα ἄρθρον. Ἔοικε δὲ καὶ ἀντὶ τοῦ ἐχομένου, «Πρὸς Ταῦτα», ἀμείνονι γραφῇ ἐντυχεῖν, τῇ Πρὸς τοῦτον, τὸν Σωκράτην δηλονότι· φράζει γὰρ: Quod si cui nostra hæc non satis probentur, Socratis ad cæteros homines comparatione rem ipsam dijudicet.

§ 1, 2. Καὶ ἄλλοι) Ὡς ὁ Πλάτων. Φασὶ δὲ ὅτι καὶ Λυσίας, καὶ Δημήτριος ὁ Φαληρεύς· καὶ ἄλλοι, ἀλλ' οὐχ εὑρίσκονται. — 3. Ἔτυχον τῆς μεγαλην.) Ὅ ἐστι· τοῦτον τὸν τρόπον εἴρηται αὐτοῖς χωρίς τινος δόλου, ὡς παρ' ἐκείνῳ ἐρρέθη· ἐκεῖνος γὰρ σοφώτατος ὢν, καὶ θειότατα βιώτας, καὶ πρὸς τοὺς δικαστὰς ἀξίως ἑαυτοῦ ἀπελογήσατο. — 4. Οὕτως ἐρρήθη) Οὕτως ἐλέχθη· γίνεται δὲ παρὰ τοῦ ῥέω ἀχρήστου σημαίνοντος τὸ Λέγω· ἔστι δὲ ἐν χρήσει μόνος ὁ ἀόριστος οὗτος Ἐρρήθη. — 5. Οὐ διεσαφήνισαν.) Οὐκ ἐδήλωσαν οὕτω σαφῶς καὶ καθαρῶς μετ' εὐκρινείας. — 6. Ὥστε ἀφρονεστέρα καὶ τλ.) Ὥστε τὸ ἐπιτυχεῖν καὶ ἀγορεῦσαι ἀξίως αὐτοῦ τοῦ Σωκράτους οὐκ ἐγένετο κατὰ τὸ φρόνημα τούτου τοῦ ἀνδρὸς, καὶ τὴν διάνοιαν.

§ 2, 2. Εἰπεῖν.) Ἐξαρτᾶται ἀπὸ τοῦ Ε᾽φη· οἷον· ἔφη γὰρ ὅτι ὁρῶν αὐτὸν . . . εἰπεῖν.

§ 3, 2 Τὸν δὲ τὸ πρῶτον ἀποκρ.) Ἀπὸ τοῦ Ἔφη, καὶ τοῦτό γε καὶ τὰ ἑξῆς ἀπαρέμφατα ἐξαρτῶνται. — 3. Οὐ δοκῶ σοι.) Ἤγουν· οὐ δοκῶ σοι ὅτι οὕτω βεβίωκα, ὡς μελετῶν ἀπολογεῖσθαι; ὁ νοῦς. Οὐ δοκεῖ σοι ὅτι ὁ βίος μου ἅπας ἐστὶν ἱκανὴ ἀπολογίας μελέτη;

§ 4, 2. Ἐπεί δέ.) Ἐννοεῖται τὸ Ἔφη.

δικαστήρια, ὡς πολλάκις μὲν οὐδὲν ἀδικοῦντας λόγῳ παραχθέντες ἀπέκτειναν, πολλάκις δὲ ἀδικοῦντας ἢ ἐκ τοῦ λόγου[3] οἰκτίσαντες ἢ ἐπιχαρίτως εἰπόντας ἀπέλυσαν; Ἀλλὰ ναὶ μὰ Δία, φάναι αὐτόν, καὶ δὶς ἤδη ἐπιχειρήσαντός μου σκοπεῖν περὶ τῆς ἀπολογίας, ἐναντιοῦταί μοι τὸ δαιμόνιον.[4]

§ 5. Ὡς δὲ αὐτὸν εἰπεῖν, Θαυμαστὰ λέγεις, τὸν δ' αὖ ἀποκρίνασθαι, Η Θαυμαστὸν νομίζεις, εἰ καὶ τῷ θεῷ δοκεῖ ἐμὲ βέλτιον εἶναι ἢ-δη τελευτᾶν; Οὐκ οἶσθα, ὅτι μέχρι μὲν τοῦδε[2] οὐδενὶ ἀνθρώπῳ ὑφείμην ἂν βέλτιον ἐμοῦ βεβιωκέναι; Ὅπερ γὰρ ἥδιστόν ἐστιν, ἥδειν[3] ὁσίως μοι καὶ δικαίως ἅπαντα τὸν βίον βεβιωμένον· ὥστε ἰσχυρῶς ἀγάμενος ἐμαυτὸν, ταὐτὰ εὕρισκον καὶ τοὺς ἐμοὶ συγγιγνομένους γιγνώσκοντας περὶ ἐμοῦ.

§ 6. Νῦν δὲ εἰ ἔτι προβήσεται ἡ ἡλικία, οἶδ' ὅτι ἀνάγκη ἔσται τὰ τοῦ γήρως ἀποτελεῖσθαι, καὶ ὁρᾶν τε χεῖρον, καὶ ἀκούειν ἧσσον, καὶ δυσμαθέστερον, εἶναι, καὶ ὧν ἔμαθον ἐπιλησμονέστερον. Ἢν δὲ αἰσθάνωμαι χείρων γιγνόμενος καὶ καταμέμφωμαι ἐμαυτὸν, πῶς ἄν, εἰπεῖν, ἐγὼ ἔτι ἂν ἡδέως βιοτεύοιμι;

§ 7. Ἴσως δέ τοι, φάναι αὐτὸν, καὶ ὁ θεὸς δι' εὐμένειαν προξενεῖ μοι οὐ μόνον τὸ ἐν καιρῷ τῆς ἡλικίας καταλῦσαι τὸν βίον, ἀλλὰ καὶ τὸ ᾗ ῥᾷστα. Ἢν γὰρ νῦν κατακριθῇ μου,[2] δῆλον ὅτι ἐξέσται μοι τῇ τελευτῇ χρῆσθαι, ἡ ῥᾴστη μὲν ὑπὸ τῶν τούτου ἐπιμελητῶν[3] κέκριται, ἀπραγμονεστάτη δὲ τοῖς φίλοις, πλεῖστον δὲ πόθον ἐμποιοῦσα τοῦ τελευτῶντος.[4] Ὅταν γὰρ ἄσχημον μὲν μηδὲν μηδὲ δυσχερὲς ἐν ταῖς γνώμαις τῶν παρόντων καταλείπηται, ὑγιὲς δὲ τὸ σῶμα ἔχων καὶ τὴν ψυχὴν δυναμένην φιλοφρονεῖσθαι ἀπομαραίνηται, πῶς οὐκ ἀνάγκη τοῦτον ποθεινὸν[5] εἶναι;

§ 8. Ὀρθῶς δὲ οἱ θεοί[2] τότε μου ἠναντιοῦντο, φάναι αὐτὸν,[3] τῇ

— 3. Ἢ ἐκ τοῦ λογ.) Δύο λόγους ἐκτίθησι σωτηρίας· ἢ τῷ κάμπτεσθαι οἰκτω· ἢ τὸ ἥδεσθαι τοῖς χαριέντως λεγομένοις. — 4. Τὸ δαιμόνιον) Ἡ θεία δύναμις, ἡ εἰς ἀνθρώπους ἐμφαίνουσα τὰς θείας βουλάς· τοῦτο ἐστὶ τὸ Σωκράτους Δαιμόνιον, ὡς παρακατιοῦσι γίνεται δῆλον.

§ 5, 2. Μέχρι μὲν τοῦ δε) Τοῦ χρόνου δηλ. ὃ δὴ καὶ προστίθησιν ἐν ἀπομνημον. Δ', ἡ, 6. λέγων, Μέχρι μὲν τοῦ δε τοῦ χρόνου. — 3. Ἥδειν) Τὰ γνωστικὰ πρὸς μετοχὴν εἰδικήν. Ὅθεν ἔδειν τὸν βίον βεβιωμένον· ἤτοι ὅτι βεβίωταί μοι ἅπας ὁ βίος ὁσίως καὶ δικαίως· εἰς παθητικὸν δ' ἐξηνέχθη σχῆμα καὶ σημασίαν.

§ 7, 2. Ἢν γὰρ νῦν κατακριθῇ μοι.) Ἐννοεῖται θάνατος· ἡ Δίκη, ἔστι γὰρ παρὰ τῷ αὐτῷ Ξενοφ. ἐν μὲν Ἀπομν. Δ', ἡ. 1. Κατεγνώσθη θάνατος· ἐν τῷ παρόντι δὲ 47. Ἡ δίκη κατεψηφίσθη. — 3. Τούτου Ἐπιμελ.) Ἐλλείπει Πράγματος, ἢ χρήματος· τοῦ θανάτου δηλ. — 4. Ἐμποιοῦσα τοῦ τελευτῶντ.) Οὐ γάρ ἐστιν οὕτως ἀηδής, ἀλλ' οἷα πόθον τινὶ ἐμποιεῖν τῷ τελευτῶντι· διὰ τὸ ἐν αἰσθήσεσι, καὶ ὑγιεῖ τῷ σώματι ἐπιγίγνεσθαι. — 5. Τοῦτον ποθεῖν.) Τὸν θάνατον δηλ. ἢ τὸν τρόπον τῆς τελευτῆς.

§ 8, 2. Ὀρθὸς δὲ οἱ θ.) Συμπέρασμα δὲ τοῦτο τοῦ, ἐναντιοῦτό μοι τὸ δαιμόνιον. Ὃ γὰρ κατ' ἀρχὰς δαιμόνιον εἶπε, τοῦτο θεοὺς νῦν καλεῖ. — 3. Φάναι αὐτ.) Ἐξαρτᾶται ἀπὸ τοῦ,

τοῦ λόγου ἐπισκέψει, ὅτε ἐδόκει ἡμῖν ζητητέα εἶναι ἐκ παντὸς τρόπου τὰ ἀποφευκτικά. Εἰ γὰρ τοῦτο διεπραξάμην, δῆλον ὅτι ἡτοιμασάμην ἄν, ἀντὶ τοῦ ἤδη λῆξαι τοῦ βίου, ἢ νόσοις ἀλγυνόμενος τελευτῆσαι ἢ γήρᾳ, εἰς ὃ πάντα τὰ χαλεπὰ συρρεῖ καὶ μάλα ἔρημα[4] τῶν εὐφροσυνῶν.

§ 9. Μὰ Δί', εἰπεῖν αὐτόν, ὦ Ἑρμόγενες, ἐγὼ ταῦτα οὐδὲ προθυμήσομαι· ἀλλ' ὅσων νομίζω τετυχηκέναι καλῶν[2] καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων, καὶ ἣν ἐγὼ δόξαν ἔχω περὶ ἐμαυτοῦ, ταύτην ἀναφαίνων εἰ βαρύνω τοὺς δικαστάς,[3] αἱρήσομαι τελευτᾶν μᾶλλον, ἢ ἀνελευθέρως τὸ ζῆν ἔτι προσαιτῶν, κερδᾶναι τὸν πολὺ χείρω βίον ἀντὶ θανάτου.

§ 10. Οὕτως δὲ γνόντα αὐτὸν ἔφη,[2] ἐπειδὴ κατηγόρησαν αὐτοῦ οἱ ἀντίδικοι, ὡς οὓς μὲν ἡ πόλις νομίζει θεοὺς, οὐ νομίζοι, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέροι, καὶ τοὺς νέους διαφθείροι, παρελθόντα εἰπεῖν.

§ 11. Ἀλλ' ἐγώ, ὦ ἄνδρες, τοῦτο μὲν πρῶτον θαυμάζω Μελίτου,[2] ὅτῳ[3] ποτὲ γνοὺς λέγει, ὡς ἐγὼ οὓς ἡ πόλις νομίζει θεοὺς οὐ νομίζω· ἐπεὶ θύοντά γέ με ἐν ταῖς κοιναῖς ἑορταῖς, καὶ ἐπὶ τῶν δημοσίων βωμῶν, καὶ οἱ ἄλλοι οἱ παρατυγχάνοτες ἑώρων καὶ αὐτὸς Μέλιτος, εἰ ἠβούλετο.[4]

§ 12. Καινά γε μὴν δαιμόνια πῶς ἂν ἐγὼ εἰσφέροιμι, λέγων, ὅτι θεοῦ μοι φωνὴ φαίνεται σημαίνουσα ὅ,τι χρὴ ποιεῖν; Καὶ γὰρ οἱ φθόγγοις οἰωνῶν, καὶ οἱ φήμαις ἀνθρώπων χρώμενοι, φωναῖς δήπου τεκμαίρονται. Βροντὰς δὲ ἀμφιλέξει τις ἢ μὴ φωνεῖν ἢ μὴ μέγιστον οἰωνιστήριον εἶναι; Ἡ δὲ Πυθοῖ[2] ἐν τῷ τρίποδι ἱέρεια οὐ καὶ αὐτὴ φωνῇ τὰ παρὰ τοῦ θεοῦ[3] διαγγέλλει;

Ἔφη ὁ Ἑρμογένης. — 4. Καὶ μάλιστα ἔρημ.) Ἐννοεῖται, Συρρεῖ· ἐν γὰρ τῷ γήρᾳ οὐδεμία εὐφροσύνη.

§ 9, 2. Τετυχηκέναι καλῶν) Πρότερον διορθ. Καλῶς· νῦν δὲ Καλῶν· κακῶς μὲν ἴσως οὐ ποιοῦντες· οὐκ ἔστι μέν τοι οὕτως ἀναγκαῖον· ἔρρωται γὰρ καὶ μᾶλλον οὕτως ἔχον. Οὐ γὰρ, φησί, τινῶν τετύχηκε, καλῶς τετύχηκε τούτων. — 3. Εἰ βαρύνω τοὺς δικ.) Ἀλλ' εἰ βαρύνω τοὺς δικαστὰς ἀναφαίνων, ὅσων μὲν νομίζ. καὶ τλ. ἣν δὲ ἐγὼ καὶ τλ. οὐ ποιήσω τοῦτο· ἀλλ' αἱρήσομαι. Τὸ ὅλον. Ἀλλ' εἰ τοῦτο βαρὺ τοῖς δικασταῖς, τὸ ἀποφαίνειν με, ὅσων ἐγὼ νομίζω, ὅτι καλῶς τετύχηκα παρὰ θεῶν, καὶ παρὰ ἀνθρώπων, καὶ ἣν ἐγὼ ἔχω δόξαν περὶ ἐμαυτοῦ, τούτου ἕνεκα αἱρήσομαι τελευτᾶν μᾶλλον, ἢ κερδάνει τὸν πολὺ χείρω βίον ἀντὶ θανάτου, ἀνελευθέρως προσαπαιτῶν ἔτι ζῆν. Τὸ δὲ προσαπαιτῶν κατ' ὀνομαστικὴν κεῖται, ὡς πρὸς τὸ αἱρήσομαι φερόμενον.

§ 10 2, Ἔφη) ὁ Ἑρμογένης· ὁ νοῦς· ἔφη δὲ ὁ Ἑρμογένης ὅτι τοιαῦτα φρονῶν εἶπεν· ὅτι, ἐπειδὴ καὶ τλ. παρελθὼν εἶπεν.

§ 11, 2. Μελίτου.) Οὗτος γὰρ ἦν ὁ κατηγορήσας Σωκράτους. Τοῦτο τὸ ἔργον τοῦ Μελίτου θαυμάζω ἔστι δὲ τὸ ἑξῆς. — 3. Ὅτῳ) Ἀντὶ τοῦ Ὅτινι· λέγεται δὲ κατ' ἔλλειψιν τῆς Ἐν. — 4. Εἰ ἠβούλετ.) Ἀττικῶς ἀντὶ Ἐβούλετο· ἐννοεῖται δὲ τὸ Ὁρᾷν.

§ 12, 2. Ἡ δὲ Πυθοῖ.) Φωκὶς χώρα ἐστὶ τῆς Ἑλλάδος, περὶ ἣν πόλις ἡ καλουμένη Δελφοί· ἔνθα τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ ἐκαλεῖτο Πυθών· ἐν ᾧ χαλκοῦς

§ 13. Ἀλλὰ μέντοι καὶ τὸ προειδέναι γε τὸν Θεὸν τὸ μέλλον, καὶ τὸ προσημαίνειν ᾧ βούλεται, καὶ τοῦτο, ὥσπερ ἐγὼ φημι, οὕτω πάντες καὶ λέγουσι καὶ νομίζουσιν. Ἀλλ' οἱ μὲν οἰωνούς τε καὶ φήμας καὶ συμβόλους τε καὶ μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας[2] εἶναι· ἐγὼ δὲ τοῦτο δαιμόνιον καλῶ· καὶ οἶμαι οὕτως ὀνομάζων, καὶ ἀληθέστερα καὶ ὁσιώτερα λέγειν τῶν τοῖς ὄρνισιν ἀνατιθέντων τὴν τῶν Θεῶν δύναμιν. Ὡς γε μὴν οὐ ψεύδομαι κατὰ τοῦ Θεοῦ, καὶ τοῦτ' ἔχω τεκμήριον· καὶ γὰρ τῶν φίλων πολλοῖς[3] δὴ ἐξαγγείλας τὰ τοῦ Θεοῦ συμβουλεύματα, οὐδεπώποτε ψευσάμενος ἐφάνην.

§ 14. Ἐπεὶ δὲ ταῦτα ἀκούοντες οἱ δικασταὶ ἐθορύβουν, οἱ μὲν ἀπιστοῦντες τοῖς λεγομένοις, οἱ δὲ καὶ φθονοῦντες, εἰ καὶ παρὰ Θεῶν μείζόνων ἢ αὐτοὶ τυγχάνοι, πάλιν εἰπεῖν τὸν Σωκράτην· Ἄγε δή,[2] ἀκούσατε καὶ ἄλλα, ἵνα ἔτι μᾶλλον οἱ βουλόμενοι ὑμῶν ἀπιστῶσι τῷ ἐμὲ τετιμῆσθαι ὑπὸ δαιμόνων. Χαιρεφῶντος γάρ ποτε ἐπερωτῶντος ἐν Δελφοῖς περὶ ἐμοῦ, πολλῶν παρόντων, ἀνείλεν ὁ Ἀπόλλων,[3] μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε ἐλευθεριώτερον, μήτε δικαιότερον, μήτε σωφρονέστερον.[4]

§ 15. Ὡς δ' αὖ ταῦτ' ἀκούσαντες οἱ δικασταὶ ἔτι μᾶλλον ἐθορύβουν εἰκότως, αὖθις εἰπεῖν τὸν Σωκράτην· Ἀλλὰ μείζω μέν, ὦ ἄνδρες, εἶπεν ὁ Θεὸς ἐν χρησμοῖς περὶ Λυκούργου τοῦ Λακεδαιμονίοις νομοθετήσαντος, ἢ περὶ ἐμοῦ. Λέγεται γὰρ εἰς τὸν ναὸν εἰσιόντα προσειπεῖν αὐτόν· Φροντίζω,[2] πότερα Θεόν σε

τρίπους ὕδρυτο, καὶ ὕπερθεν φιάλη, ἣ τὰς μαντικὰς εἶχε ψήφους, αἵτινες, ἐρομένων τῶν μαντευομένων ἤλλοντο· καὶ ἡ Πυθία ἱέρεια τοῦ ἱεροῦ τούτου, ἐμφορουμένη ἤτοι ἐνθουσιῶσα ἔλεγεν, ἃ ἐξέφερεν ὁ Ἀπόλλων. Συίδ. ἐν τῇ λέξει Πυθώ· ὅθεν ἡ Πυθοῖ ἱέρεια, ἡ ἐν Πυθοῖ ὀηλ. ἱέρεια, ἡ καλουμένη Πυθία. — 3. Τοῦ Θεοῦ.) Οὕτω συνεχῶς κατ' ἐξοχὴν Θεὸς λέγεται ὁ Ἀπόλλων.

§ 13, 2. Τοὺς Προσημαίνοντας εἶν.) Τοῦτο δὴ τὸ χωρίον ἄλλοι μὲν διορθοῦντες προστιθέασι, Τὰ Μέλλοντα, λέγοντες. Τοὺς Προσημένοντας τὰ μέλλοντα εἶναι· ἄλλοι δὲ λέγουσι, Τοὺς προσημαίνοντας ἃ δεῖ εἶναι. Ἄλλοι δέ, Τοὺς προσημαίνοντάς τι εἶναι. Ἀλλ' οὐδέν τι δοκεῖ τοιοῦτον· ἔστι γὰρ καὶ παρὰ Πλάτωνι ἐν Πρωταγόρᾳ »Σοφιστὴν δή τοι ὀνομάζουσι τὸν ἄνδρα εἶναι· οὕτως οὖν καί, Τοὺς προσημαίνοντας ὀνομάζουσιν εἶναι οἰωνούς· καὶ τλ. — 3. Τῶν φίλων πολλοῖς) Ξενοφ. Ἀπομν. Α', ά, 4. φησί. «Σωκράτης πολλοῖς τῶν »ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν, τὰ »δὲ μὴ ποιεῖν· ὡς τοῦ δαιμίου προσημαίνοντος· καὶ τοῖς μὲν πειθομένοις »αὐτῷ συνέφερε· τοῖς δὲ μὴ πειθομένοις μετέμελε.»

§ 14, 2. Ἄγε δή.) Ὁ Δὴ προτρεπτικός. — 3. Ὁ Ἀπόλλων.) Πλάτ. Ἀπολογ. Σωκρ. ἑ. φησί. Τοιοῦτόν τινα τὸν χρησμὸν εἶναι,

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης.
Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

— 4. Σωφρονέστερον.) Τινὲς διορθοῦσιν ἐκ τοῦ παρὰ Πλάτωνι τοῦτο μεταβάλλοντες εἰς τὸ σοφώτερον· ἀλλ' οὐκ ἀνάγκη ταῖς αὐταῖς χρῆσθαι λέξεσι τῷ Πλάτωνι· καὶ γὰρ σωφροσύνη σοφία τίς ἐστι, σώας φυλάττουσα τὰ φρένας. Τὸ μέγιστον!

§ 15, 2. Φροντίζω.) Ἡρόδ. Α', ξέ. φησί· τοιοῦτόν τινα χρησμὸν δοθῆναι περὶ Λυκούργου,

Ἥκεις, ὦ Λυκόεργε, ἐμὸν ποτὶ πίονα νηόν,
Ζηνὶ φίλος, καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουτι.

εἴπω, ἢ ἄνθρωπον. Ἐμὲ δὲ θεῷ μὲν οὐκ εἴκασεν, ἀνθρώπων δὲ πολλῷ προέκρινεν ὑπερφέρειν. Ὅμως δὲ ὑμεῖς μηδὲ ταῦτα εἰκῇ πιστεύσητε τῷ θεῷ, ἀλλὰ καθ' ἓν ἕκαστον ἐπισκοπεῖτε, ὧν εἶπεν ὁ θεός.

§ 16. Τίνα μὲν γὰρ ἐπίστασθε ἧσσον ἐμοῦ δουλεύοντα παῖς τοῦ σώματος ἐπιθυμίαις; Τίνα δὲ ἀνθρώπων ἐλευθεριώτερον; ὃς παρ' οὐδενὸς οὔτε δῶρα οὔτε μισθὸν[1] δέχομαι. Δικαιότερον δὲ τίνα ἂν εἰκότως νομίσητε τοῦ πρὸς τὰ παρόντα συνηρμοσμένου, ἢ τῶν ἀλλοτρίων μηδενὸς προσδεῖσθαι; Σοφὸν δὲ πῶς οὐκ ἄν τις εἰκότως ἄνδρα φήσειεν εἶναι, ὃς ἐξ ὅτου περ ξυνιέναι τὰ λεγόμενα ἠρξάμην, οὐ πώποτε διέλιπον καὶ ζητῶν καὶ μανθάνων ὅ,τι ἐδυνάμην ἀγαθόν;

§ 17. Ὡς δὲ οὐ μάτην ἐπόνουν, οὐ δοκεῖ ὑμῖν καὶ τάδε τεκμήρια εἶναι, τὸ πολλοὺς μὲν πολίτας τῶν ἀρετῆς ἐφιεμένων, πολλοὺς δὲ ξένων, ἐκ πάντων προαιρεῖσθαι[2] ἐμοὶ ξυνεῖναι; Ἐκείνου δέ τί φήσομεν αἴτιον εἶναι, τοῦ πάντας εἰδέναι, ὅτι ἐγὼ ἥκιστα ἔχοιμι χρήματα ἀντιδιδόναι, ὅμως πολλοὺς ἐπιθυμεῖν ἐμοί τι δωρεῖσθαι; Τὸ δ' ἐμὲ[3] μὲν μηδ' ὑφ' ἑνὸς ἀπαιτεῖσθαι εὐεργεσίαν,[4] ἐμοὶ δὲ πολλοὺς ὁμολογεῖν χάριτας ὀφείλειν;

§ 18. Τὸ δ' ἐν τῇ πολιορκίᾳ[2] τοὺς μὲν ἄλλους οἰκτείρειν ἑαυτούς, ἐμὲ δὲ μηδὲν ἀπορώτερον διάγειν, ἢ ὅτε τὰ μάλιστα ἡ πόλις εὐδαιμονεῖ; Τὸ δὲ τοὺς ἄλλους μὲν τὰς εὐπαθείας ἐκ τῆς ἀγορᾶς πολυτελεῖς πορίζεσθαι, ἐμὲ δὲ ἐκ τῆς ψυχῆς ἄνευ δαπάνης ἡδίους ἐκείνων μηχανᾶσθαι; Εἴ γε μήν, ὅσα εἴρηκα περὶ ἐμαυτοῦ, μηδεὶς δύναιτ' ἂν ἐξελέγξαι με ὡς ψεύδομαι, πῶς οὐκ ἂν ἤδη δικαίως καὶ ὑπὸ θεῶν καὶ ὑπ' ἀνθρώπων ἐπαινοίμην;

§ 19. Ἀλλ' ὅμως σύ με φῄς, ὦ Μέλιτε, τοιαῦτα ἐπιτηδεύοντα τοὺς νέους διαφθείρειν; Καίτοι ἐπιστάμεθα μὲν δήπου, τίνες εἰσὶ νέων διαφθοραί· σὺ δ' εἰπέ, εἴ τινα οἶσθα ὑπ' ἐμοῦ γεγενημένον ἢ ἐξ εὐσεβοῦς ἀνόσιον, ἢ ἐκ σώφρονος ὑβριστήν, ἢ ἐξ εὐ-

---

Δίξω, ἢ σὲ θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον.

Ἀλλ' ἔτι μᾶλλον Θεὸν ἔλπομαι, ὦ Λυκόεργε.

§ 16, 2. Οὔτε μισθόν.) Προσέθηκε τὸ μισθὸν πρὸς ἀποφυγὴν τοῦ παρὰ τοῦ ἐχθροῦ λεγομένου· ὡς χρήματα ἐπράττετο παιδεύων. Πλάτ. Ἀπολ. δ'. 4.

§ 17, 2. Ἐκ πάντων προαιρ.) Ὑπὲρ πάντας προετίμων τὴν ἐμὴν συνουσίαν. — 3. Τὸ δ' ἐμὲ καὶ τλ.) Ἐνταῦθα ἐννοεῖται πᾶσα ἡ περίοδος. Οὐ δοκεῖ ὑμῖν τεκμήριον εἶναι, ὡς οὐ μάτην ἐπόνουν. Καὶ ἐν τοῖς ἑξῆς ὁμοίως. — 4. Ἀπαιτεῖσθαι εὐεργ.) Ἴσως ὡδεῖς ἀπαιτεῖ εὐγνωμοσύνην παρ' ἐμοῦ ὡς εὐεργετήσας με.

§ 18, 2. Τὸ δὲ ἐν τῇ πολιορκ.) Λύσανδρος νικήσας ναυμαχίᾳ ἐν Αἰγὸς ποταμοῖς Ἀθηναίους, καὶ ἐρήμους ποιήσας νεῶν, ἐπολιόρκει Ἀθήνας κατὰ κράτος, μέχρις οὗ εἶλεν· οἱ γὰρ Ἀθηναῖοι διὰ τὸ ἐλλείπειν τὰ ἐπιτήδεια ἐσπείσαντο Λακεδαιμονίοις, ἐφ' ᾧ τὰ μακρὰ τείχη καθελεῖν, καὶ τὸν Πειραιᾶ· καὶ παραδιδόναι τὰς ναῦς, πλὴν δώδεκα· καὶ ἡγεμόσι χρῆσθαι Λακεδαιμονίοις. Ταύτης τῆς πολιορκίας ἐνταῦθα μέμνηται Σωκράτης· περὶ ἧς ὅρα Ξενοφ. Ἑλλην. Β', β'.

διαίτου πολυδάπανον, ἢ ἐκ μετριοπότου οἰνόφλυγα, ἢ ἐκ φιλοπόνου μαλακὸν, ἢ ἄλλης πονηρᾶς ἡδονῆς ἥσσημένον.

§ 20. Ἀλλὰ, ναὶ μὰ Δία, ἔφη ὁ Μέλιτος, ἐκείνους οἶδα, οὓς σὺ πέπεικας σοὶ πείθεσθαι μᾶλλον, ἢ τοῖς γεινομένοις. Ὁμολογῶ, φάναι τὸν Σωκράτην, περί γε παιδείας· τοῦτο γὰρ ἴσασιν ἐμοὶ μεμεληκός. Περὶ δὲ ὑγιείας τοῖς ἰατροῖς μᾶλλον οἱ ἄνθρωποι πείθονται, ἢ τοῖς γονεῦσι· καὶ ἐν ταῖς ἐκκλησίαις γε πάντως οἱ Ἀθηναῖοι πάντες δήπου τοῖς φρονιμώτατα λέγουσι πείθονται μᾶλλον, ἢ τοῖς προσήκουσιν. Οὐ γὰρ δὴ καὶ στρατηγοὺς αἱρεῖσθε καὶ πρὸ πατέρων καὶ ἀδελφῶν, καὶ ναὶ μὰ Δία γε ὑμεῖς πρὸ ὑμῶν αὐτῶν, οὓς ἂν ἡγῆσθε περὶ τῶν πολεμικῶν φρονιμωτάτους εἶναι; Οὕτω γάρ, φάναι τὸν Μέλιτον, ὦ Σώκρατες, καὶ συμφέρει καὶ νομίζεται.

§ 21. Οὔκουν, εἰπεῖν τὸν Σωκράτην, θαυμαστὸν καὶ τοῦτό σοι δοκεῖ εἶναι, τὸ ἐν μὲν ταῖς ἄλλαις πράξεσι μὴ μόνον ἰσομοιρίας τυγχάνειν τοὺς κρατίστους, ἀλλὰ καὶ προτετιμῆσθαι· ἐμὲ δὲ, ὅτι περὶ τοῦ μεγίστου ἀγαθοῦ ἀνθρώποις, περὶ παιδείας, βέλτιστος εἶναι ὑπό τίνων προκρίνομαι, τούτου ἕνεκα θανάτου ὑπὸ σοῦ διώκεσθαι;[2]

§ 22. Ἐρρήθη μέν[2] δηλον ὅτι τούτων πλείονα ὑπό τε αὐτοῦ καὶ τῶν συναγορευόντων φίλων αὐτῷ. Ἀλλ' ἐγὼ οὐ τὰ πάντα εἰπεῖν τὰ ἐκ τῆς δίκης ἐσπούδασα, ἀλλ' ἥρκεσέ μοι δηλῶσαι, ὅτι Σωκράτης τὸ μὲν μήτε περὶ θεοὺς ἀσεβῆσαι μήτε περὶ ἀνθρώπους ἄδικος φανῆναι περὶ παντὸς ἐποιεῖτο·[3] τὸ δὲ μὴ ἀποθανεῖν οὐκ ἄξιστο λιπαρητέον εἶναι, ἀλλὰ καὶ καιρὸν ἤδη ἐνόμιζεν ἑαυτῷ τελευτᾶν.

§ 23. Ὅτι δὲ οὕτως ἐγίγνωσκε, καταδηλότερον ἐγίγνετο, ἐπεὶ καὶ ἡ δίκη καταψηφίσθη.[2] Πρῶτον μὲν γὰρ κελευόμενος ὑποτιμᾶσθαι, οὔτε αὐτὸς ὑπετιμήσατο, οὔτε τοὺς φίλους εἴασεν, ἀλλὰ καὶ ἔλεγεν, ὅτι τὸ ὑποτιμᾶσθαι[3] ὁμολογοῦντος εἴη ἀδικεῖν. Ἔπειτα τῶν ἑταίρων[4] ἐκκλέψαι βουλομένων αὐτὸν, οὐκ ἐφείπε-

---

§ 21. 2. Ὑπὸ σοῦ διώκεσθ.) Διώκομαι θανάτου, σημαίνει τὸ, Κατηγοροῦμαι ὡς ἄξιος θανάτου.

§ 22. 2. Ἐρρήθη μὲν) Δῆλον ὅτι πλείονα τούτων ἐρρέθη ὑπό τε καὶ τλ. ὅρα δὲ περὶ τοῦ Ἐρρήθη. 2. ἐν Σημειώσ. —3. Περὶ παντὸς ἐποιεῖτ.) Ἐτιμᾶ ὑπερβάλλοντως· ὑπὲρ πᾶν ἄλλο ἐτίθετο φράσις δὲ τοῦτο Ἑλληνισμοῦ.

§ 23. 2. Ἡ δίκη κατεψήφ.) Ἐψήφισαν γὰρ οἱ δικασταὶ τὸν θανατον αὐτοῦ· καὶ τοῦτο ἰσχυὸν τεκμήριον· ὅτι οὐκ ἐλιπάρησε περὶ τοῦ ζῆν· ὅρα δὲ καὶ 14. ἐν τῇ Σημειώσ. —3. Ὑποτιμᾶσθαι.) Ὑποτιμᾶσθαι σημαίνει τὸ διδόναι χρήματα ὑπὲρ τοῦ ἀπολυθῆναι· τὸ αὐτὸ δὲ καὶ τὸ τιμᾶσθαι σημαίνει· οὕτως οὖν καὶ ἐν Ἀπολ. Πλάτ. ς'. »Σωκράτης φητί. Πλάτων δὲ ὅδε καὶ Κρίτων . . . »κελεύουσί με τριάκοντα μνῶν τιμήτα»σθαι· οὗτοι δὲ ἐγγυᾶσθαι» — 4 Τῶν ἑταίρων.) Ἦσαν δὲ οὗτοι Κρίτων, Κέβης, Σιμμίας, ὡς φησι Πλάτων ἐν Κρίτωνι δ'. οἵτινες συνεβούλευον αὐτῷ ἀποδρᾶναι· πάντα ἕτοιμα ποιησάμενοι πρὸς τὸ ἐκκλέψαι αὐτόν.

το, ἀλλὰ καὶ ἐπισκῶψαι ἐδόκει, ἐρόμενός εἴ που εἰδεῖέν τι χωρίον ἔξω τῆς Ἀττικῆς, ἔνθα οὐ προσδατὸν θανάτῳ.

§ 24. Ὡς δὲ τέλος εἶχεν ἡ δίκη, εἰπεῖν αὐτόν· Ἀλλ', ὦ ἄνδρες, τοὺς μὲν διδάσκοντας τοὺς μάρτυρας, ὡς χρὴ ἐπιορκοῦντας καταψευδομαρτυρεῖν ἐμοῦ, καὶ τοὺς πειθομένους τούτοις, ἀνάγκη ἐστὶ πολλὴν ἑαυτοῖς συνειδέναι ἀσέβειαν καὶ ἀδικίαν. Ἐμοὶ δὲ τί πρσσήκει νῦν μεῖον φρονεῖν, ἢ πρὶν κατακριθῆναι, μηδὲν ἐλεγχθέντι, ὡς πεποίηκά τι ὧν ἐγράψαντό[2] με; Οὔτε γὰρ ἔγωγε ἀντὶ Διὸς, καὶ Ἥρας καὶ τῶν σὺν τούτοις θεῶν, οὔτε θύων τισὶ καινοῖς δαίμοσιν, οὔτε ὀμνὺς, οὔτε νομίζων ἄλλους θεοὺς ἀναπέφηνα.

§ 25. Τούς γε μὴν νέους πῶς ἂν διαφθείροιμι, καρτερίαν καὶ εὐτέλειαν προσεθίζων; Ἐφ' οἷς γε μὴν ἔργοις κεῖται θάνατος ἢ ζημία, ἱεροσυλία, τοιχωρυχία, ἀνδραποδίσει, πόλεως προδοσία, οὐδ' αὐτοὶ οἱ ἀντίδικοι τούτων πρᾶξαί τι κατ' ἐμοῦ φασιν. Ὥστε θαυμαστὸν ἔμοιγε δοκεῖ εἶναι, ὅπως ποτὲ ἐφάνη ὑμῖν τοῦ θανάτου ἔργον ἄξιον ἐμοὶ[3] εἰργασμένον.

§ 26. Ἀλλ' οὐδὲ μέντοι, ὅτι ἀδίκως ἀποθνήσκω, διὰ τοῦτο μεῖον φρονητέον. Οὐ γὰρ ἐμοὶ, ἀλλὰ τοῖς καταγνοῦσι τοῦτο αἰσχρόν ἐστι. Παραμυθεῖται δ' ἔτι με καὶ Παλαμήδης,[2] ὁ παραπλησίως ἐμοὶ τελευτήσας· ἔτι γὰρ καὶ νῦν πολὺ καλλίους ὕμνους παρέχεται Ὀδυσσέως τοῦ ἀδίκως ἀποκτείναντος αὐτόν. Οἶδ' ὅτι καὶ ἐμοὶ μαρτυρήσεται ὑπό τε τοῦ ἐπιόντος καὶ ὑπὸ τοῦ παρεληλυθότος χρόνου, ὅτι ἠδίκησα μὲν οὐδένα πώποτε οὐδὲ πονηρότερον ἐποίησα,[3] εὐηργέτουν δὲ τοὺς ἐμοὶ διαλεγομένους, προῖκα διδάσκων ὅ, τι ἐδυνάμην ἀγαθόν.

§ 27. Εἰπὼν δὲ ταῦτα, μάλα ὁμολογουμένως δὴ τοῖς εἰρημένοις ἀπῄει καὶ ὄμμασι καὶ σχήματι καὶ βαδίσματι φαιδρός. Ὡς δὲ ἤσθετο τοὺς παρεπομένους δακρύοντας, Τί τοῦτο; εἰπεῖν αὐτὸν, ἢ ἄρτι δακρύετε; οὐ γὰρ πάλαι ἴστε, ὅτι, ἐξ ὅτου περ ἐγενόμην,

---

§ 24, 2. Ἐγράψαντο.) Διορθοῦντές τινες, φασὶν, ἐγράψατο, πρὸς Μέλιτον ἀναφέροντες. Σημειωσαι δὲ ὅτι γραφὴ λέγεται ἐν τοῖς τοιούτοις ἢ τῶν δημοσίων ἀδικημάτων κατηγορία· ὅθεν καὶ Γράφεσθαί τινά τινος, σημαίνει τὸ, Κατά τινος γραφὰς ποιεῖν καὶ εἰς δικαστήριον ἐκτιθέναι. — 3. Ἄξιον ἐμοὶ) Καλῶς ἔχει περιποιητικῶς τὸ Μοί· Καὶ γὰρ ὁ Σωκράτης ἐλογίζετο ἄξιος θανάτου· οὐ μὴν καὶ ὁ θάνατος ἄξιος Σωκράτους, ἀλλὰ Σωκράτει.

§ 26. 2. Παλαμήδης) Παλάμήδης, υἱὸς Ναυπλίου, βασιλεὺς Εὐβοίας, προποιηθέντα Ὀδυσσέα μανίαν, ἵνα μὴ συμπλεύσῃ τοῖς λοιποῖς εἰς Τροίαν, Τηλέμαχον τὸν υἱὸν αὐτοῦ προτιθεὶς παρὰ τὴν ὁδὸν τοῦ ἀρότρου, ἔδειξεν ὑγιαίνοντα· ὁ γὰρ Ὀδυσσεὺς, ἀφεὶς τὸ ἄροτρον, ἐξείλετο τὸν υἱὸν τοῦ κινδύνου ἐν σπαργάνοις ὄντα· ἀλλ' ἀντεπέθετο ἐν Τροίᾳ τὴν ἄμυναν. Χρήματα γὰρ κρύψας ἐν τῇ σκηνῇ Παλαμήδους, ἐποίησε τοὺς Ἕλληνας λιθοβολῆσαι αὐτὸν, ὡς ἐπὶ προδοσίᾳ Ἑλλήνων λαβόντα παρὰ τῶν Τρώων. — 3. Οὐδὲ πονηρότερον ἐποίησα) Ἐννοεῖται Τινά.

κατεψηφισμένος ἦν μου ὑπὸ τῆς φύσεως ὁ θάνατος; Ἀλλὰ μέντοι, εἰ μὲν ἀγαθῶν ἐπιῤῥεόντων προαπόλλυμαι, δῆλον ὅτι ἐμοὶ καὶ τοῖς ἐμοῖς εὖνοις λυπητέον· εἰ δὲ χαλεπῶν προσδοκωμένων καταλύω τὸν βίον, ἐγὼ μὲν οἶμαι, ὡς εὐπραγοῦντος ἐμοῦ, πᾶσιν ὑμῖν εὐθυμητέον εἶναι.[2]

§ 28. Παρών δέ τις Ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ἰσχυρῶς αὐτοῦ, ἄλλως δ' εὐήθης, εἶπεν· Ἀλλὰ τοῦτο ἔγωγε, ὦ Σώκρατες, χαλεπώτατα φέρω, ὅτι ὁρῶ σε ἀδίκως ἀποθνήσκοντα. Τὸν δὲ λέγεται καταψήσαντα αὐτοῦ τὴν κεφαλὴν εἰπεῖν· Σὺ δὲ, ὦ φίλτατε Ἀπολλόδωρε, μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἢ ἀδίκως ἀποθνήσκοντα; καὶ ἅμα ἐπιγελᾶσαι.

§ 29. Λέγεται δὲ καὶ Ἄνυτον παριόντα ἰδὼν εἰπεῖν· Ἀλλ' ὁ μὲν ἀνὴρ ὅδε κυδρὸς, ὡς μέγα τι καὶ καλὸν διαπεπραγμένος, εἰ ἀπέκτονέ με, ὅτι, αὐτὸν[2] τῶν μεγίστων ὑπὸ τῆς πόλεως ὁρῶν ἀξιούμενον, οὐκ ἔφην χρῆναι τὸν υἱὸν περὶ βύρσας παιδεύειν. Ὡς μοχθηρὸς οὗτος, ἔφη, ὃς οὐκ ἔοικεν εἰδέναι,[3] ὅτι, ὁπότερος ἡμῶν καὶ συμφορώτερα καὶ καλλίω εἰς τὸν ἀεὶ χρόνον διαπέπρακται, οὗτός ἐστι καὶ ὁ νικῶν.

§ 30. Ἀλλὰ μέντοι, φάναι αὐτὸν, ἀνέθηκε μὲν καὶ Ὅμηρος ἔστιν οἷς[2] τῶν ἐν καταλύσει τοῦ βίου[3] προγιγνώσκειν[4] τὰ μέλλοντα· βούλομαι δὲ καὶ ἐγὼ χρησμῳδῆσαί τι. Συνεγενόμην γάρ ποτε βραχέα τῷ Ἀνύτου υἱῷ, καὶ ἔδοξέ μοι οὐκ ἄφρων τὴν ψυχὴν εἶναι· ὥστε φημὶ αὐτὸν ἐπὶ τῇ δουλοπρεπεῖ διατριβῇ, ἣν ὁ πατὴρ αὐτῷ παρεσκεύακεν, οὐ διαμενεῖν· διὰ δὲ τὸ μηδένα ἑ-

---

§ 27. 2. Εὐθυμητέον εἶναι.) Ἀττικῶς τὸ εἶναι ἐν τοῖς τοιούτοις προστίθεται περιττῶς· τὸ γὰρ Εὐθυμητέον τὸ δεῖ εὐθυμεῖν σημαῖνον ἄνευ τοῦ εἶναι ἱκανὸν εἴη εἰς τὴν τοῦ λεγομένου ἔφρασιν· ἐπεὶ δὲ εἰς διάκρισιν χρόνων τίθεται τὸ ὑπαρκτικὸν ἐν τῇ ὁριστικῇ, ἠκολούθησε κἂν πάσαις ταῖς ἐγκλίσεσιν· ἡ δὲ ὁτικὴ πρὸς τὸ ἐνὸν ἀπρόσωπον· οἷον· Δεῖ ὑμῖν πᾶσιν εὐθυμεῖν. Τὸ δὲ λυπητέον, Δεῖ ἐμοὶ καὶ τοῖς ἐμοῖς εὖνοις λυπεῖσθαι· Ὥστε τὰ θετικὰ ἔστι καὶ παθητικῶς λαβεῖν κατὰ τὴν χρείαν. — § 29. 2. Ὅτι αὐτὸν καὶ τ λ.) Ὅτι ὁρῶν αὐτὸν ἀξιούμενον ὑπὸ τῆς πόλεως τῶν μεγίστων, ἔφην· ὅτι οὐ χρὴ καὶ τ λ. — 3. Ὃς οὐκ ἔοικεν εἰδέναι) Ὃς ἔοικε μὴ εἰδέναι· ἔθος δὲ τὴν ἄρνησιν προτίθεσθαι ἐν τῷ ἔφη καὶ ἔοικε. Οὐκ ἔφην χρῆναι· ἀντὶ ἔφην μὴ χρῆναι· καὶ οὐκ ἔοικεν εἰδέναι, ἀντὶ τοῦ, ἔοικε μὴ εἰδέναι. — § 30. 2. Ἔστιν οἷς.) Ἔν ἐνίοις. Πάτροκλος γὰρ οὕτως εἶπε πρὸς Ἕκτορα θνήσκων· Ἰλιάδ. Π'. στίχ. 851.

Οὐθήν, οὐδ' αὐτὸς δηρὸν βέη, ἀλλά τοι ἤδη.
Ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
Χερσὶ δαμέντ' Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.

Ἕκτωρ δὲ πρὸς Ἀχιλέα ὧδε Ἰλ. Χ. στίχ. 358.

Φράζεο νῦν μή τοι τι θεῶν μήνιμα γένωμαι
Ἤματι τῷ, ὅτι κέν σε Πάρις, καὶ Φοῖβος Ἀπόλλων,
Ἐσθλὸν ἐόντ' ὀλέσσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν.

— 3. Τῶν ἐν καταλύσει τοῦ β) Τῶν ἐν τῷ θνήσκειν ὄντων. — 4. Προγιγνώσκειν.) Τὸ ἀπαρέμφατον πρὸς τὸ Ἀνέθηκε.

χειν σπουδαῖον ἐπιμελητήν, προσπεσεῖσθαί τινι αἰσχρᾷ ἐπιθυμίᾳ, καὶ προβήσεσθαι μέντοι πόρρω μοχθηρίας.

§ 31. Ταῦτα δ' εἰπὼν οὐκ ἐψεύσατο· ἀλλ' ὁ νεανίσκος[2] ἡσθεὶς οἴνῳ, οὔτε νυκτὸς οὔτε ἡμέρας ἐπαύετο πίνων· καὶ τέλος οὔτε τῇ ἑαυτοῦ πόλει οὔτε τοῖς φίλοις οὔτε αὐτῷ ἄξιος οὐδενὸς ἐγένετο. Ἄνυτος μὲν δὴ διὰ τὴν τοῦ υἱοῦ πονηρὰν παιδείαν καὶ διὰ τὴν αὐτοῦ ἀγνωμοσύνην[3] ἔτι καὶ τετελευτηκὼς τυγχάνει κακοδοξίας.

§ 32. Σωκράτης δὲ, διὰ τὸ μεγαλύνειν[2] ἑαυτὸν ἐν τῷ δικαστηρίῳ φθόνον ἐπαγόμενος, μᾶλλον καταψηφίσασθαι ἑαυτοῦ ἐποίησε τοὺς δικαστάς. Ἐμοὶ μὲν οὖν δοκεῖ Θεοφίλοῦς μοίρας τετυχηκέναι· τοῦ μὲν γὰρ βίου τὸ χαλεπώτατον ἀπέλιπε, τῶν δὲ θανάτων τοῦ ῥᾴστου ἔτυχεν.

§ 33. Ἐπεδείξατο δὲ τῆς ψυχῆς τὴν ῥώμην. Ἐπεὶ γὰρ ἔγνω τοῦ ἔτι ζῆν τὸ τεθνάναι αὐτῷ κρεῖσσον εἶναι, ὥσπερ οὐδὲ πρὸς τἆλλα τἀγαθὰ προσάντης ἦν, οὐδὲ πρὸς τὸν θάνατον ἐμαλακίσατο, ἀλλ' ἱλαρῶς καὶ προσεδέχετο αὐτὸν καὶ ἐπετελέσατο.

§ 34. Ἐγὼ μὲν δὴ κατανοῶν τοῦ ἀνδρὸς τήν τε σοφίαν καὶ τὴν γενναιότητα, οὔτε μὴ μεμνῆσθαι δύναμαι αὐτοῦ, οὔτε μεμνημένος μὴ οὐκ ἐπαινεῖν. Εἰ δέ τις τῶν ἀρετῆς ἐφιεμένων ὠφελιμωτέρῳ τινὶ Σωκράτους συνεγένετο, ἐκεῖνον ἐγὼ τὸν ἄνδρα ἀξιομακαριστότατον νομίζω.

---

§ 31. 2. Ἀλλ' ὁ νεανίσκ.) Ἀντὶ ὁ γὰρ τος αὐτῷ περὶ τοῦ υἱοῦ· δοα, 26. νεανίσκος. — 3 Διὰ τὴν αὐτοῦ ἀγνομ.) Οὐκ ἀκούοντος Σωκράτους συμβουλεύσαν-

§ 32. 2. Διὰ τὸ μεγαλυν.) Ὅρα ἐν ἀρχῇ. 28.



ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΟΜΟΥ.

ΠΙΝΑΞ

Τῶν ἐμπεριεχομένων ἐν τῷ δὲ τῷ Γ'. τόμῳ.

Ἐκ τῶν Αἰσχίνου τοῦ Σωκρατικοῦ.

		Σελ.
Α'.	Ἀξίοχος ἢ περὶ Θανάτου.	1.
Β'.	Περὶ ἀρετῆς εἰ διδακτόν.	13.
	Κέβητος Θηβαίου Πινάξ.	18.

Θεοφράστου Ἠθικοὶ χαρακτῆρες.

Α'.	Προοίμιον.	35.
Β'.	Περὶ Εἰρωνείας.	36.
Γ'.	Περὶ Κολακείας.	37.
Δ'.	Περὶ Ἀδολεσχίας.	39.
Ε'.	Περὶ Ἀγροικίας.	40.
ΣΤ'.	Περὶ Ἀρεσκείας.	41.
Ζ'.	Περὶ Ἀπονοίας.	43.
Η'.	Περὶ Λαλιᾶς.	44.
Θ'.	Περὶ Λογοποιΐας.	45.
Ι'.	Περὶ Ἀναισχυντίας.	46.
ΙΑ'.	Περὶ Μικρολογίας.	47.
ΙΒ'.	Περὶ Βδελυρίας.	48.
ΙΓ'.	Περὶ Ἀκαιρίας.	50.
ΙΔ'.	Περὶ Περιεργίας· καὶ ΙΕ'. Περὶ Ἀναισθησίας.	51.
ΙΣΤ'.	Περὶ Αὐθαδείας.	52.
ΙΖ'.	Περὶ Δεισιδαιμονίας, καὶ ΙΗ'. Περὶ Μεμψιμοιρίας.	53.
ΘΙ'.	Περὶ Ἀπιστίας.	54.
Κ.	Περὶ Δυσχερείας, καὶ ΚΑ'. Περὶ Ἀηδίας.	55.
ΚΒ'.	Περὶ Μικροφιλοτιμίας.	56.
ΚΓ'.	Περὶ Ἀνελευθερίας.	57.
ΚΔ'.	Περὶ Ἀλαζονείας.	58.
ΚΕ'.	Περὶ Ὑπερηφανείας, καὶ ΚΣΤ'. Περὶ Δειλίας.	59.
ΚΖ'.	Περὶ Ὀλιγαρχίας.	60.
ΚΗ'.	Περὶ Ὀψιμαθίας, καὶ ΚΘ'. Περὶ Κακολογίας.	61.
Λ'.	Περὶ Φιλοπονηρίας.	62.
ΛΑ'.	Περὶ Αἰσχροκερδείας.	63.

Ἐκ τῶν Ξενοφῶντος, Α΄. Κύρου Παιδείας.

Σελ.

Α΄. Γένος Κύρου, Παιδεία Περσῶν. . . . . 65.
Β΄. Κύρου Ἀγωγὴ, καὶ εἰς Μήδους μετὰ τῆς μητρὸς ἄφιξις. 71.
Γ΄. Ὅ,τι Κῦρος ἐποίει ληφθεὶς ἐν Μήδοις. . . . 78.
Δ΄. Ἐπιστροφὴ Κύρου εἰς Πέρσας, ἀνάκλησις αὐτοῦ εἰς Μήδους, Δημηγορία αὐτοῦ πρὸς Πέρσας . . 89.
Ε΄. Διάλεξις Κύρου μετὰ τοῦ πατρὸς περὶ στρατηγικῆς. 94.
ΣΤ΄. Κύρου ἐξέλασις, Θυσία, καὶ Ἀγῶνες. . . . . 108.
Ζ΄. Συμπόσιον Κύρου. . . . . 114.
Η΄. Τὰ ἔσχατα Κύρου καὶ Δημηγορία πρὸς τοὺς ἑαυτοῦ παῖδας. . . . . 118.
Θ΄. Σύγκρισις τῶν μεταγενεστέρων Περσῶν πρὸς τοὺς πάλαι. 125.

Β΄. Ἀπομνημονεύματα.

Βιβλίον Α΄.

Κεφ. I. . . . . 130.
Κεφ. II. . . . . 133.
Κεφ. III. . . . . 146.
Κεφ. IV. . . . . 152.
Κεφ. V. . . . . 157.
Κεφ. VI. . . . . 158.
Κεφ. VII. . . . . 161.

Βιβλίον Β΄.

Κεφ. I. . . . . 162.
Κεφ. II. . . . . 173.
Κεφ. III. . . . . 176.
Κεφ. IV. . . . . 179.
Κεφ. V. . . . . 181.
Κεφ. VI. . . . . 182.
Κεφ. VII. . . . . 190.
Κεφ. VIII. . . . . 193.
Κεφ. IX. . . . . 194.
Κεφ. X. . . . . 196.

Βιβλίον Γ΄.

Κεφ. I. . . . . 197.
Κεφ. II. . . . . 198.
Κεφ. III. . . . . 200.
Κεφ. IV. . . . . 202.
Κεφ. V. . . . . 205.
Κεφ. VI. . . . . 211.
Κεφ. VII. . . . . 214.
Κεφ. VIII. . . . . 216.
Κεφ. IX. . . . . 218.
Κεφ. X. . . . . 221.
Κεφ. XI. . . . . 225.
Κεφ. XII. . . . . 229.
Κεφ. XIII. . . . . 231.
Κεφ. XIV. . . . . 233.

Βιβλίον Δ΄.

Κεφ. I. . . . . 235.
Κεφ. II. . . . . 237.
Κεφ. III. . . . . 247.
Κεφ. IV. . . . . 253.
Κεφ. V. . . . . 258.
Κεφ. VI. . . . . 261.
Κεφ. VII. . . . . 265.
Κεφ. VIII. . . . . 267.

Γ΄. Ἀπολογία Σωκράτους πρὸς τοὺς Δικαστάς. . 270.